This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

A 475269 DUPL

GRAD
BUHR
888
P6m
T22
1866
v.6


LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
FROM THE LIBRARY OF
Professor Karl Heinrich Rau
OF THE UNIVERSITY OF HEIDELBERG
PRESENTED TO THE
UNIVERSITY OF MICHIGAN
BY
Mr. Philo Parsons
OF DETROIT
1871

PLUTARCHI

CHAERONENSIS

VARIA SCRIPTA

QUAE

MORALIA VULGO VOCANTUR.

PARSONS LIBRARY University

AD

OPTIMORUM LIBRORUM FIDEM

ACCURATE EDITA.

EDITIO STEREOTYPA C. TAUCHNITIANA.

TOMUS VI.

NOVA IMPRESSIO.

LIPSIAE

SUMPTIBUS OTTONIS HOLTZE.

1868.

IMPRESSIT F. L. METZGER, LIPSIAE.

ΠΛΟΥΤΑΡΧΟΥ
ΠΕΡΙ ΤΗΣ
ΕΝ ΤΙΜΑΙΩι ΨΥΧΟΓΟΝΙΑΣ

Ο ΠΑΤΗΡ ΑΤΤΟΒΟΛΩ
ΚΑΙ
ΠΛΟΥΤΑΡΧΩ ΕΥ ΠΡΑΤΤΕΙΝ.

Ἐπεὶ τὰ πολλάκις εἰρημένα καὶ γεγραμμένα σποράδην ἐν ἑτέροις ἕτερα, τὴν Πλάτωνος ἐξηγουμένοις δόξαν, ἣν εἶχεν ὑπὲρ ψυχῆς, ὡς ὑπενοοῦμεν ἡμεῖς, οἴεσθε δεῖν εἰς ἓν συναχθῆναι, καὶ τυχεῖν ἰδίας ἀναγραφῆς, τὸν λόγον τοῦτον οὔτ' ἄλλως εὐμεταχείριστον ὄντα, καὶ διὰ τὸ τοῖς πλείστοις τῶν ἀπὸ Πλάτωνος ὑπεναντιοῦσθαι, δεόμενον παραμυθίας, προεκθήσομαι τὴν λέξιν, ὡς ἐν Τιμαίῳ γέγραπται. Τῆς ἀμεροῦς καὶ ἀεὶ κατὰ ταυτὰ ἐχούσης οὐσίας, καὶ ἧς αὖ περὶ τὰ σώματα γινομένης μεριστῆς, τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταυτοῦ φύσεως αὖ πέρι καὶ τῆς θατέρου· καὶ κατὰ ταῦτα συνέστησεν ἐν μέσῳ τοῦ τ' ἀμεροῦς αὐτὴν καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ· καὶ τρία λαβὼν

αὐτὰ ὄντα, συνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρου φύσιν δύσμικτον οὖσαν εἰς τὸ αὐτὸ συναρμόττων βίᾳ· μιγνὺς δὲ μετὰ τῆς οὐσίας, καὶ ἐκ τριῶν ποιησάμενος ἕν, πάλιν ὅλον τοῦτο μοίρας εἰς ἃς προσῆκε διένειμεν· ἑκάστην δὲ τούτων ἓκ τε ταυτοῦ καὶ θατέρου καὶ τῆς οὐσίας μεμιγμένην· ἤρχετο δὲ διαιρεῖν ὧδε. Ταῦτα πρῶτον ὅσας παρέσχηκεν τοῖς ἐξηγουμένοις διαφορὰς, ἄπλετον ἔργον ἐστὶ διελθεῖν ἐν τῷ παρόντι, πρὸς δὲ ὑμᾶς ἐντετυχηκότας ὁμοῦ ταῖς πλείσταις καὶ περιττόν. ἐπεὶ δὲ τῶν δοκιμωτάτων ἀνδρῶν τοὺς μὲν Ξενοκράτης προσηγάγετο, τῆς ψυχῆς τὴν οὐσίαν, ἀριθμὸν αὐτὸν ὑφ' ἑαυτοῦ κινούμενον ἀποφηνάμενος· οἱ δὲ Κράντορι τῷ Σολιεῖ πρυσέθεντο, μιγνύντι τὴν ψυχὴν ἔκ τε τῆς νοητῆς, καὶ τῆς περὶ τὰ αἰσθητὰ δοξαστῆς φύσεως· οἶμαί τι τὴν τούτων ἀνακαλυφθέντων σαφήνειαν ὥσπερ ἐνδόσιμον ὑμῖν παρέξειν.

II. Ἔστι δὲ βραχὺς ὑπὲρ ἀμφοῖν ὁ λόγος. οἱ μὲν γὰρ οὐδὲν ἢ γένεσιν ἀριθμοῦ δηλοῦσθαι νομίζουσι τῇ μίξει τῆς ἀμερίστου καὶ μεριστῆς οὐσίας· ἀμέριστον μὲν γὰρ εἶναι τὸ ἕν, μεριστὸν δὲ τὸ πλῆθος, ἐκ δὲ τούτων γίνεσθαι τὸν ἀριθμὸν τοῦ ἑνὸς ὁρίζοντος τὸ πλῆθος, καὶ τῇ ἀπειρίᾳ πέρας ἐντιθέντος, ἣν καὶ δυάδα καλοῦσιν ἀόριστον· καὶ Ζαράτας, ὁ Πυθαγόρου διδάσκαλος, ταύτην μὲν ἐκάλει τοῦ ἀριθμοῦ μητέρα, τὸ δὲ ἕν, πατέρα· διὸ καὶ βελτίονας εἶναι τῶν ἀριθμῶν, ὅσοι τῇ μονάδι προσεοίκασι· τοῦτον δὲ μήπω ψυχὴν τὸν ἀριθμὸν εἶναι· τὸ γὰρ κινητικὸν καὶ τὸ κινητὸν ἐνδεῖν αὐτῷ· τοῦ

δὲ ταυτοῦ καὶ τοῦ ἑτέρου συμμιγέντων, ὧν τὸ μέν ἐστι κινήσεως ἀρχὴ καὶ μεταβολῆς, τὸ δὲ μονῆς, ψυχὴν γεγονέναι, μηδὲν ἧττον τοῦ ἱστάναι καὶ ἱστασθαι δύναμιν ἢ τοῦ κινεῖσθαι καὶ κινεῖν οὖσαν. οἱ δὲ περὶ τὸν Κράντορα μάλιστα τῆς ψυχῆς ἴδιον ὑπολαμβάνοντες ἔργον εἶναι τὸ κρίνειν τά τε νοητὰ καὶ τὰ αἰσθητά, τάς τε τούτων ἐν αὐτοῖς καὶ πρὸς ἄλληλα γινομένας διαφορὰς καὶ ὁμοιότητας, ἐκ πάντων φασὶν, ἵνα πάντα γινώσκῃ, συγκεκρᾶσθαι τὴν ψυχήν· ταῦτα δ' εἶναι τέτταρα, τὴν νοητὴν φύσιν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν, καὶ τὴν περὶ τὰ σώματα παθητικὴν καὶ μεταβλητήν· ἔτι δὲ τὴν ταυτοῦ καὶ τοῦ ἑτέρου, διὰ τὸ κἀκείνων ἑκατέραν μετέχειν ἑτερότητος καὶ ταυτότητος.

III. Ὁμαλῶς δὲ πάντες οὗτοι, χρόνῳ μὲν οἴονται τὴν ψυχὴν μὴ γεγονέναι, μηδ' εἶναι γεννητὴν, πλείονας δὲ δυνάμεις ἔχειν, εἰς ἃς ἀναλύοντα θεωρίας ἕνεκα τὴν οὐσίαν αὐτῆς, λόγῳ τὸν Πλάτωνα γινομένην ὑποτίθεσθαι καὶ συγκερανυμένην· τὰ δ' αὐτὰ καὶ περὶ τοῦ κόσμου διανοούμενον, ἐπίστασθαι μὲν ἀΐδιον ὄντα καὶ ἀγέννητον· τὸ δὲ ᾧ τρόπῳ συντέτακται καὶ διοικεῖται καταμαθεῖν οὐ ῥᾴδιον ὁρῶντα τοῖς μήτε γένεσιν αὐτοῦ, μηδὲ τῶν γεννητικῶν σύνοδον ἐξ ἀρχῆς προϋποθεμένοις, ταύτην τὴν ὁδὸν τραπέσθαι. τοιούτων δὲ τῶν καθόλου λεγομένων, ὁ μὲν Εὔδωρος οὐδετέρους ἀμοιρεῖν οἴεται τοῦ εἰκότος· ἐμοὶ δὲ δοκοῦσι τῆς Πλάτωνος ἀμφότεροι διαμαρτάνειν δόξης, εἰ κανόνι τῷ πιθανῷ χρηστέον, οὐκ ἴδια δόγματα παραίνοντας, ἀλλ' ἐκείνῳ τι βουλομένους λέ-

γειν ὁμολογούμενον. ἡ μὲν ἐκ τῆς νοητικῆς καὶ τῆς αἰσθητικῆς οὐσίας λεγομένη μίξις οὐ διασαφεῖται, πῇ ποτε ψυχῆς μᾶλλον, ἢ τῶν ἄλλων ὅ τι ἄν τις εἴποι, γένεσίς ἐστιν. αὐτός τε γὰρ ὁ κόσμος οὗτος, καὶ τῶν ἱερῶν ἕκαστον αὐτοῦ συνέστηκεν ἔκ τε σωματικῆς οὐσίας καὶ νοητῆς· ὧν ἡ μὲν ὕλην καὶ ὑποκείμενον, ἡ δὲ μορφὴν καὶ εἶδος τῷ γενομένῳ παρέσχε· καὶ τῆς μὲν ὕλης τὸ μετοχῇ καὶ εἰκασίᾳ τοῦ νοητοῦ μορφωθὲν εὐθὺς ἁπτὸν καὶ ὁρατόν ἐστιν, ἡ ψυχὴ δὲ πᾶσαν αἴσθησιν ἐκπέφευγεν. ἀριθμόν γε μὴν ὁ Πλάτων οὐδέποτε τὴν ψυχὴν προσεῖπεν, ἀλλὰ φύσιν αὐτοκίνητον ἀεὶ, καὶ κινήσεως πηγὴν καὶ ἀρχήν· ἀριθμῷ δὲ καὶ λόγῳ καὶ ἁρμονίᾳ διακεκόσμηκε τὴν οὐσίαν αὐτῆς ὑποκειμένην καὶ δεχομένην τὸ κάλλιστον εἶδος ὑπὸ τούτων ἐγγινόμενον. οἶμαι δὲ, μὴ ταυτὸν εἶναι τῷ κατὰ ἀριθμὸν συνεστάναι τὴν ψυχὴν τὸ τὴν οὐσίαν αὐτῆς ἀριθμὸν ὑπάρχειν· ἐπεὶ καθ' ἁρμονίαν συνέστηκεν, ἁρμονία δ' οὐκ ἔστιν, ὡς αὐτὸς ἐν τῷ περὶ Ψυχῆς ἀπέδειξεν. ἐκφανῶς δὲ τούτοις ἠγνόηται τὸ περὶ ταυτοῦ καὶ τοῦ ἑτέρου. λέγουσι γὰρ, ὡς τὸ μὲν στάσεως, τὸ δὲ κινήσεως συμβάλλεται δύναμιν εἰς τὴν τῆς ψυχῆς γένεσιν· αὐτοῦ Πλάτωνος ἐν τῷ Σοφιστῇ, τὸ ὂν καὶ τὸ ταυτὸν καὶ τὸ ἕτερον, πρὸς δὲ τούτοις, στάσιν καὶ κίνησιν, ὡς ἕκαστον ἑκάστου διαφέρον, καὶ πέντε ὄντα, χωρὶς ἀλλήλων τιθεμένου καὶ διορίζοντος.

IV. Ὅ γε μὴν οὗτοί τε κοινῇ καὶ οἱ πλεῖστοι ἐσῶν χρωμένων Πλάτωνι, φοβούμενοι καὶ παραλυτὸν γίμενοι, πάντα μηχανῶνται, καὶ παραβιάζονται καὶ

ποι,

στρέφουσιν, ὡς τι δεινὸν καὶ ἄῤῥητον οἰόμενοι δεῖν περικαλύπτειν καὶ ἀρνεῖσθαι, τήν τε τοῦ κόσμου τήν τε τῆς ψυχῆς αὐτοῦ γένεσιν καὶ σύστασιν, οὐκ ἐξ ἀϊδίου συνεστώτων, οὐδὲ τὸν ἄπειρον χρόνον οὕτως ἐχόντων, ἰδίᾳ τε λόγου τέτευχε, καὶ νῦν ἀρκέσει ῥηθὲν, ὅτι τὸν περὶ θεῶν ἀγῶνα καὶ λόγον, ᾧ Πλάτων ὁμολογεῖ φιλοτιμότατα καὶ παῤ ἡλικίαν πρὸς τοὺς ἀθέους κεχρῆσθαι, συγχέουσι, μᾶλλον δὲ ὅλως ἀναιροῦσιν. εἰ γὰρ ἀγέννητος ὁ κόσμος ἐστὶν, οἴχεται τῷ Πλάτωνι τὸ πρεσβύτερον τοῦ σώματος τὴν ψυχὴν οὖσαν ἐξάρχειν μεταβολῆς καὶ κινήσεως πάσης, ἡγεμόνα καὶ πρωτουργὸν, ὡς αὐτὸς εἴρηκεν, ἐγκαθεστῶσαν. τίς δ' οὖσα καὶ τίνος ὄντος ἡ ψυχὴ τοῦ σώματος προτέρα καὶ πρεσβυτέρα λέγεται γεγονέναι, προϊὼν ὁ λόγος ἐνδείξεται· τοῦτο γὰρ ἠγνοημένον ἔοικε τὴν πλείστην ἀπορίαν καὶ ἀπιστίαν παρέχειν τῆς ἀληθοῦς δόξης.

V. Πρῶτον οὖν, ἣν ἔχω περὶ τούτων διάνοιαν, ἐκθήσομαι, πιστούμενος τῷ εἰκότι, καὶ παραμυθούμενος, ὡς ἔνεστι, τὸ ἄηθες τοῦ λόγου καὶ παράδοξον· ἔπειτα ταῖς λέξεσιν ἐπάξω, συνοικειῶν ὅμα τὴν ἐξήγησιν καὶ τὴν ἀπόδειξιν. ἔχει γὰρ οὕτω κατά γε τὴν ἐμὴν τὰ πράγματα δόξαν. κόσμον τόνδε, φησὶν Ἡράκλειτος, οὔτε τις θεῶν οὔτ' ἀνθρώπων ἐποίησεν, ὥσπερ φοβηθεὶς, μὴ θεοῦ ἀπογόντες, ἄνθρωπόν τινα γεγονέναι τοῦ κόσμου δημιουργὸν ὑπονοήσωμεν. βέλτιον οὖν Πλάτωνι πειθομένους, τὸν μὲν κόσμον ὑπὸ θεοῦ γεγονέναι λέγειν καὶ ᾄδειν· ὁ μὲν γὰρ κάλλιστος τῶν γεγονότων, ὁ δ' ἄριστος

τῶν αἰτιῶν· τὴν δ' οὐσίαν καὶ ὕλην, ἐξ ἧς γέγονεν, οὐ γενομένην, ἀλλὰ ὑποκειμένην ἀεὶ τῷ δημιουργῷ, εἰς διάθεσιν καὶ τάξιν αὐτῆς, καὶ πρὸς αὐτὸν ἐξομοίωσιν, ὡς δυνατὸν ἦν, ἐμπαρασχεῖν. οὐ γὰρ ἐκ τοῦ μὴ ὄντος ἡ γένεσις, ἀλλ' ἐκ τοῦ μὴ καλῶς μηδ' ἱκανῶς ἔχοντος, ὡς οἰκίας καὶ ἱματίου καὶ ἀνδριάντος. ἀκοσμία γὰρ ἦν τὰ πρὸ τῆς τοῦ κόσμου γενέσεως· ἀκοσμία δὲ οὐκ ἀσώματος, οὐδ' ἀκίνητος, οὐδ' ἄψυχος· ἀλλ' ἄμορφον μὲν καὶ ἀσύστατον τὸ σωματικόν, ἔμπληκτον δὲ καὶ ἄλογον τὸ κινητικὸν ἔχουσα· τοῦτο δ' ἦν ἀναρμοστία ψυχῆς οὐκ ἐχούσης λόγον. ὁ γὰρ θεὸς οὔτε σῶμα τὸ ἀσώματον, οὔτε ψυχὴν τὸ ἄψυχον ἐποίησεν· ἀλλ' ὥσπερ ἁρμονικὸν ἄνδρα καὶ ῥυθμικὸν οὐ φωνὴν ποιεῖν οὐδὲ κίνησιν, ἐμμελῆ δὲ φωνὴν καὶ κίνησιν εὔρυθμον ἀξιοῦμεν· οὕτως ὁ θεὸς οὔτε τοῦ σώματος τὸ ἅπτὸν καὶ ἀντίτυπον, οὔτε τῆς ψυχῆς τὸ φανταστικὸν καὶ κινητικὸν αὐτὸς ἐποίησεν· ἀμφοτέρας δὲ τὰς ἀρχὰς παραλαβών, τὴν μὲν, ἀμυδρὰν καὶ σκοτεινὴν, τὴν δὲ, ταραχώδη καὶ ἄνόητον, ἀτελεῖς δὲ τοῦ προσήκοντος ἀμφοτέρας καὶ ἀορίστους, ἔταξε καὶ διεκόσμησε καὶ συνήρμοσε, τὸ κάλλιστον ἀπεργασάμενος καὶ τελειότατον ἐξ αὐτῶν ζῷον. ἡ μὲν οὖν σώματος οὐσία τῆς λεγομένης ὑπ' αὐτοῦ πανδεχοῦς φύσεως, ἕδρας τε καὶ τιθηνῆς τῶν γεννητῶν οὐχ ἑτέρα τις ἐστίν.

VI. Τὴν δὲ τῆς ψυχῆς ἐν Φιλήβῳ μὲν, ἀπειρίαν κέκληκεν, ἀριθμοῦ καὶ λόγου στέρησιν οὖσαν, ἐλλείψεώς τε καὶ ὑπερβολῆς καὶ διαφορᾶς καὶ ἀνομοιότητος ἐν αὐτῇ πέρας οὐδὲν οὐδὲ μέτρον ἔχουσαν. ἐν δὲ

Τιμαίῳ, τὴν τῇ ἀμερίστῳ συγκερανυμένην φύσει, καὶ περὶ τὰ σώματα γίνεσθαι λεγομένην μεριστὴν, οὔτε πλῆθος ἐν μονάσι καὶ στιγμαῖς, οὔτε μήκη καὶ πλάτη λέγεσθαι νομιστέον, ἃ σώμασι προσήκει, καὶ σωμάτων μᾶλλον ἢ τῆς ψυχῆς ἐστὶν, ἀλλὰ τὴν ἄτακτον καὶ ἀόριστον, αὐτοκίνητον δὲ καὶ κινητικὴν ἀρχὴν, ἐκείνην, ἣν πολλαχοῦ μὲν ἀνάγκην, ἐν δὲ τοῖς Νόμοις ἄντικρυς ψυχὴν ἄτακτον εἴρηκε καὶ κακοποιόν· αὕτη γὰρ ἦν ψυχὴ καθ' ἑαυτὴν, νοῦ δὲ καὶ λογισμοῦ καὶ ἁρμονίας ἔμφρονος μετέσχεν, ἵνα κόσμου ψυχὴ γένηται. καὶ γὰρ τὸ πανδεχὲς καὶ ὑλικὸν ἐκεῖνο, μέγεθος μὲν ἐκέκτητο καὶ διάστημα καὶ χώραν· κάλλους δὲ καὶ μορφῆς καὶ σχημάτων μετριότητος ἐνδεῶς εἶχεν· ἔλαχε δὲ τούτων, ἵνα γῆς καὶ θαλάττης καὶ οὐρανοῦ καὶ ἀστέρων, φυτῶν τε καὶ ζώων παντοδαπὰ σώματα καὶ ὄργανα γίνηται κοσμηθέν. οἱ δὲ τὴν ἐν Τιμαίῳ λεγομένην ἀνάγκην, ἐν δὲ Φιλήβῳ περὶ τὸ μᾶλλον καὶ ἧττον ἐλλείψεως καὶ ὑπερβολῆς ἀμετρίαν καὶ ἀπειρίαν τῇ ὕλῃ προστιθέντες, ἀλλὰ μὴ τῇ ψυχῇ, ποῦ θήσονται τὸ τὴν ὕλην ἀεὶ μὲν ἄμορφον καὶ ἀσχημάτιστον ὑπ' αὐτοῦ λέγεσθαι, καὶ πάσης ποιότητος καὶ δυνάμεως οἰκείας ἔρημον, εἰκάζεσθαι δ' ἀώδεσιν ἐλαίοις, ἃ πρὸς τὰς βαφὰς οἱ μυρεψοὶ λαμβάνουσιν; οὐ γὰρ οἷόν τε τὸ ἄποιον καὶ ἀργὸν ἐξ αὐτοῦ καὶ ἀρρεπὲς αἰτίαν κακοῦ καὶ ἀρχὴν ὑποτίθεσθαι τὸν Πλάτωνα, καὶ καλεῖν ἀπειρίαν, αἰσχρὰν καὶ κακοποιόν, αὖθις δ' ἀνάγκην, πολλὰ τῷ θεῷ δυσμαχοῦσαν καὶ ἀφηνιάζουσαν. ἡ γὰρ ἀναστρέφουσα τὸν οὐρανὸν, ὥσπερ ἐν Πολι-

τικῷ λέγεται, καὶ ἀνελίττουσα πρὸς τοὐναντίον ἀνάγκη, καὶ σύμφυτος ἐπιθυμία, καὶ τὸ τῆς πάλαι ποτὲ φύσεως σύντροφον πολλῆς μετέχον, ἀταξίας, πρὶν εἰς τὸν νῦν κόσμον ἀφικέσθαι, πόθεν ἐγγέγονε τοῖς πράγμασιν, εἰ τὸ μὲν ὑποκείμενον ἄποιος ἦν ὕλη καὶ ἄμοιρος αἰτίας ἁπάσης, ὁ δὲ δημιουργὸς ἀγαθὸς καὶ πάντα βουλόμενος αὑτῷ κατὰ δύναμιν ἐξομοιῶσαι; τρίτον δὲ παρὰ ταῦτα μηθέν. αἱ γὰρ Στωϊκαὶ καταλαμβάνουσιν ἡμᾶς ἀπορίαι, τὸ κακὸν ἐκ τοῦ μὴ ὄντος ἀναιτίως καὶ ἀγεννήτως ἐπεισάγοντας· ἐπεὶ τῶν γ' ὄντων οὔτε τὸ ἀγαθὸν οὔτε τὸ ἄποιον εἰκός ἐστιν οὐσίαν κακοῦ καὶ γένεσιν παρασχεῖν· ἀλλὰ ταυτὸ Πλάτων οὐκ ἔπαθε τοῖς ὕστερον, οὐδὲ παριδὼν, ὡς ἐκεῖνοι, τὴν μεταξὺ τῆς ὕλης καὶ τοῦ θεοῦ τρίτην ἀρχὴν καὶ δύναμιν, ὑπέμεινε τῶν λόγων τὸν ἀτοπώτατον, ἐπεισόδιον οὐκ οἶδα ὅπως ποιοῦντα τὴν τῶν κακῶν φύσιν ἀπ' αὐτομάτου κατὰ συμβεβηκός. Ἐπικούρῳ μὲν γὰρ οὐδ' ἀκαρὲς ἐγκλίναι τὴν ἄτομον συγχωροῦσιν, ὡς ἀναίτιον ἐπεισάγοντι κίνησιν ἐκ τοῦ μὴ ὄντος· αὐτοὶ δὲ κακίαν καὶ κακοδαιμονίαν τοσαύτην, ἑτέρας τε περὶ σῶμα μυρίας ἀτοπίας καὶ δυχερείας, αἰτίαν ἐν ταῖς ἀρχαῖς οὐκ ἔχούσας, κατ' ἐπακολούθησιν γεγονέναι λέγουσιν.

VII. Ὁ δὲ Πλάτων οὐχ οὕτως· ἀλλὰ τήν γε ὕλην διαφορᾶς ἁπάσης ἀπαλλάττων, καὶ τοῦ θεοῦ τὴν τῶν κακῶν αἰτίαν ἀπωτάτω τιθέμενος, ταῦτα περὶ τοῦ κόσμου γέγραφεν ἐν τῷ Πολιτικῷ· Παρὰ μὲν γὰρ τοῦ ξυνθέντος πάντα τὰ καλὰ κέκτηται· παρὰ δὲ τῆς ἔμπροσθεν ἕξεως ὅσα χαλεπὰ καὶ ἄδικα ἐν οὐρανῷ

γίνεται, ταῦτ' ἐξ ἐκείνης αὐτός τε ἔχει, καὶ τοῖς ζώοις ἐναπεργάζεται. καὶ μικρὸν ἔτι προελθών· Προϊόντος δὲ, φησὶ, τοῦ χρόνου, καὶ λήθης ἐγγινομένης ἐν αὐτῷ, μᾶλλον δυναστεύει τὸ τῆς παλαιᾶς ἀναρμοστίας πάθος, καὶ κινδυνεύει διαλυθεὶς εἰς τὸν τῆς ἀνομοιότητος ἄπειρον ὄντα τόπον δύναι πάλιν. ἀνομοιότης δὲ περὶ τὴν ὕλην, ἄποιον καὶ ἀδιάφορον οὖσαν, οὐκ ἔστιν. ἀλλὰ μετὰ πολλῶν ἄλλων καὶ Εὔδημος ἀγνοήσας, κατειρωνεύεται τοῦ Πλάτωνος, ὡς τὴν πολλάκις ὑπ' αὐτοῦ μητέρα καὶ τιθηνὴν προσαγορευομένην, αἰτίαν κακῶν, ῥίζαν, ἀρχὴν ἀποφαίνοντος. ὁ γὰρ Πλάτων μητέρα μὲν καὶ τιθηνὴν καλεῖ τὴν ὕλην· αἰτίαν δὲ κακοῦ, τὴν κινητικὴν τῆς ὕλης, καὶ περὶ τὰ σώματα γινομένην μεριστὴν, ἄτακτον καὶ ἄλογον, οὐκ ἄψυχον δὲ κίνησιν, ἣν ἐν Νόμοις, ὥσπερ εἴρηται, ψυχὴν ἐναντίαν καὶ ἀντίπαλον τῇ ἀγαθουργῷ προσεῖπε. ψυχὴ γὰρ αἰτία κινήσεως καὶ ἀρχὴ, νοῦς δὲ, τάξεως καὶ συμφωνίας περὶ κίνησιν. ὁ γὰρ θεὸς οὐκ ἀνέστησε τὴν ὕλην ἀργοῦσαν, ἀλλ' ἔστησεν ὑπὸ τῆς ἀνοήτου ταραττομένην αἰτίας· οὐδ' ἀρχάς τῇ φύσει μεταβολῆς καὶ παθῶν παρέσχεν, ἀλλ' οὔσης ἐν πάθεσι παντοδαποῖς καὶ μεταβολαῖς ἀτάκτοις, ἐξεῖλε τὴν πολλὴν ἀοριστίαν καὶ πλημμέλειαν, ἁρμονίᾳ καὶ ἀναλογίᾳ καὶ ἀριθμῷ χρώμενος ὀργάνοις· ὧν ἔργον ἐστὶν, οὐ μεταβολῇ καὶ κινήσει ἑτερότητος πάθη καὶ διαφορὰς παρέχειν τοῖς πράγμασιν, ἀλλὰ μᾶλλον ἁπλανῆ καὶ στάσιμα, καὶ τοῖς κατὰ τὰ αὐτὰ ὡσαύτως ἔχουσιν ὅμοια ποιεῖν. ἡ μὲν οὖν διάνοια τοιαύτη, κατά γε τὴν ἐμὴν δόξαν, τοῦ Πλάτωνος.

VIII. Ἀπόδειξις δὲ πρώτη μέν, ἡ τῆς λεγομένης καὶ δοκούσης αὐτοῦ πρὸς ἑαυτὸν ἀσυμφωνίας καὶ διαφορᾶς λύσις. οὐδὲ γὰρ σοφιστῇ κραιπαλῶντι, πόθεν γε δὴ Πλάτωνι, τοιαύτην ἄν τις ἀναθείη, περὶ οὗς ἐσπουδάκει μάλιστα τῶν λόγων, ταραχὴν καὶ ἀνωμαλίαν, ὥστε τὴν αὐτὴν φύσιν ὁμοῦ καὶ ἀγέννητον ἀποφαίνειν καὶ γενομένην· ἀγέννητον μὲν ἐν Φαίδρῳ τὴν ψυχήν· ἐν δὲ Τιμαίῳ, γινομένην. ἡ μὲν οὖν ἐν Φαίδρῳ διάλεκτος ὀλίγου δεῖν ἅπασι διὰ στόματός ἐστι, τῷ ἀγεννήτῳ τὸ ἀνώλεθρον, τῷ δ' αὐτοκινήτῳ πιστουμένη τὸ ἀγέννητον αὐτῆς· ἐν δὲ Τιμαίῳ· Τὴν δὲ ψυχὴν, φησὶν, οὐχ ὡς; νῦν ὑστέραν ἐπιχειροῦμεν λέγειν, οὕτως ἐμηχανήσατο καὶ ὁ θεὸς νεωτέραν· οὐ γὰρ ἂν ἄρχεσθαι πρεσβύτερον ὑπὸ νεωτέρου συνέρξας, εἴασεν· ἀλλά πως ἡμεῖς πολὺ μετέχοντες τοῦ προστυχόντος τε καὶ εἰκῇ, ταύτῃ πη καὶ λέγομεν· ὁ δὲ καὶ γενέσει καὶ ἀρετῇ προτέραν τὴν ψυχὴν σώματος, ὡς δεσπότιν καὶ ἄρξουσαν ἀρξομένου, συνεστήσατο. καὶ πάλιν, εἰπὼν, ὡς αὐτὴ ἐν ἑαυτῇ στρεφομένη, θείαν ἀρχὴν ἤρξατο ἀπαύστου καὶ ἔμφρονος βίου· Τὸ μὲν δὴ σῶμα, φησὶν, ὁρατὸν οὐρανοῦ γέγονεν, αὗτη δ' ἀόρατος μέν, λογισμοῦ δὲ μετέχουσα καὶ ἁρμονίας ψυχὴ, τῶν νοητῶν ἀεί τ' ὄντων ὑπὸ τοῦ ἀρίστου ἀρίστη γενομένη τῶν γεννηθέντων. ἐνταῦθα γὰρ τὸν μὲν θεὸν ἄριστον εἰπὼν τῶν ἀεὶ ὄντων, τὴν δὲ ψυχὴν ἀρίστην τῶν γεννηθέντων, σαφεστάτη ταύτῃ τῇ διαφορᾷ καὶ ἀντιθέσει τὸ ἀΐδιον αὐτῆς καὶ τὸ ἀγένητον ἀφῄρηται.

XI *Τίς τούτων ἐπανόρθωσις ἑτέρα, πλὴν ὁ αὐτὸς δίδωσι τοῖς δέχεσθαι βουλομένοις; ἀγέννητον μὲν γὰρ ἀποφαίνει ψυχὴν τὴν πρὸ τῆς κόσμοι γενέσεως πλημμελῶς πάντα καὶ ἀτάκτως κινοῦσαν· γενομένην δὲ καὶ γεννητὴν πάλιν, ἣν ὁ θεὸς ἔκ τε ταὐτότητος καὶ τῆς μονίμου τε καὶ ἀρίστης οὐσίας ἐκείνης ἔμφρονα καὶ τεταγμένην ἀπεργασάμενος, καὶ καθάπερ εἶδος καὶ τῷ αἰσθητικῷ τὸ νοερὸν, καὶ τῷ κινητικῷ τὸ τεταγμένον ἀπ' αὐτοῦ παρασχών, ἡγεμόνα τοῦ παντὸς ἐγκατέστησεν. οὕτω γὰρ καὶ τὸ σῶμα τοῦ κόσμου, πῇ μὲν ἀγέννητον ἀποφαίνει, πῇ δὲ γεννητόν. ὅταν μὲν γὰρ εἴπῃ, πᾶν, ὅσον ἦν ὁρατὸν, οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον ἀτάκτως, τὸν θεὸν παραλαβόντα διακοσμεῖν· καὶ πάλιν, τὰ τέτταρα γένη, πῦρ, καὶ ὕδωρ, καὶ γῆν, καὶ ἀέρα, πρὶν ἢ τὸ πᾶν ὑπ' αὐτῶν διακοσμηθὲν γενέσθαι, σεισμὸν ἐμποιεῖν τῇ ὕλῃ, καὶ ὑπ' ἐκείνης τινάσσεσθαι διὰ τὴν ἀνωμαλίαν· ὄντα που ποιεῖ καὶ ὑποκείμενα τὰ σώματα πρὸ τῆς τοῦ κόσμου γενέσεως. ὅταν δὲ πάλιν λέγῃ, τῆς ψυχῆς νεώτερον γονέναι τὸ σῶμα, καὶ τὸν κόσμον εἶναι γεννητὸν, ὁρατὸς καὶ ἁπτὸς καὶ σῶμα ἔχων ἐστὶ, τὰ δὲ τοιαῦτα γιγνόμενα καὶ γεννητὰ ἐφάνη, παντὶ δῆλος γένεσιν τῇ φύσει τοῦ σώματος ἀποδίδωσιν. πολλοῦ δεῖ τἀναντία λέγειν καὶ διαφέρεσθαι αὐτὸν οὕτως ἐκφανῶς ἐν τοῖς μεγίστοις. οὐ γὰρ σαυτῷ οὐδὲ ταυτὸ σῶμα γίνεσθαί τε φησὶν τοῦ θεοῦ, καὶ εἶναι, πρὶν ἢ γενέσθαι· ταῦτα τοίνυν φαρμακῶντός ἐστιν· ἀλλὰ τί δεῖ νοεῖν*

γέννεσιν, αὐτὸς διδάσκει. Τὸ μὲν γὰρ πρωτοῦ, φησὶ, ταῦτα πάντα εἶχεν ἀλόγως καὶ ἀμέτρως· ὅτε δ' ἐπεχειρεῖτο κοσμεῖσθαι τὸ πᾶν, πῦρ πρῶτον καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα, ἴχνη μὲν ἔχοντα αὐτά αὐτῶν παντάπασιν ἦν διακείμενα, ὥσπερ εἰκὸς ἔχειν ἅπαν, ὅταν ἀπῇ τινὸς θεός· οὕτω δὴ τότε πεφυκότα ταῦτα, πρῶτον διεσχηματίσατο εἴδεσι καὶ ἀριθμοῖς. ἔτι δὲ πρότερον εἰπών, ὡς οὐ μιᾶς ἔργον ἦν ἀναλογίας, ἀλλὰ δυεῖν, τὸ συνδῆσαι στερεὸν ὄντα καὶ βάθος ἔχοντα τὸν τοῦ παντὸς ὄγκον, καὶ διελθὼν, ὅτι πυρὸς καὶ γῆς ὕδωρ ἀέρα τε ὁ θεὸς ἐν μέσῳ θεὶς, συνέδησε καὶ συνεστήσατο τὸν οὐρανόν· Ἔκ τε δὴ τούτων, φησὶ, τοιούτων καὶ τὸν ἀριθμὸν τεττάρων, τὸ τοῦ κόσμου σῶμα ἐγεννήθη, δι' ἀναλογίας ὁμολογῆσαν· φιλίαν τ' ἔσχεν ἐκ τούτων, ὥστ' εἰς ταυτὸ αὑτῷ συνελθόν, ἄλυτον ὑπό τῶν ἄλλων, πλὴν ὑπό τοῦ συνδήσαντος, γενέσθαι· σαφέστατα διδάσκων, ὡς οὐχὶ σώματος ἁπλῶς, οὐδ' ὄγκου καὶ ὕλης, ἀλλὰ συμμετρίας περὶ σῶμα καὶ κάλλους καὶ ὁμοιότητος ἦν ὁ θεὸς πατὴρ καὶ δημιουργός. ταῦτα δεῖ διανοεῖσθαι καὶ περὶ ψυχῆς, ὡς τὴν μὲν οὔτε ὑπὸ τοῦ θεοῦ γενομένην, οὔτε κόσμου ψυχὴν οὖσαν, ἀλλά τινα φανταστικῆς καὶ δοξαστικῆς, ἀλόγου δὲ καὶ ἀτάκτου φορᾶς καὶ ὁρμῆς δύναμιν αὐτοκίνητον καὶ ἀεικίνητον· τὴν δ' αὐτὸς ὁ θεὸς διαρμοσάμενος τοῖς προσήκουσιν ἀριθμοῖς καὶ λόγοις ἐγκατέστησεν ἡγεμόνα τοῦ κόσμου γεγονότος γεννητὴν οὖσαν.

X. Ὅτι δὲ περὶ τούτων διενοεῖτο ταῦτα, καὶ

οὐ θεωρίας ἕνεκα, τοῦ τε κόσμου μὴ γενομένου καὶ τῆς ψυχῆς ὁμοίως ὑπετίθετο σύστασιν καὶ γένεσιν, ἐκεῖνο πρὸς πολλοῖς τεκμήριόν ἐστι, τὸ τὴν μὲν ψυχὴν ὑπ' αὐτοῦ καὶ ἀγέννητον, ὥσπερ εἴρηται, καὶ γεννητὴν λέγεσθαι· τὸν δὲ κόσμον, ἀεὶ μὲν γεγονότα καὶ γεννητὸν, ἀγέννητον δὲ μηδέποτε, μηδ' ἄϊδιον. τὰ μέν οὖν ἐν Τιμαίῳ τί δεῖ προφέρειν; ὅλον γὰρ καὶ πᾶν τὸ σύγγραμμα περὶ κόσμου γενέσεως ἄχρι τέλους ἀπ' ἀρχῆς ἐστι. τῶν δ' ἄλλων, ἐν μὲν Ἀτλαντικῷ προσευχόμενος ὁ Τίμαιος ὀνομάζει τὸν πάλαι μὲν ἔργῳ γεγονότα, νῦν δὲ λόγῳ θεόν· ἐν Πολιτικῷ δὲ ὁ Παρμενίδειος ξένος, τὸν κόσμον ὑπὸ τοῦ θεοῦ συντεθέντα, φησὶ, πολλῶν ἀγαθῶν μεταλαβεῖν, εἰ δέ τι φλαῦρόν ἐστιν ἢ χαλεπὸν, ἐκ τῆς προτέρας ἕξεως ἀναρμόστου καὶ ἀλόγου συμμεμιγμένον ἔχειν· ἐν δὲ τῇ Πολιτείᾳ περὶ τοῦ ἀριθμοῦ, ὃν γάμον ἔνιοι καλοῦσιν, ὁ Σωκράτης ἀρχόμενος λέγειν· Ἔστι δὲ, φησὶ, θείῳ μὲν γεννητῷ περίοδος, ἣν ἀριθμὸς περιλαμβάνει τέλειος· οὐκ ἄλλο καλῶν θεῖον γεννητὸν, ἢ τὸν κόσμον.

XI. Ἐν δὲ ★ ἡ τῶν τριῶν καὶ μιᾶς. τρίτη δὲ ἡ τῶν ε καὶ ς'· ὧν οὐδεμία ποιεῖ τετράγωνον, οὔτ' αὐτὴ καθ' ἑαυτὴν, οὔτε μετὰ τῶν ἄλλων. τε τάρτη μέν ἐστι, συντιθεμένη δὲ ταῖς πρώταις τριακονταέξ, τετράγωνον παρέσχεν. ἡ δὲ τῶν ὑπὸ Πλάτωνος ἐκκειμένων ἀριθμῶν τετρακτὺς ἐντελεστέραν ἔσχηκε τὴν γένεσιν, τῶν μὲν ἀρτίων, ἀρτίοις διαστήμασι, τῶν δὲ περιττῶν, περιττοῖς πολλαπλασιασθέντων· περιέχει δὲ τὴν μὲν μονάδα, κοινὴν

οὖσαν ἀρχὴν ἀρτίων καὶ περιττῶν, τῶν δ' ὑπ' αὐτῇ τὰ μὲν δύο καὶ τρία πρώτους ἐπιπέδους, τὰ δὲ τέτταρα καὶ ἐννέα πρώτους τετραγώνους, τὰ δ' ὀκτὼ καὶ εἰκοσιεπτὰ πρώτους κύβους ἐν ἀριθμοῖς, ἔξω λόγου τῆς μονάδος θεμένης. ᾗ καὶ δῆλός ἐστι βουλόμενος οὐκ ἐπὶ μιᾶς εὐθείας ἅπαντας, ἀλλ' ἐναλλὰξ καὶ ἰδίᾳ, τάσσεσθαι τοὺς ἀρτίους μετ' ἀλλήλων, καὶ πάλιν τοὺς περισσούς, καὶ ὑπογέγραπται. οὕτως καὶ αἱ συζυγίαι τῶν ὁμοίων ἔσονται πρὸς τοὺς ὁμοίους, καὶ ποιήσουσιν ἀριθμοὺς ἐπιφανεῖς κατά τε σύνθεσιν καὶ πολλαπλασιασμὸν ἐξ ἀλλήλων.

XII. Κατὰ σύνθεσιν οὕτως· τὰ δύο καὶ τὰ τρία, πέντε γίνεται· τὰ τεσσαρα καὶ ἐννέα, τριακαίδεκα· τὰ δ' ὀκτὼ καὶ εἰκοσιεπτά, πέντε καὶ τριάκοντα. τούτων γὰρ τῶν ἀριθμῶν οἱ Πυθαγορικοὶ, τὰ μὲν ὁ τροφὸν, ὅπερ ἐστὶ φθόγγον, ἐκάλουν· οἰόμενοι, τῶν τοῦ τόνου διαστημάτων πρῶτον, εἶναι φθεγκτὸν τὸ πέμπτον· τὰ δὲ τρισκαίδεκα, λεῖμμα, καθάπερ Πλάτων, τὴν εἰς ἴσα τοῦ τόνου διανομὴν ἀπογινώσκοντες· τὰ δὲ πέντε καὶ τριάκοντα, ἁρμονίαν, ὅτι συνέστηκεν ἐκ δυοῖν κύβων πρώτων ἀπ' ἀρτίου καὶ περιττοῦ γεγονότων, ἐκ τεσσάρων δ' ἀριθμῶν, τοῦ ς', καὶ τοῦ ἡ καὶ τοῦ θ', καὶ ιβ', τὴν ἀριθμητικὴν καὶ τὴν ἁρμονικὴν ἀναλογίαν περιεχόντων. ἔσται δὲ μᾶλλον ἡ δύναμις ἐκφανὴς ἐπὶ διαγράμματος. ἔστω τὸ α, β', γ', δ', παραλληλόγραμμον ὀρθογώνιον, ἔχον τῶν πλευρῶν τὴν α, β', πέντε· τὴν δὲ α, δ', ἑπτά· καὶ τμηθείσης τῆς μὲν ἐλάττονος εἰς δύο καὶ τρία, κατὰ τὸ

κ', τῆς δὲ μείζονος εἰς τρία καὶ τέτταρα κατὰ τὸ λ'. διήχθωσαν ἀπὸ τῶν τομῶν εὐθεῖαι τέμνουσαι ἄλλήλας κατὰ τὸ κ', μ', ν', καὶ κατὰ τὸ λ', μ', ξ'· Καὶ τὸ μὲν ά, κ', μ', λ', ἓξ· τὸ δὲ κ', β', ξ', μ', ἐννέα· τὸ δὲ λ', μ', ν', δ', ὀκτώ· τὸ δὲ μ', ξ', γ', ν', δώδεκα· τὸ δὲ ὅλον παραλληλόγραμμον τριάκοντα καὶ πέντε τοὺς τῶν συμφωνιῶν τῶν πρώτων λόγους ἐν τοῖς τῶν χωρίων ἀριθμοῖς, εἰς ἃ διῄρηται, περιέχον. τὰ μὲν οὖν ἓξ καὶ ὀκτὼ τὸν ἐπίτριτον ἔχει λόγον, ἐν ᾧ τὸ διὰ τεσσάρων· τὰ δὲ ἓξ καὶ ἐννέα, τὸν ἡμιόλιον, ἐν ᾧ τὸ διὰ πέντε· τὰ δὲ ἓξ καὶ τὰ ιβ', τὸν διπλάσιον, ἐν ᾧ τὸ διὰ πασῶν· ἔνεστι δὲ καὶ ὁ τοῦ τόνου λόγος ἐπόγδοος ὢν ἐν τοῖς ἐννέα καὶ ὀκτώ· διὰ τοῦτο καὶ ἁρμονίαν τὸν περιέχοντα τοὺς λόγους τούτους ἀριθμὸν ἐκάλεσαν. ἐξάκις δὲ γενόμενος τὸν τῶν δέκα ποιεῖ καὶ διακοσίων ἀριθμόν, ἐν ὅσαις λέγεται ἡμέραις τὰ ἑπτάμηνα τῶν βρεφῶν τελεογονεῖσθαι

XIII. *Πάλιν δ' ἀφ' ἑτέρας ἀρχῆς κατὰ πολλαπλασιασμόν*, ὁ μὲν δὶς γ', τὸν ς' ποιεῖ. ὁ δὲ τετράκις ἐννέα, τὸν τριακονταέξ· ὁ δ' ὀκτάκις κζ', τὸν σις'. καὶ ἔστιν ὁ μὲν ς', τέλειος, ἴσος ὢν τοῖς ἑαυτοῦ μέρεσι· καὶ γάμος καλεῖται, διὰ τὴν τοῦ πρώτου ἀρτίου καὶ περιττοῦ σύμμιξιν· ἔτι δὲ συνέστηκεν ἔκ τε τῆς ἀρχῆς, καὶ τοῦ ἀρτίου, καὶ τοῦ πρώτου περιττοῦ. ὁ δὲ λς', πρῶτός ἐστι τετράγωνος ἅμα καὶ τρίγωνος· τετράγωνος μὲν ἀπὸ τῆς ἑξάδος, τρίγωνος δ' ἀπὸ τῆς ἀγδοάδος· καὶ γέγονε πολλαπλασιασμῷ μὲν τετραγώνων δυοῖν, τοῦ

τέτταρα τὸν ἐννέα πολλαπλασιάσαντος· συνθέσει δὲ τριῶν κύβων· τὸ γὰρ ἓν καὶ τὰ ὀκτὼ καὶ τὰ εἰκοσιεπτὰ συντεθέντα ποιεῖ τὸν προγεγραμμένον ἀριθμόν· ἔτι δὲ ἑτερομήκης ἀπὸ δυεῖν πλευρῶν, τῶν μὲν δώδεκα τρὶς γινομένων, τῶν δ' ἐννέα τετράκις. ὧν οὖν ἐκτεθῶσιν αἱ τῶν σχημάτων πλευραὶ, τοῦ τετραγώνου τὰ ς', καὶ τοῦ τριγώνου τὰ ὀκτὼ, καὶ παραλληλογράμμων, τοῦ μὲν ἑτέρου τὰ ἐννέα, τοῦ δὲ ἑτέρου τὰ ιβ', τοὺς τῶν συμφωνιῶν ποιήσουσι λόγους. ἔσται γὰρ τὰ δώδεκα πρὸς μὲν τὰ ἐννέα, διὰ τεσσάρων, ὡς νήτη πρὸς μέσην. πρὸς δὲ τὰ ὀκτὼ, διὰ πέντε, ὡς νήτη πρὸς παραμέσην, πρὸς δὲ τὰ ς', διὰ πασῶν, ὡς νήτη πρὸς ὑπάτην. ὁ δὲ σις', κύβος ἐστὶν, ἀπὸ ἑξάδος ἴσος τῇ ἑαυτοῦ περιμέτρῳ.

XIV. Τοιαύτας δὲ δυνάμεις τῶν ἐκκειμένων ἀριθμῶν ἐχόντων, ἴδιον τῷ τελευταίῳ συμβέβηκε τῷ κζ', τὸ τοῖς πρὸ αὐτοῦ συντιθέμενον ἴσον εἶναι πᾶσιν· ἔστι δὲ καὶ περιοδικὸς σελήνης· καὶ τῶν ἐμμελῶν διαστημάτων οἱ Πυθαγορικοὶ τὸν τόνον ἐν τούτῳ τῷ ἀριθμῷ τάττουσι· διὸ καὶ τὰ τρισκαίδεκα λεῖμμα καλοῦσιν· ἀπολείπει γὰρ μονάδι τοῦ ἡμίσεως. ὅτι δὲ οὗτοι καὶ τοὺς τῶν συμφωνιῶν λόγους περιέχουσι, ῥᾴδιον καταμαθεῖν. καὶ γὰρ διπλάσιος λόγος ἐστὶν ὁ τῶν δύο πρὸς τὸ ἕν, ἐν ᾧ τὸ διὰ πασῶν· καὶ ἡμιόλιος ὁ πρὸς τὰ δύο τῶν τριῶν, ἐν ᾧ τὸ διὰ πέντε· καὶ ἐπίτριτος, ὁ πρὸς τὰ τρία τῶν τεσσάρων· ἐν ᾧ τὸ διὰ τεσσάρων· καὶ τριπλάσιος, ὁ πρὸς τὰ τρία τῶν ἐννέα, ἐν ᾧ τὸ διὰ πασῶν καὶ διὰ πέντε· καὶ τετραπλάσιος ὁ πρὸς

τὰ δύο τῶν ἡ, ἐν ᾧ τὸ δὶς διὰ πασῶν· ἔνεστι δὲ καὶ ἐπόγδοος τῶν ὀκτὼ πρὸς τὰ ἐννέα, ἐν ᾧ τὸ τονιαῖον. ἂν τοίνυν ἡ μονὰς, ἐπίκοινος οὖσα, καὶ τοῖς ἀρτίοις συναριθμῆται καὶ τοῖς περιττοῖς, ὁ μὲν ἅπας ἀριθμὸς τὸ τῆς δεκάδος παρέχεται πλῆθος· οἱ γὰρ ἀπὸ μονάδος μέχρι τῶν δέκα συντιθέμενοι πεντεκαίδεκα, τρίγωνον ἀπὸ πενταδος· ὁ δὲ περιττὸς τὸν τετταράκοντα κατὰ σύνθεσιν μὲν, ἐκ τῶν δεκατριῶν καὶ τῶν κζ γεννώμενον, οἷς τὰ μελῳδούμενα μετροῦσιν εὐσήμως οἱ μαθηματικοὶ διαστήματα, τὸ μὲν δίεσιν, τὸ δὲ τόνον καλοῦντες· κατὰ τὸν πολλαπλασιασμὸν δὲ, τῇ τῆς τετρακτύος δυνάμει γινόμενον· τῶν γὰρ πρώτων τεσσάρων καθ' αὑτὸν ἑκάστου τετράκις λαμβανομένου, γίνεται τέσσαρα, καὶ ἡ, καὶ ιβ', καὶ ις'· ταῦτα τὸν μ' συντίθησι, περιέχοντα τοὺς τῶν συμφωνιῶν λόγους· τὰ μὲν γὰρ ις', ἐπίτριτα τῶν δεκαδύο ἐστὶν, τῶν δὲ ἡ διπλάσια, τῶν δὲ τεσσάρων τετραπλάσια· τὰ ιβ', τῶν ὀκτὼ ἡμιόλια, τῶν δὲ τεσσάρων τριπλάσια· οὗτοι δὲ οἱ λόγοι, τὸ διὰ τεσσάρων, καὶ τὸ διὰ πέντε, καὶ τὸ διὰ πασῶν, καὶ τὸ δὶς διὰ πασῶν, περιέχουσιν. ἴσος γε μήν ἐστιν ὁ τῶν τεσσαράκοντα δυεῖν τετραγώνοις καὶ δυοὶ κύβοις ὁμοῦ λαμβανομένοις· τὸ γὰρ ἓν καὶ τὰ τέσσαρα καὶ τὰ ὀκτὼ καὶ τὰ κζ κύβοι καὶ τετράγωνοι γίνονται συντεθέντες. ὥστε πολὺ τῆς Πυθαγορικῆς τὴν Πλατωνικὴν τετρακτὺν ποικιλωτέραν εἶναι τῇ διαθέσει καὶ τελειοτέραν.

XV. Ἀλλὰ ταῖς εἰσαγομέναις μεσότησι τῶν ὑπο

κειμένων ἀριθμῶν χώρας οὐ διδόντων, ἐδέησε μεί
νας ὅρους λαβεῖν ἐν τοῖς αὐτοῖς λόγοις· καὶ λεκτέ
τίνες εἰσὶν οὗτοι. πρότερον δὲ περὶ τῶν μεσοτήτω
ὧν τὴν μὲν ἴσῳ κατ' ἀριθμὸν ὑπερέχουσαν, ἴσῳ
ὑπερεχομένην, ἀριθμητικὴν οἱ νῦν καλοῦσι· τὴν
ταυτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχουσαν καὶ ὑπ
ερχομένην, ὑπεναντίαν. ὅροι δὲ εἰσι τῆς μὲν ἀρι
μητικῆς, ς', καὶ θ', καὶ ιβ'· τὰ γὰρ ἐννέα τῷ ἴ
κατ' ἀριθμὸν τῶν ἓξ ὑπερέχει, καὶ τῶν ιβ' λείπετ
τῆς δὲ ὑπεναντίας, ς', ἡ, ιβ'· τὰ γὰρ ὀκτὼ δ
μὲν τῶν ς' ὑπερέχει, τέτταρσι δὲ τῶν ιβ' λείπετ
ὧν τὰ μὲν δύο τῶν ἓξ, τὰ δὲ τέσσαρα τῶν δώδεκα τ
τημόριόν ἐστι. συμβέβηκεν οὖν ἐν μὲν τῇ ἀριθμη
κῇ τῷ αὐτῷ μέρει τὸ μέσον ὑπερέχεσθαι καὶ ὑπε
χειν, ἐν δὲ τῇ ὑπεναντίᾳ τῷ αὐτῷ μέρει τῶν ἄκρ
τοῦ μὲν ἀποδεῖν, τὸ δὲ ὑπερβάλλειν· ἐκεῖ μὲν γ
τὰ τρία τοῦ μέσου τρίτον ἐστὶ μέρος, ἐνταῦθα δὲ
δ' καὶ τὰ β', τῶν ἄκρων ἑκάτερον ἑκατέρου· ὅθ
ὑπεναντία κέκληται. ταύτην δὲ ἁρμονικὴν ὀνομάζ
σιν, ὅτι τοῖς ὅροις τὰ πρῶτα σύμφωνα παρέχετ
τῷ μὲν μεγίστῳ πρὸς τὸν ἐλάχιστον τὸ διὰ πασ
τῷ δὲ μεγίστῳ πρὸς τὸν μέσον τὸ διὰ πέντε, τῷ
μέσῳ πρὸς τὸν ἐλάχιστον τὸ διὰ τεσσάρων· ὅτι
μεγίστου τῶν ὅρων κατὰ νήτην τιθεμένου, τοῦ
ἐλαχίστου καθ' ὑπάτην, ὁ μέσος γίνεται ὁ κατὰ
σην, πρὸς μὲν τὸν μέγιστον τὸ διὰ πέντε ποιοῦσ
πρὸς δὲ τὸν ἐλάχιστον τὸ διὰ τεσσάρων· ὥστε γί
σθαι τὰ ὀκτὼ κατὰ τὴν μέσην, τὰ δὲ δώδεκα κα
νήτην, τὰ δὲ ἓξ καθ' ὑπάτην.

XVI. *Τὸν δὲ τρόπον, ᾧ λαμβάνουσι τὰς εἰρημένας μεσότητας, ἁπλῶς καὶ σαφῶς Εὔδωρος ἀποδείκνυσι. σκόπει δὲ πρότερον ἐπὶ τῆς ἀριθμητικῆς. ἂν γὰρ ἐκθεὶς τοὺς ἄκρους λάβῃς ἑκατέρου τὸ ἥμισυ μέρος, καὶ συνθῇς, ὁ συντεθεὶς ἔσται μέσος ἔν τε τοῖς διπλασίοις καὶ τοῖς τριπλασίοις ὁμοίως. ἐπὶ δὲ τῆς ὑπεναντίας, ἐν μὲν τοῖς διπλασίοις ἂν τοὺς ἄκρους ἐκθεὶς, τοῦ μὲν ἐλάττονος τὸ τρίτον, τοῦ δὲ μείζονος τὸ ἥμισυ λάβῃς, ὁ συντεθεὶς γίνεται μέσος· ἐν δὲ τοῖς τριπλασίοις ἀνάπαλιν, τοῦ μὲν ἐλάττονος ἥμισυ δεῖ λαβεῖν, τοῦ δὲ μείζονος τρίτον· ὁ γὰρ συντεθεὶς οὕτω, γίνεται μέσος· ἔστω γὰρ ἐν τριπλασίῳ λόγῳ τὰ ς′ ἐλάχιστος ὅρος, τὰ δὲ ιή μέγιστος· ἂν οὖν τῶν ς′ τὸ ἥμισυ λαβὼν τὰ τρία, καὶ τῶν ὀκτὼ καὶ δέκα τὸ τρίτον τιὰ ς′, συνθῇς, ἕξεις τὰ ἐννέα τῷ αὐτῷ μέρει τῶν ἄκρων ὑπερέχοντα καὶ ὑπερεχόμενα. οὕτως μὲν αἱ μεσότητες λαμβάνονται. δεῖ δ᾽ αὐτὰς ἐκεῖ παρεντάξαι, καὶ ἀναπληρῶσαι τὰ διπλάσια καὶ τριπλάσια διαστήματα. τῶν δ᾽ ἐκκειμένων ἀριθμῶν οἱ μὲν οὐδὲ ὅλως μεταξὺ χώραν ἔχουσιν, οἱ δ᾽ οὐχ ἱκανήν· αὔξοντες οὖν αὐτοὺς, τῶν αὐτῶν λόγων διαμενόντων, ὑποδοχὰς ποιοῦσιν ἀρκούσας ταῖς εἰρημέναις μεσότησι. καὶ πρῶτον μὲν ἑλάχιστον ἀντὶ τοῦ ἑνὸς τὰ ἓξ θέντες, ἐπεὶ πρῶτος ἥμισύ τε καὶ τρίτον ἔχει μέρος, ἅπαντας ἑξαπλασίους τοὺς ὑποτεταγμένους ἐποίησαν, ὡς ὑπογέγραπται, δεχομένους τὰς μεσότητας ἀμφοτέρας καὶ τοῖς διπλασίοις διαστήμασιν. εἰρηκότος δὲ τοῦ Πλάτωνος· Ἡμιολίων δὲ διαστάσεων καὶ ἐπιτρίτων καὶ ἐπογδόων γενομένων,*

κειμένων ἀριθμῶν χώρας οὐ διδόντων, ἐδέησε με
νας ὅρους λαβεῖν ἐν τοῖς αὐτοῖς λόγοις· καὶ λεκτ
τίνες εἰσὶν οὗτοι. πρότερον δὲ περὶ τῶν μεσοτήτ
ὧν τὴν μὲν ἴσῳ κατ' ἀριθμὸν ὑπερέχουσαν, ἴσ
ὑπερεχομένην, ἀριθμητικὴν οἱ νῦν καλοῦσι· τὴ
ταυτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχουσαν καὶ ὑ
εχομένην, ὑπεναντίαν. ὅροι δὲ εἰσι τῆς μὲν ἀ
μητικῆς, ς', καὶ θ', καὶ ιβ'· τὰ γὰρ ἑννέα τῷ
κατ' ἀριθμὸν τῶν ἓξ ὑπερέχει, καὶ τῶν ιβ' λείπε
τῆς δὲ ὑπεναντίας, ς', ἡ, ιβ'· τὰ γὰρ ὀκτὼ
μὲν τῶν ς' ὑπερέχει, τέτταρσι δὲ τῶν ιβ' λεί
ὧν τὰ μὲν δύο τῶν ἓξ, τὰ δὲ τέσσαρα τῶν δώδεκα
τημόριόν ἐστι. συμβέβηκεν οὖν ἐν μὲν τῇ ἀριθμ
κῇ τῷ αὐτῷ μέρει τὸ μέσον ὑπερέχεσθαι καὶ ὑ
χειν, ἐν δὲ τῇ ὑπεναντίᾳ τῷ αὐτῷ μέρει τῶν ἄκ
τοῦ μὲν ἀποδεῖν, τὸ δὲ ὑπερβάλλειν· ἐκεῖ μέ
τὰ τρία τοῦ μέσου τρίτον ἐστὶ μέρος, ἐνταῦθα
δ' καὶ τὰ β', τῶν ἄκρων ἑκάτερον ἑκατ
ὑπεναντία κέκληται. ταύτην δὲ ἁρμο
σιν, ὅτι τοῖς ὅροις τὰ πρῶτα
τῷ μὲν μεγίστῳ πρὸς τὸ
τῷ δὲ μεγίστῳ πρὸς τὸ
μέσῳ πρὸς τὸν ἐλά
μι



ἐκ τούτων τῶν δεσμῶν ἐν ταῖς πρόσθεν διαστάσεσι τῷ τοῦ ἐπογδόου διαστήματι τὰ ἐπίτριτα πάντα συνεπλήρου, λείπων αὐτῶν ἑκάστου μόριον· τῆς δὲ τοῦ μορίου ταύτης διαστάσεως λειφθείσης ἀριθμοῦ πρὸς ἀριθμὸν ἐχούσης τοὺς ὅρους ς′ καὶ ν′ καὶ σ′, πρὸς γ′ καὶ μ′ καὶ σ′· διὰ ταύτην τὴν λέξιν ἠναγκάζοντο πάλιν τοὺς ἀριθμοὺς ἐπανάγειν καὶ μείζονας ποιεῖν. ἔδει μὲν γὰρ ἐφεξῆς ἐπόγδοα γίνεσθαι δύο· τῆς δὲ ἑξάδος οὔτ' αὐτόθεν ἐπόγδοον ἐχούσης, εἴτε τέμνοιτο, κερματιζομένων εἰς μόρια τῶν μονάδων, δυσθεωρήτου τῆς μαθήσεως ἐσομένης, αὐτὸ τὸ πρᾶγμα τὸν πολυπλασιασμὸν ὑπηγόρευσεν, ὥσπερ ἐν ἁρμονικῇ μεταβολῇ τοῦ διαγράμματος ὅλου συνεπιτεινομένου τῷ πρώτῳ τῶν ἀριθμῶν. ὁ μὲν οὖν Εὔδωρος ἐπακολουθήσας Κράντορι, πρῶτον ἔλαβε τὸν τπδ′, ὃς γίνεται τοῦ ἐξ ἐπὶ τὰ ξδ′ πολλαπλασιασθέντος· ἐπηγάγετο δ' αὐτοὺς ὁ τῶν ξδ′ ἀριθμός, ἐπόγδοον ἔχων τὸν ή, πρὸς τὸν οβ′. τοῖς δὲ ὑπὸ τοῦ Πλάτωνος λεγομένοις συμφωνότερόν ἐστιν ὑποθέσθαι τὸ ἥμισυ· τούτου γὰρ τὸ λεῖμμα τὸν τῶν ἐπογδόων ἕξει λόγον ἐν ἀριθμοῖς, οὓς ὁ Πλάτων εἴρηκεν ς′ καὶ ν′ καὶ σ′, πρὸς τρία καὶ μ′ καὶ σ′· τῶν ἑκατὸν ἐνενήκοντα δύο πρώτων τιθεμένων. ἂν δὲ ὁ τούτου διπλάσιος τεθῇ πρῶτος, ἔσται τὸ λεῖμμα λόγον μὲν ἔχον τὸν αὐτὸν, ἀριθμὸν δὲ τὸν διπλάσιον, ὃν ἔχει τὰ φιβ′ πρὸς υπδ′· γίνεται γὰρ ἐπίτριτα, τῶν μὲν ἑκατὸν ἐνενήκοντα δύο, τὰ σνς′· τῶν δὲ τπδ′, τὰ φιβ′. καὶ οὐκ ἄλογος ἡ ἐπὶ τοῦτον ἀναγωγὴ τὸν ἀριθμὸν, ἀλλὰ καὶ τοῖς περὶ τὸν Κράντορα παρα-

σχοῦσα τὸ εὔλογον· τὰ γὰρ ξδ , καὶ κύβος ἐστὶν ἀπὸ πρώτου τετραγώνου, καὶ τετράγωνος ἀπὸ πρώτου κύβου· γενόμενος δ' ἐπὶ τὸν γ' πρῶτον ὄντα περισσὸν, καὶ πρῶτον τρίγωνον, καὶ πρῶτον τέλειον ὄντα καὶ ἡμιόλιον, ἑκατὸν ἐνενήκοντα δύο πεποίηκεν, ἔχοντα καὶ αὐτὸν ἐπόγδοον, ὡς δείξομεν.

XVII. *Πρότερον δὲ τί τὸ λεῖμμά ἐστι, καὶ τίς ἡ διάνοια τοῦ Πλάτωνος, μᾶλλον κατόψεσθε, τῶν εἰωθότων ἐν ταῖς Πυθαγορικαῖς σχολαῖς λέγεσθαι βραχέως ὑπομνησθέντες.* ἔστι γὰρ διάστημα ἐν μελῳδίᾳ πᾶν τὸ περιεχόμενον ὑπὸ δυοῖν φθόγγων ἀνομοίων τῇ τάσει· τῶν δὲ διαστημάτων ἓν ὁ καλούμενος τόνος, ᾧ τὸ διὰ πέντε μεῖζόν ἐστι τοῦ διὰ τεσσάρων. τοῦτον οἱ μὲν ἁρμονικοὶ δίχα τεμνόμενον οἴονται δύο διαστήματα ποιεῖν, ὧν ἑκάτερον ἡμιτόνιον καλοῦσιν· οἱ δὲ Πυθαγορικοὶ τὴν μὲν εἰς ἴσα τομὴν παραπέγνωσαν αὐτοῦ, τῶν δὲ τμημάτων ἀνίσων ὄντων τὸ ἔλαττον ὀνομάζουσιν, ὅτι τοῦ ἡμίσεως ἐλλείπει. διὸ καὶ τῶν συμφωνιῶν τὴν διὰ τεσσάρων, οἱ μὲν δυοῖν τόνων καὶ ἡμιτονίου ποιοῦσιν, οἱ δὲ δυοῖν καὶ λείμματος. μαρτυρεῖν δὲ δοκεῖ τοῖς μὲν πρώτοις ἡ αἴσθησις, τοῖς δὲ μαθηματικοῖς ἡ ἀπόδειξις, ἧς τοιοῦτος ὁ τρόπος ἐστίν· ἐλήφθη διὰ τῶν ἀριθμῶν θεωρηθὲν, ὅτι τὸ μὲν διὰ πασῶν τὸν διπλάσιον λόγον ἔχει, τὸ δὲ διὰ πέντε τὸν ἡμιόλιον, τὸ δὲ διὰ τεσσάρων τὸν ἐπίτριτον, ὁ δὲ τόνος τὸν ἐπόγδοον. ἔξεστι δὲ καὶ νῦν βασανίσαι τὸ ἀληθὲς, ἢ δυοῖν ἄνισα χορδῶν ἐξαρτήσαντας , ἢ δυοῖν ὁμοίων αὐλῶν τὸν ἕτερον μήκει διπλάσιον τοῦ

ἑτέρου ποιήσαντας· τῶν μὲν γὰρ αὐλῶν ὁ μείζων βα
ρύτερον φθέγξεται, ὡς ὑπάτη πρὸς νήτην· τῶν
χορδῶν ἡ τῷ διπλασίῳ κατατεινομένη βάρει, τ
ἑτέρας ὀξύτερον, ὡς νήτη πρὸς ὑπάτην· τοῦτο δ' ἐσ
διὰ πασῶν. ὁμοίως δὲ καὶ τρία πρὸς δύο ληφθέν
μήκη καὶ βάρη, τὸ διὰ πέντε ποιήσει· καὶ τέσσαρ
πρὸς τρία, τὸ διὰ τεσσάρων· ὧν τοῦτο μὲν ἐπίτρ
τον ἔχει λόγον, ἐκεῖνο δὲ ἡμιόλιον. ἐὰν δὲ ὡς ἐννέ
πρὸς ὀκτὼ γίνηται τῶν βαρῶν ἢ τῶν μηκῶν ἡ ἀνισό
της, ποιήσει διάστημα τονιαῖον οὐ σύμφωνον, ἀλ
ἐμμελές, ὡς εἰπεῖν, ἔμβραχυ· τῷ τοὺς φθόγγους, ὁ
ἀνὰ μέρος κρουσθῶσι, παρέχει ἡδὺ φωνοῦντας κ
προσηνές· ἂν δὲ ὁμοῦ, τραχὺ καὶ λυπηρόν· ἐν
ταῖς συμφωνίαις καὶν ὁμοῦ κρούωνται, κἂν ἐναλλά
ἡδέως προσίεται τὴν συνήχησιν ἡ αἴσθησις. οὐ μι
ἀλλὰ καὶ διὰ λόγου τοῦτο δεικνύουσιν. ἐν μὲν γα
ἁρμονίᾳ, τὸ διὰ πασῶν ἔκ τε τοῦ διὰ πέντε σύγκε
ται καὶ τοῦ διὰ τεσσάρων· ἐν δ' ἀριθμοῖς, τὸ δι
πλάσιον ἔκ τε τοῦ ἡμιολίου καὶ τοῦ ἐπιτρίτου· τ
γὰρ δώδεκα, τῶν μὲν ἐννέα ἐστὶν ἐπίτριτα, τῶν
ὀκτὼ ἡμιόλια, τῶν δὲ ς' διπλάσια· σύνθετος οὖ
ὁ τοῦ διπλασίου λόγος ἐστὶν ἐκ τοῦ ἡμιολίου καὶ τα
ἐπιτρίτου, καθάπερ ὁ τοῦ διὰ πασῶν, ἐκ τοῦ δι
πέντε καὶ τοῦ διὰ τεσσάρων· ἀλλὰ κἀκεῖ τὸ διὰ πέν
τοῦ διὰ τεσσάρων τόνῳ, κἀνταῦθα τὸ ἡμιόλιον τα
ἐπιτρίτου τῷ ἐπογδόῳ μεῖζόν ἐστι. φαίνεται τοίνυ
ὅτι τὸ διὰ πασῶν τὸν διπλάσιον λόγον ἔχει, καὶ τ
διὰ πέντε τὸν ἡμιόλιον, καὶ τὸ διὰ τεσσάρων τὸ
ἐπίτριτον, καὶ ὁ τόνος τὸν ἐπόγδοον.

XVIII. Ἀποδεδειγμένου δὲ τούτου, σκοπῶμεν, εἰ δίχα τέμνεσθαι πέφυκε τὸ ἐπόγδοον· εἰ γὰρ μὴ πέφυκεν, οὐδὲ ὁ τόνος. ἐπεὶ δὲ πρῶτον τὸν ἐπόγδοον λόγον ὅ θ' καὶ ὁ ἡ ποιοῦντες, οὐθὲν διάστημα μέσον ἔχουσι, διπλασιασθέντων δ' ἀμφοτέρων, ὁ παρεμπίπτων μεταξὺ, δύο ποιεῖ διαστήματα· δῆλον, ὅτι, τούτων μὲν ἴσων ὄντων, δίχα τέμνεται τὸ ἐπόγδοον. ἀλλὰ μὴν διπλάσια γίνεται, τῶν μὲν θ' τὰ ἡ καὶ ι, τῶν δ' ὀκτὼ τὰ ς' καὶ δέκα· δέχονται δὲ οὗτοι μεταξὺ τὰ ιζ', καὶ γίνεται τῶν διαστημάτων τὸ μὲν μεῖζον, τὸ δ' ἔλαττον· ἔστι γὰρ τὸ μὲν πρότερον ἑφεπτακαιδέκατον, τὸ δὲ δεύτερον ἑφενκαιδέκατον. εἰς ἄνισα τοίνυν τέμνεται τὸ ἐπόγδοον· εἰ δὲ τοῦτο, καὶ ὁ τόνος· οὐδέτερον ἄρα γίνεται διαιρεθέντος αὐτοῦ τῶν τμημάτων ἡμιτόνιον, ἀλλ' ὀρθῶς ὑπὸ τῶν μαθηματικῶν λεῖμμα προσηγόρευται. καὶ τοῦτό ἐστιν, ὅ φησιν ὁ Πλάτων, τὰ ἐπίτριτα τοῖς ἐπογδόοις συμπληροῦντα τὸν Θεὸν, λείπειν ἑκάστου μόριον αὐτῶν. οὗ λόγος ἐστὶν, ὃν ἔχει τὰ ς' καὶ ν' καὶ σ', πρὸς τὰ γ' καὶ μ' καὶ σ'. εἰλήφθω γὰρ τὸ διὰ τεσσάρων ἐν ἀριθμοῖς δυσὶ τὸν ἐπίτριτον λόγον περιέχουσι, τοῖς σνς', καὶ τοῖς ἑκατὸν ἐνενήκοντα δύο· ὧν ὁ μὲν ἐλάττων, τὰ ἑκατὸν ἐνενήκοντα δύο, κεῖσθω κατὰ τὸν βαρυτατον τοῦ τετραχόρδου φθόγγον· ὁ δὲ μείζων, τὰ σνς', κατὰ τὸν ὀξύτατον. ἀποδεικτέον, ὅτι, τούτου συμπληρουμένου δυσὶν ἐπογδόοις, λείπεται διάστημα τηλικοῦτον, ἡλίκον ὡς ἐν ἀριθμοῖς τὰ ς' καὶ ν' καὶ σ' ἔχει πρὸς τὰ γ' καὶ μ' καὶ σ'. τοῦ γὰρ βαρυτέρου τόνῳ ἐπιταθέν-

τὸς, ὅπερ ἐστὶν ἐπόγδοον, γίνεται σις'. τούτου πάλιν τόνῳ ἄλλῳ ἐπιταθέντος, γίνεται σμγ'· ταῦτα μὲν γὰρ ὑπερέχει τῶν σις', τοῖς κζ'· τὰ δὲ σις' τῶν ἑκατὸν ἐνενήκοντα δύο, τοῖς εἴκοσι καὶ τέσσαρσιν· ὧν τὰ μὲν κζ' τῶν σις' ἐπόγδοά ἐστι, τὰ δὲ κδ' τῶν ἑκατὸν ἐνενήκοντα δύο. διὸ γίνεται τῶν τριῶν τούτων ἀριθμῶν, ὅ τε μέγιστος ἐπόγδοος τοῦ μέσου, καὶ ὁ μέσος τοῦ ἐλαχίστου· τὸ δ' ἀπὸ τοῦ ἐλαχίστου διάστημα μέχρι τοῦ μεγίστου, τοὐτέστι τοῦ ἀπὸ τῶν ἑκατὸν ἐνενήκοντα δύο μέχρι τῶν σμγ', δίτονον ἐκ δυοῖν συμπληροῦμεν ἐπογδόων· ἀφαιρουμένου δὲ τούτου, περίεστι τοῦ ὅλου διάστημα λοιπὸν τὸ μεταξὺ τῶν σμγ', καὶ τῶν σνς', τὰ τρισκαίδεκα· διὸ καὶ λεῖμμα τοῦτον τὸν ἀριθμὸν ὠνόμαζον. ἐγὼ μὲν οὖν εὐσημότατα δηλοῦσθαι τὴν Πλάτωνος οἶμαι γνώμην ἐν τούτοις τοῖς ἀριθμοῖς.

XIX. Ἕτεροι δὲ τοὺς διὰ τεσσάρων ὅρους θέμενοι, τὸν μὲν ὀξὺν, ἐν τοῖς σπή, τὸν δὲ βαρὺν, ἐν τοῖς σις', ἀναλόγως ἤδη τοῖς ἐξῆς περαίνουσιν· πλὴν ὅτι τὸ λεῖμμα τῶν δυοῖν τῶν μεταξὺ λαμβάνουσι· τοῦ γὰρ βαρυτέρου τόνῳ ἐπιταθέντος, γίνεται σμγ'· τοῦ δ' ὀξυτέρου τόνῳ ἀνεθέντος, γίνεται σνς'· ἔστι γὰρ ἐπόγδοα τὰ μὲν σμγ' τῶν σις', τὰ δὲ σπή τῶν σνς'· ὥστε τονιαῖον εἶναι τῶν διαστημάτων ἑκάτερον, λείπεσθαι δὲ τὸν μεταξὺ τῶν σμγ' καὶ τῶν σνς', ὅπερ οὐκ ἔστιν ἡμιτόνιον, ἀλλ' ἔλαττον· τὰ μὲν γὰρ σπή, τῶν σνς' ὑπερέχει τοῖς ιʹ καὶ δυσὶ, τὰ δὲ σμγ' τῶν σις' ὑπερέχει τοῖς κζ', τὰ δὲ σνς' τῶν σμγ' ὑπερέχει τοῖς ιγ'· ταῦτα δ' ἀμφοτέρων

ερoχῶν ἐλάττωι ἢ ἡμισεά ἐστι. διὸ δυοῖν τό-
ι λείμματος, οὐ δυοῖν καὶ ἡμίσεως, εὕρηται
τεσσάρων. καὶ ταῦτα μὲν ἔχει τοιαύτην ἀπό-
ἐκεῖνο δ' οὐ πάνυ χαλεπὸν ἐκ τῶν προειρημέ-
νιδεῖν, τί δή ποτε φήσας ὁ Πλάτων ἡμιολίους
ιτρίτους καὶ ἐπογδόους γίνεσθαι διαστάσεις
υμπληροῦσθαι τὰς ἐπιτρίτους ταῖς ἐπογδό-
κ ἐμνήσθη τῶν ἡμιολίων, ἀλλὰ παρέλιπε. τὸ
ιόλιον, τοῦ ἐπιτρίτου τῷ ἐπογδόῳ, ἢ τοῦ ἐπο-
τῷ ἐπιτρίτῳ προστιθεμένου, συμπληροῦται.
ζ. Τποδεδειγμένων δὲ τούτων, τὸ μὲν συμ-
ν τὰ διαστήματα, καὶ παρεντάττειν τὰς με-
ς, εἰ καὶ μηδεὶς ἐτύγχανε πεποιηκὼς πρότε-
μῖν ἂν αὐτοῖς ἕνεκα γυμνασίας παρῆκα· νῦν
λοῖς καὶ γαθοῖς ἀνδράσιν ἐξειργασμένου τού-
ίλιστα δὲ Κράντορι καὶ Κλειάρχῳ καὶ Θεοδώρῳ
ολεῦσι, μικρὰ περὶ τῆς τούτων διαφορᾶς εἰ-
ἰκ ἄχρηστόν ἐστιν. ὁ γὰρ Θεόδωρος, οὐχ ὡς
, δύο στίχους ποιῶν, ἀλλ' ἐπὶ μιᾶς εὐθείας
τοὺς τε διπλασίους ἐκτάττων καὶ τοὺς τρι-
υς, πρῶτον μὲν ἰσχυρίζεται τῇ λεγομένῃ κατὰ
σχίσει τῆς οὐσίας, δύο ποιούσῃ μοίρας, ὡς
, οὐ τέσσαρας ἐκ δυεῖν· ἔπειτά φησι τὰς τῶν
των παρεντάξεις, οὕτω λαμβάνειν προσήκειν
εἰ δὲ μή, ταραχὴν καὶ σύγχυσιν ἔσεσθαι, καὶ
ὡς εἰς τὸ πρῶτον, εὐθὺς τριπλάσιον ἐκ τοῦ
διπλασίου τῶν συμπληρούντων ἑκάτερον
των. τοῖς δὲ περὶ τὸν Κράντορα βοηθοῦσιν
έσεις τῶν ἀριθμῶν, ἐπιπέδων ἐπιπέδοις, καὶ

τετραγώνων τετραγώνοις, καὶ κύβων κύβοις ἀντιθέτως συζυγούντων, τῇ τε μὴ κατὰ τάξιν αὐτῶν λήψει, ἀλλ' ἐναλλὰξ ἀρτίων καὶ ἐπὶ *

XXI. Κατὰ τὰ αὐτὰ ἔχων ὡς μορφὴν καὶ εἶδος· τὸ δὲ περὶ τὰ σώματα γινόμενον μεριστὸν, ὡς ὑποδοχὴν καὶ ὕλην· τὸ δὲ μίγμα κοινὸν ἐξ ἀμφοῖν ἀποτελεσμένον. ἡ μὲν οὖν ἀμέριστος οὐσία καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα, μὴ μικρότητι, καθάπερ τὰ ἐλάχιστα τῶν σωμάτων, νοείσθω φεύγουσα τὸν μερισμόν· τὸ γὰρ ἁπλοῦν καὶ ἀπαθὲς καὶ καθαρὸν αὐτῆς καὶ μονοειδὲς, ἀμερὲς εἴρηται, καὶ ἀμέριστον· ᾧ καὶ τῶν συνθέτων καὶ μεριστῶν καὶ διαφερομένων ἀμωσγέπως θίγουσα, παύει τὸ πλῆθος, καὶ καθίστησιν εἰς μίαν δὶ ὁμοιότητος ἕξιν. τὴν δὲ περὶ τὰ σώματα γενομένην, μεριστὴν εἰ μέν τις ἐθέλοι καλεῖν ὕλην, ὡς καὶ ὑποκειμένην ἐκείνῃ καὶ μεταληπτικὴν ἐκείνης φύσιν, ὁμωνυμίᾳ χρώμενος, οὐ διαφέρει πρὸς τὸν λόγον· οἱ δὲ σωματικὴν ἀξιοῦντες ὕλην συμμίγνυσθαι τῇ ἀμερίστῳ, διαμαρτάνουσι· πρῶτον μὲν, ὅτι τῶν ἐκείνης ὀνομάτων οὐδενὶ νῦν ὁ Πλάτων κέχρηται· δεξαμενὴν γὰρ εἴωθε καὶ πανδεχῆ καὶ τιθηνὴν ἀεὶ καλεῖν ἐκείνην, οὐ περὶ τὰ σώματα μεριστὴν, μᾶλλον δὲ σῶμα μεριζόμενον εἰς τὸ καθ' ἕκαστον. ἔπειτα τί διοίσει τῆς τοῦ κόσμου γενέσεως ἡ τῆς ψυχῆς, εἴπερ ἀμφοτέρους ἔκ τε τῆς ὕλης καὶ τῶν νοητῶν γέγονεν ἡ σύστασις; αὐτός γε μὴν ὁ Πλάτων, ὥσπερ ἀπωθούμενος τῆς ψυχῆς τὴν ἐκ σώματος γένεσιν, ἐντὸς αὐτῆς φησὶν ὑπὸ τοῦ Θεοῦ τεθῆναι τὸ σωματικὸν, εἶτ' ἔξωθεν ὑπ' ἐκείνης περι-

καλυφθῆναι· καὶ ὅλως ἀπεργασάμενος τῷ λόγῳ τὴν ψυχὴν, ὕστερον ἐπεισάγει τὴν περὶ τῆς ὕλης ὑπόθεσιν, μηθὲν αὐτῆς πρότερον, ὅτε τὴν ψυχὴν ἐγέννα, δεηθεὶς, ὡς χωρὶς ὕλης γενομένην.

XXII. "Ομοια δὲ τούτοις ἐστὶν ἀντειπεῖν καὶ τοῖς περὶ Ποσειδώνιον· οὐ γὰρ μακρὰν τῆς ὕλης ἀπέστησαν· ἀλλὰ δεξάμενοι, τὴν τῶν περάτων οὐσίαν περὶ τὰ σώματα λέγεσθαι μεριστὴν, καὶ ταῦτα τῷ νοητῷ μίξαντες, ἀπεφήναντο, τὴν ψυχὴν ἰδέαν εἶναι τοῦ πάντη διαστατοῦ κατ' ἀριθμὸν συνεστῶσαν, ἁρμονίαν περιέχοντα· τά τε γὰρ μαθηματικὰ τῶν πρώτων νοητῶν μεταξὺ καὶ τῶν αἰσθητῶν τετάχθαι, τῆς τε ψυχῆς τῶν νοητῶν τὸ ἄϋδιον, καὶ τῶν αἰσθητῶν τὸ παθητικὸν ἐχούσης, προσῆκον ἐν μέσῳ τὴν οὐσίαν ὑπάρχειν. ἔλαθε γὰρ καὶ τοῦτον ὁ Θεὸς τοῖς τῶν σωμάτων πέρασιν ὕστερον, ἀπειργασμένης ἤδη τῆς ψυχῆς, χρώμενος ἐπὶ τὴν τῆς ὕλης διαμόρφωσιν, τὸ σκεδαστὸν αὐτῆς καὶ ἀσύνδετον ὁρίζων καὶ περιλαμβάνων ταῖς ἐκ τῶν τριγώνων συναρμοττομένων ἐπιφανείαις· ἀτοπώτερον δὲ τὸ τὴν ψυχὴν ἰδέαν ποιεῖν· ἡ μὲν γὰρ εὐκίνητος, ἡ δὲ ἀκίνητος, καὶ ἡ μὲν ἀμιγὴς πρὸς τὸ αἰσθητὸν, ἡ δὲ τῷ σώματι συνειργμένη· πρὸς δὲ τούτοις ὁ Θεὸς, τῆς μὲν ἰδέας ὡς παραδείγματος γέγονε μιμητὴς, τῆς δὲ ψυχῆς ὥσπερ ἀποτελέσματος δημιουργός. ὅτι δ' οὔδ' ἀριθμὸν ὁ Πλάτων τὴν οὐσίαν τίθεται τῆς ψυχῆς, ἀλλὰ τattομένην ὑπ' ἀριθμοῦ, προείρηται.

XXIII. Πρὸς δ' ἀμφοτέρους τούτους κοινόν ἐστι, τὸ μήτε τοῖς πέρασι μήτε τοῖς ἀριθμοῖς μη-

θὲν ἴχνος ἐνυπάρχειν ἐκείνης τῆς δυνάμεως, ᾗ τὸ αἰσθητὸν ἡ ψυχὴ πέφυκε κρίνειν· νοῦν μὲν γὰρ αὐτῇ καὶ νοητὸν ἡ τῆς νοητῆς μέθεξις ἀρχῆς ἐμπεποίηκε· δόξας δὲ καὶ πίστεις, τὸ φανταστικὸν καὶ τὸ παθητικὸν ὑπὸ τῶν περὶ τὸ σῶμα ποιοτήτων, ὃ οὐκ ἄν τις ἐκ μονάδων, οὐδὲ γραμμῶν, οὐδ' ἐπιφανειῶν, ἁπλῶς νοήσειεν ἐγγινόμενον. καὶ μὴν οὐ μόνον αἱ τῶν θνητῶν ψυχαὶ γνωστικὴν τοῦ αἰσθητοῦ δύναμιν ἔχουσιν, ἀλλὰ καὶ τὴν τοῦ κόσμου, φησὶν, ἀνακυκλουμένην αὐτὴν πρὸς ἑαυτὴν, ὅταν οὐσίαν σκεδαστὴν ἔχοντός τινος ἐφάπτηται, καὶ ὅταν ἀμέριστον, λέγῃ κινουμένην διὰ πάσης ἑαυτῆς, ὅτῳ τ' ἄν τι ταυτὸν ᾖ, καὶ ὅτῳ ἂν ἕτερον, πρός ὅ τι τε μάλιστα, καὶ ὅπη καὶ ὅπως συμβαίνει καταγινόμενα πρὸς ἕκαστον εἶναι καὶ πάσχειν. ἐν τούτοις ἅμα καὶ τῶν δέκα κατηγοριῶν ποιούμενος ὑπογραφὴν, ἔτι μᾶλλον τοῖς ἐφεξῆς διασαφεῖ. Λόγος γὰρ, φησὶν, ἀληθὴς, ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίνηται, καὶ ὁ τοῦ θατέρου κύκλος ὀρθὸς ἰὼν εἰς πᾶσαν αὐτοῦ τὴν ψυχὴν διαγγείλῃ, δόξαι καὶ πίστεις γίνονται βέβαιοι καὶ ἀληθεῖς· ὅταν δ' αὖ περὶ τὸ λογιστικὸν ᾖ, καὶ ὁ τοῦ ταυτοῦ κύκλος εὔτροχος ὢν αὐτὰ μηνύσῃ, ἐπιστήμη ἐξ ἀνάγκης ἀποτελεῖται· τούτῳ δ' ἐν ᾧ τῶν ὄντων ἐγγίνεσθον, ἐάν ποτέ τις αὐτὸ ἄλλο πλὴν ψυχὴν προσείπῃ, πᾶν μᾶλλον ἢ τὸ ἀληθὲς ἐρεῖ. πόθεν οὖν ἔσχεν ἡ ψυχὴ τὴν ἀντιληπτικὴν τοῦ αἰσθητοῦ καὶ δοξαστικὴν ταύτην κίνησιν ἑτέραν τῆς νοητικῆς ἐκείνης καὶ τελευτώσης εἰς ἐπιστήμην, ἔργον εἰπεῖν,

μὴ θεμένους βεβαίως, ὅτι νῦν οὐχ ἁπλῶς ψυχὴν, ἀλλὰ κόσμου ψυχὴν συνίστησιν ἐξ ὑποκειμένων, τῆς τε κρείττονος οὐσίας καὶ ἀμερίστου, καὶ τῆς χείρονος, ἣν περὶ τὰ σώματα μεριστὴν κέκληκεν, οὐχ ἑτέραν οὖσαν ἢ τὴν δοξαστικὴν καὶ φανταστικὴν καὶ συμπαθῆ τῷ αἰσθητῷ κίνησιν, οὐ γενομένην, ἀλλ' ὑφεστῶσαν ἀΐδιον, ὥσπερ ἡ ἑτέρα. τὸ γὰρ νοερὸν ἡ φύσις ἔχουσα, καὶ τὸ δοξαστικὸν εἶχεν· ἀλλ' ἐκεῖνο μὲν, ἀκίνητον, ἀπαθὲς, καὶ περὶ τὴν ἀεὶ μένουσαν ἱδρυμένον οὐσίαν· τοῦτο δὲ, μεριστὸν καὶ πλανητὸν, ἅτε δὴ φερομένης καὶ σκεδαννυμένης ἐφαπτόμενον ὕλης. οὔτε γὰρ τὸ αἰσθητὸν εἰλήχει τάξεως, ἀλλ' ἦν ἄμορφον καὶ ἀόριστον ἥ τε περὶ τοῦτο τεταγμένη δύναμις, οὔτε δόξας ἐνάρθρους, οὔτε κινήσεις ἁπάσας εἶχε τεταγμένας, ἀλλὰ τὰς πολλὰς ἐνυπνιώδεις καὶ παραφόρους καὶ ταραττούσας τὸ σωματοειδὲς, ὅσα μὴ κατὰ τύχην τῷ βελτίονι περιέπιπτεν· ἐν μέσῳ γὰρ ἦν ἀμφοῖν, καὶ πρὸς ἀμφότερα συμπαθῆ καὶ συγγενῆ φύσιν εἶχε, τῷ μὲν αἰσθητικῷ τῆς ὕλης ἀντεχομένη, τῷ δὲ κριτικῷ τῶν νοητῶν.

XXIV. Οὕτω δέ πως καὶ αὐτὸς διασαφεῖ τοῖς ὀνόμασιν· Οὗτος γὰρ, φησὶ, παρὰ τῆς ἐμῆς ψήφου λογισθεὶς ἐν κεφαλαίῳ δεδόσθω λόγος, ὃν τε καὶ χώραν καὶ γένεσιν εἶναι, τρία τριχῇ καὶ πρὶν οὐρανὸν γενέσθαι. χώραν τε γὰρ καλεῖ τὴν ὕλην, ὥσπερ ἕδραν, ἔστιν ὅτε καὶ ὑποδοχήν· ὃν δὲ, τὸ νοητόν· γένεσιν δὲ τοῦ κόσμου μήπω γεγονότος, οὐδεμίαν ἄλλην ἢ τὴν ἐν μεταβολαῖς καὶ κινήσεσιν οὐσίαν,

τοῦ τυποῦντος καὶ τοῦ τυπουμένου μεταξὺ τεταγμένην, διαδιδοῦσαν ἐνταῦθα τὰς ἐκεῖθεν εἰκόνας. διά τε δὴ ταῦτα μεριστὴ προσηγορεύθη, καὶ ὅτι τῷ αἰσθητῷ τὸ αἰσθανόμενον, καὶ τῷ φανταστῷ τὸ φανταζόμενον ἀνάγκη συνδιανέμεσθαι καὶ συμπαρήκειν· ἡ γὰρ αἰσθητικὴ κίνησις, ἰδία ψυχῆς οὖσα, κινεῖται πρὸς τὸ αἰσθητὸν ἐκτός. ὁ δὲ νοῦς, αὐτὸς μὲν ἀφ' ἑαυτοῦ μόνιμος ἦν καὶ ἀκίνητος, ἐγγενόμενος δὲ τῇ ψυχῇ καὶ κρατήσας, εἰς ἑαυτὸν ἐπιστρέφει, καὶ συμπεραίνει τὴν ἐγκύκλιον φορὰν περὶ τὸ μόνον ἀεὶ μάλιστα ψαύουσαν τοῦ ὄντος. διὸ καὶ δυσανάκρατος ἡ κοινωνία γέγονεν αὐτῶν, τῷ ἀμερίστῳ τὸ μεριστὸν, καὶ τῷ μηδαμῷ κινητῷ τὸ πάντη φορητὸν μιγνύουσα, καὶ καταβιαζομένη θάτερον εἰς ταυτὸν συνελθεῖν. ἦν δὲ τὸ θάτερον οὐ κίνησις, ὥσπερ οὐδὲ ταυτὸν στάσις, ἀλλ' ἀρχὴ διαφορᾶς καὶ ἀνομοιότητος. ἑκάτερον γὰρ ἀπὸ τῆς ἑτέρας ἀρχῆς κάτεισι, τὸ μὲν ταυτὸν ἀπὸ τοῦ ἑνός, τὸ δὲ θάτερον ἀπὸ τῆς δυάδος· καὶ μέμικται πρῶτον ἐνταῦθα περὶ τὴν ψυχὴν, ἀριθμοῖς καὶ λόγοις συνδεθέντα, καὶ μεσότησιν ἐναρμονίοις, καὶ ποιεῖ θάτερον μὲν ἐγγενόμενον τῷ ταυτῷ διαφοράν, τὸ δὲ ταυτὸν ἐν τῷ ἑτέρῳ τάξιν, ὡς δῆλόν ἐστιν ἐν ταῖς πρώταις τῆς ψυχῆς δυνάμεσιν· εἰσὶ δὲ αὗται, τὸ κριτικὸν καὶ τὸ κινητικόν. ἡ μὲν οὖν κίνησις εὐθὺς ἐπιδείκνυται περὶ τὸν οὐρανὸν, ἐν μὲν τῇ ταυτότητι τὴν ἑτερότητα τῇ περιφορᾷ τῶν ἀπλανῶν, ἐν δὲ τῇ ἑτερότητι τὴν ταυτότητα τῇ τάξει τῶν πλανητῶν· ἐπικρατεῖ γὰρ ἐν ἐκείνοις τὸ

ταυτὸν, ἐν δὲ τοῖς περὶ γῆν τοὐναντίον. ἡ δὲ κρίσις ἀρχὰς μὲν ἔχει δύο, τόν τε νοῦν ἀπὸ ταυτοῦ πρὸς τὰ καθόλου, καὶ τὴν αἴσθησιν ἀπὸ τοῦ ἑτέρου πρὸς τὰ καθ' ἕκαστα. μέμικται δὲ λόγος ἐξ ἀμφοῖν, νόησις ἐν τοῖς νοητοῖς, καὶ δόξα γινόμενος ἐν τοῖς αἰσθητοῖς· ὀργάνοις τε ταῖς μεταξὺ φαντασίαις τε καὶ μνήμαις χρώμενος, ὧν τὰ μὲν ἐν τῷ ταυτῷ τὸ ἕτερον, τὰ δ' ἐν τῷ ἑτέρῳ ποιεῖ· τὸ ταυτόν. ἔστι γὰρ ἡ μὲν νόησις, τοῦ νοοῦντος κίνησις περὶ τὸ μένον· ἡ δὲ δόξα, μονὴ τοῦ αἰσθανομένου περὶ τὸ κινούμενον· φαντασίαν δὲ, συμπλοκὴν δόξης πρὸς αἴσθησιν οὖσαν, ἵστησιν ἐν μνήμῃ τὸ ταυτόν· τὸ δὲ θάτερον κινεῖ πάλιν ἐν διαφορᾷ τοῦ πρόσθεν καὶ νῦν, ἑτερότητος ἅμα καὶ ταυτότητος ἐφαπτόμενον.

XXV. Δεῖ δὲ τὴν περὶ τὸ σῶμα τοῦ κόσμου γενομένην σύνταξιν, εἰκόνα λαβεῖν τῆς ἀναλογίας, ἐν ᾗ διηρμόσατο ψυχήν. ἐκεῖ μὲν γὰρ ἦν ἄκρατον πῦρ, καὶ ἡ γῆ, χαλεπὴν πρὸς ἄλληλα κραθῆναι φύσιν ἔχοντα, μᾶλλον δὲ ὅλως ἄκρατον καὶ ἀσύστατον· ὅθεν ἐν μέσῳ θέμενος αὐτῶν, τὸν μὲν ἀέρα πρὸ τοῦ πυρὸς, τὸ δὲ ὕδωρ πρὸ τῆς γῆς, ταῦτα πρῶτον ἀλλήλοις ἐκέρασεν, εἶτα διὰ τούτων ἐκεῖνα πρός τε ταῦτα καὶ πρὸς ἄλληλα συνέμιξε καὶ συνήρμοσεν. ἐνταῦθα δὲ πάλιν τὸ ταυτὸν καὶ τὸ θάτερον ἐναντίας δυνάμεις καὶ ἀκρότητας ἀντιπάλους συνήγαγεν, οὐ δι' αὐτῶν, ἀλλ' οὐσίας ἑτέρας μεταξὺ, τὴν μὲν ἀμέριστον πρὸ τοῦ ταυτοῦ, πρὸ δὲ τοῦ θατέρου τὴν μεριστὴν, ἔστιν ἣ προσήκου-

σαν ἑκατέραν ἑκατέρᾳ, τάξας, εἶτα μιχθείσαις ἐκείναις ἐπεγκεραννύμενος, οὕτως τὸ πᾶν συνύφηνεν ἓν τῆς ψυχῆς εἶδος, ὡς ἦν ἄνυστον, ἐκ διαφόρων ὅμοιον, ἔκ τε πολλῶν ἂν ἀπειργασμένος. οὐκ εὖ δέ τινες εἰρῆσθαι λέγουσι δύσμικτον ὑπὸ τοῦ Πλάτωνος τὴν θατέρου φύσιν, οὐκ ἄδεκτον οὖσαν ἀλλὰ καὶ φίλην μεταβολῆς· μᾶλλον δὲ τὴν τῆς ταυτοῦ, μόνιμον καὶ δυσμετάβλητον οὖσαν, οὐ ῥᾳδίως προσίεσθαι μίξιν, ἀλλὰ ἀπωθεῖσθαι καὶ φεύγειν, ὅπως ἁπλῆ διαμείνῃ, καὶ εἰλικρινὴς καὶ ἀναλλοίωτος. οἱ δὲ ταῦτα ἐγκαλοῦντες, ἀγνοοῦσιν, ὅτι τὸ μὲν ταυτὸν, ἰδέα τῶν ὡσαύτως ἐχόντων ἐστὶ, τὸ δὲ θάτερον, τῶν διαφόρως· καὶ τούτου μὲν ἔργον, ὧν ἂν ἅψηται, διϊστάναι καὶ ἀλλοιοῦν, καὶ πολλὰ ποιεῖν· ἐκείνου δὲ, συνάγειν καὶ συνιστάναι δὶ ὁμοιότητος ἐκ πολλῶν μίαν ἀναλαμβανόντων μορφὴν καὶ δύναμιν.

XXVI Αὗται μὲν οὖν δυνάμεις τῆς τοῦ παντὸς εἰσὶ ψυχῆς, εἰς δὲ θνητὰ καὶ παθητὰ παρεισιοῦσαι ὄργανα φθαρτῶν καὶ αὐτὰ σωμάτων, ἐν τούτοις τὸ τῆς δυαδικῆς καὶ ἀορίστου μερίδος ἐπιφαίνεται μᾶλλον εἶδος, * δὲ τῆς ἁπλῆς καὶ μοναδικῆς ἀμυδρότερον ὑποδέδυκεν. οὐ μὴν ῥᾳδίως ἄν τις οὔτε πάθος ἀνθρώπου παντάπασιν ἀπηλλαγμένον λογισμοῦ κατανοήσειεν, οὔτε διανοίας κίνησιν, ἣ μηθὲν ἐπιθυμίας ἢ φιλοτιμίας ἢ τοῦ χαίροντος ἢ λυπουμένου πρόσεστι. διὸ τῶν φιλοσόφων οἱ μὲν τὰ πάθη λόγους ποιοῦσιν, ὡς πᾶσαν ἐπιθυμίαν καὶ λύπην καὶ ὀργὴν κρίσεις οὔσας· οἱ δὲ τὰς ἀρετὰς

ποφαίνουσι παθητικάς· καὶ γὰρ ἀνδρείᾳ τὸ φο-
οὐμενον, καὶ σωφροσύνῃ τὸ ἡδόμενον, καὶ δικαιο-
ύνῃ τὸ κερδαλέον εἶναι. καὶ μὲν θεωρητικῆς γε τῆς
υχῆς οὔσης ἅμα καὶ πρακτικῆς, καὶ θεωρούσης δὲ
ὰ καθ' ὅλου καὶ τὰ καθ' ἕκαστα, καὶ νοεῖν μὲν
εῖνα, ταῦτα δ' αἰσθάνεσθαι δοκούσης, ὁ κοινὸς
όγος ἀεὶ περί τε ταυτὸν ἐντυγχάνων τῷ θατέρῳ, καὶ
υτῷ περὶ θάτερον, ἐπιχειρεῖ μὲν ὅροις καὶ διαιρέ-
εσι χωρίζειν τὸ ἓν καὶ τὰ πολλὰ, καὶ τὸ ἄμερες καὶ
εριστόν· οὐ δύναται δὲ καθαρῶς ἐν οὐδετέρῳ γε-
ίσθαι, διὰ τὸ τὰς ἀρχὰς ἐναλλὰξ ἐμπεπλέχθαι καὶ
πταμεμίχθαι δι' ἀλλήλων. καὶ διὰ τοῦτο τῆς οὐσίας
ὴν ἐκ τῆς ἀμερίστου καὶ τῆς μεριστῆς ὁ Θεὸς ὑποδο-
ὴν τῷ ταυτῷ καὶ τῷ ἑτέρῳ συνέστησεν, ἵνα ἐν δια-
ορᾷ τάξις γένηται· τοῦτο γὰρ ἦν γενέσθαι· ἐπεὶ
ρὶς τούτων, τὸ μὲν ταυτὸν οὐκ εἶχε διαφοράν,
στε οὐδὲ κίνησιν, οὐδὲ γένεσιν· θάτερον δὲ τάξιν
ὐκ εἶχεν, ὥστε οὐδὲ σύστασιν, οὐδὲ γένεσιν. καὶ
ὰρ εἰ τῷ ταυτῷ συμβέβηκεν ἑτέρῳ εἶναι τοῦ ἑτέρου,
αὶ τῷ ἑτέρῳ πάλιν αὐτῷ ταυτὸν, οὐθὲν ἧ τοιαύτη
έθεξις ἀλλήλων ποιεῖ γόνιμον, ἀλλὰ δεῖται τρίτης
ινός, οἷον ὕλης, ὑποδεχομένης καὶ διατιθεμένης
π' ἀμφοτέρων. αὕτη δ' ἐστὶν, ᾗ πρώτην συνέστησε
ῷ περὶ τὰ νοητὰ μονίμῳ τοῦ περὶ τὰ σώματα κινη-
ικοῦ τὸ ἄπειρον ὁρίσας.

XXVII. Ὡς δὲ φωνή τις ἐστὶν ἄλογος καὶ ἀσή-
ατος, λόγος δὲ λέξις ἐν φωνῇ σημαντικῇ διανοίας,
ρμονία δὲ τὸ ἐκ φθόγγων καὶ διαστημάτων, καὶ
θόγγος μὲν ἓν καὶ ταυτὸν, διάστημα δὲ φθόγγων



ὸ κατηναγκασμένον, τῷ δὲ νῷ τὸ αὐτοκρα-
ὁριστικὴ δύναμις τὸ καθόλου καὶ τὸ ἀμε-
γγένειαν ἀγαπᾷ· καὶ τοὐναντίον ἡ διαι-
ὸς τὰ καθ' ἕκαστα φέρεται τῷ μεριστῷ·
ὅλον τῇ διὰ τὸ ταυτὸν ἐφ' ᾧ δεῖται μετα-
τὸ θάτερον. οὐχ ἥκιστα δὲ ἥ τε πρὸς τὸ
φορὰ καὶ τὸ αἰσχρὸν, ἥ τε πρὸς τὸ ἡδὺ
νεινὸν αὖθις, οἵ τε τῶν ἐρώντων ἐνθου-
καὶ πτοήσεις καὶ διαμάχαι τοῦ φιλοκάλου
ἱκόλαστον ἐνδείκνυνται τὸ μικτὸν ἔκ τε
καὶ ἀπαθοῦς, ἔκ τε τῆς θνητῆς καὶ περὶ
α παθητῆς μερίδος· ὧν καὶ αὐτὸς ὀνομά-
ἐπιθυμίαν ἔμφυτον ἡδονῶν, τό δ' ἐπείσ-
ιαν, ἐφιεμένην τοῦ ἀρίστου. τὸ γὰρ πα-
ναδίδωσιν ἐξ ἑαυτῆς ἡ ψυχὴ, τοῦ δὲ νοῦ
ἐπὸ τῆς κρείττονος ἀρχῆς ἐγγινομένου.

III. Τῆς δὲ διπλῆς κοινωνίας ταύτης οὐδὲ
ν οὐρανὸν ἀπήλλακται φύσις, ἀλλὰ ἑτε-
τα νῦν μὲν ὀρθοῦται τῇ ταυτοῦ περιόδῳ
ύσῃ, καὶ διακυβερνᾷ τὸν κόσμον· ἔσται
νου μοῖρα, καὶ γέγονεν ἤδη πολλάκις, ἐν
φρόνιμον ἀμβλύνεται καὶ καταδαρθάνει
ιπλάμενον τοῦ οἰκείου, τὸ δὲ σώματι σὺν
ρχῆς καὶ συμπαθὲς ἐφέλκεται καὶ βαρύ-
ελίσσει τὴν ἐν δεξιᾷ τοῦ παντὸς πορείαν,
δ' οὐ δύναται παντάπασιν, ἀλλ' ἀνήνεγ-
τὰ βελτίω καὶ ἀνέβλεψε πρὸς τὸ παρὸ
οῦ συνεπιστρέφοντος καὶ συνεπευθύνον-
ἐνδείκνυται πολλαχόθεν ἡμῖν τὸ μὴ πᾶν

ἑτερότης καὶ διαφορά, μιχθέντων δὲ τούτων ὕδη γίνεται καὶ μέλος· οὕτω τὸ παθητικὸν τῆς ψυχῆς ἄόριστον ἦν καὶ ἀστάθμητον, εἶτα ὡρίσθη πέρατος ἐγγενομένου καὶ εἴδους τῷ μεριστῷ καὶ παντοδαπῷ τῆς κινήσεως· συλλαβοῦσα δὲ τὸ ταυτὸν καὶ τὸ ἕτερον, ὁμοιότησι καὶ ἀνομοιότησιν ἀριθμῶν ἐκ διαφορᾶς ὁμολογίαν ἀπεργασαμένων ζωή τε τοῦ παντός ἐστιν ἔμφρων καὶ ἁρμονία, καὶ λόγος ἄγων πειθοῖ μεμιγμένην ἀνάγκην, ἣν εἱμαρμένην οἱ πολλοὶ καλοῦσιν· Ἐμπεδοκλῆς δὲ, φιλίαν ὁμοῦ καὶ νεῖκος· Ἡράκλειτος δὲ, παλίντροπον ἁρμονίην κόσμου, ὅκως περ λύρης καὶ τόξου· Παρμενίδης δὲ, φῶς καὶ σκότος· Ἀναξαγόρας δὲ, νοῦν καὶ ἄπειρίαν· Ζωροάστρης δὲ, θεὸν καὶ δαίμονα, τὸν μὲν, Ὡρομάσδην καλῶν, τὸν δ', Ἀριμάνιον· Εὐριπίδης δ' οὐκ ὀρθῶς ἀντὶ τοῦ συμπλεκτικοῦ τῷ διαζευκτικῷ κέχρηται·

Ζεὺς, εἴτ' ἀνάγκη φύσεως, εἴτε νοῦς βροτῶν·

καὶ γὰρ ἀνάγκη καὶ νοῦς ἐστιν ἡ διήκουσα διὰ πάντων δύναμις. Αἰγύπτιοι μὲν οὖν μυθολογοῦντες αἰνίττονται, τοῦ Ὥρου δίκην ὄφλοντος, τῷ μὲν πατρὶ τὸ πνεῦμα καὶ τὸ αἷμα, τῇ δὲ μητρὶ τὴν σάρκα καὶ τὴν πιμελὴν προσνεμηθῆναι. τῆς δὲ ψυχῆς οὐδὲν μὲν εἰλικρινὲς οὐδ' ἄκρατον, οὐδὲ χωρὶς ἀπολείπεται τῶν ἄλλων· ἁρμονίη γὰρ ἀφανὴς φανερῆς κρείττων, καθ' Ἡράκλειτον, ἐν ᾗ τὰς διαφορὰς καὶ τὰς ἑτερότητας ὁ μιγνὺς θεὸς ἔκρυψε καὶ κατέδυσεν. ἐμφαίνεται δὲ ὅμως αὐτῆς, τῷ μὲν ἀλόγῳ τὸ ἰμαχῶδες, τῷ δὲ λογικῷ τὸ εὐτακτον, ταῖς δ' ὠ-

σθήσεσι τὸ κατηναγκασμένον, τῷ δὲ νῷ τὸ αὐτοκρατές. ἡ δὲ ὁριστικὴ δύναμις τὸ καθόλου καὶ τὸ ἀμερὲς διὰ συγγένειαν ἀγαπᾷ· καὶ τοὐναντίον ἡ διαιρετικὴ πρὸς τὰ καθ' ἕκαστα φέρεται τῷ μεριστῷ· χαίρει δὲ ὅλον τῇ διὰ τὸ ταυτὸν ἐφ' ἃ δεῖται μεταβολῇ διὰ τὸ θάτερον. οὐχ ἥκιστα δὲ ἡ τε πρὸς τὸ καλὸν διαφορὰ καὶ τὸ αἰσχρὸν, ἥ τε πρὸς τὸ ἡδὺ καὶ τὸ ἀλγεινὸν αὖθις, οἵ τε τῶν ἐρώντων ἐνθουσιασμοὶ καὶ πτοήσεις καὶ διαμάχαι τοῦ φιλοκάλου πρὸς τὸ ἀκόλαστον ἐνδείκνυνται τὸ μικτὸν ἔκ τε τῆς θείας καὶ ἀπαθοῦς, ἔκ τε τῆς θνητῆς καὶ περὶ τὰ σώματα παθητῆς μερίδος· ὧν καὶ αὐτὸς ὀνομάζει τὸ μὲν ἐπιθυμίαν ἔμφυτον ἡδονῶν, τὸ δ' ἐπείσακτον δόξαν, ἐφιεμένην τοῦ ἀρίστου. τὸ γὰρ παθητικὸν ἀναλίδωσιν ἐξ ἑαυτῆς ἡ ψυχὴ, τοῦ δὲ νοῦ μετέσχεν ἀπὸ τῆς κρείττονος ἀρχῆς ἐγγινομένου.

XXVIII. Τῆς δὲ διπλῆς κοινωνίας ταύτης οὐδὲ ἡ περὶ τὸν οὐρανὸν ἀπήλλακται φύσις, ἀλλὰ ἑτεροῤῥεποῦσα νῦν μὲν ὀρθοῦται τῇ ταυτοῦ περιόδῳ κράτος ἐχούσῃ, καὶ διακυβερνᾷ τὸν κόσμον· ἔσται δέ τις χρόνου μοῖρα, καὶ γέγονεν ἤδη πολλάκις, ἐν ᾗ τὸ μὲν φρόνιμον ἀμβλύνεται καὶ καταδαρθάνει λήθης ἐμπιπλάμενον τοῦ οἰκείου, τὸ δὲ σώματι σὺν ηθες ἐξ ἀρχῆς καὶ συμπαθὲς ἐφέλκεται καὶ βαρύνει καὶ ἀνελίσσει την ἐν δεξιᾷ τοῦ παντὸς πορείαν, ἀναῤῥῆξαι δ' οὐ δύναται παντάπασιν, ἀλλ' ἀνήνεγκεν αὖθις τὰ βελτίω καὶ ἀνέβλεψε πρὸς τὸ παράδειγμα θεοῦ συνεπιστρέφοντος καὶ συνεπευθύνοντος. οὕτως ἐνδείκνυται πολλαχόθεν ἡμῖν τὸ μὴ πῶν

ἔργον εἶναι θεοῦ τὴν ψυχὴν, ἀλλὰ σύμφυτον ἔχ
σαν ἐν ἑαυτῇ τὴν τοῦ κακοῦ μοῖραν ὑπ᾽ ἐκείνου δ
κεκοσμῆσθαι, τῷ μὲν ἐνὶ τὴν ἀπειρίαν ὁρίσαντ
ἵν᾽ οὐσία γένηται πέρατος μεταισχοῦσα, τῇ δὲ τ
τοῦ καὶ τῇ ἑτέρου δυνάμει τάξιν καὶ μεταβολὴν
διαφορὰν καὶ ὁμοιότητα συμμίξαντος, πᾶσι δὲ τ
τοις, ὡς ἀνυστὸν ἦν, κοινωνίαν πρὸς ἄλληλα
φιλίαν ἐργασαμένου δὲ ἀριθμῶν καὶ ἁρμονίας.

XXIX. *Περὶ ὧν εἰ καὶ πολλάκις ἀκηκόατε*
πολλοῖς ἐντετυχήκατε λόγοις καὶ γράμμασιν, οὐ χ
ρόν ἐστι καὶμὲ βραχέως διελθεῖν, προεκθέμενον
τοῦ Πλάτωνος· Μίαν ἀφεῖλετο πρῶτον ἀπὸ π
τὸς μοῖραν· μετὰ δὲ ταύτην, ἀφῄρει διπλασίαν τ
της. τὴν δ᾽ αὖ τρίτην, ἡμιολίαν μὲν τῆς δευτέρ
τριπλασίαν δὲ τῆς πρώτης· τετάρτην δὲ, τῆς δ
τέρας διπλῆν· πέμπτην δὲ, τριπλῆν τῆς τρίτης·
δὲ ἕκτην, τῆς πρώτης ὀκταπλασίαν· ἑβδόμην δὲ,
τακαιεικοσαπλασίαν τῆς πρώτης. μετὰ δὲ ταῦτα σ
επληροῦτο τά τε διπλάσια καὶ τριπλάσια διασ
ματα, μοίρας ἔτι ἐκεῖθεν ἀποτέμνων, καὶ τιθεὶς
τὸ μεταξὺ τούτων· ὥστ᾽ ἐν ἑκάστῳ διαστήματι
εἶναι μεσότητας, τὴν μὲν ταυτῷ μέρει τῶν ἄκ
αὐτῶν ὑπερέχουσαν, καὶ ὑπερεχομένην, τὴν δ᾽
μὲν κατ᾽ ἀριθμὸν ὑπερέχουσαν, ἴσῳ δὲ ὑπερεχο
νην· ἡμιολίων δὲ διαστάσεων καὶ ἐπιτρίτων κα
πογδόων γενομένων, ἐκ τούτων τῶν δεσμῶν, ἐν τ
πρόσθεν διαστάσεσι τῷ τοῦ ἐπογδόου διαστήμ
τὰ ἐπίτριτα πάντα συνεπλήρου, λείπων αὐτῶν ἑ
στου μόριον, τῆς τοῦ μορίου ταύτης διαστάσεως

φθείσης ἀριθμοῦ πρὸς ἀριθμὸν, ἐχούσης τοὺς ὅρους ἓξ καὶ πεντήκοντα καὶ διακοσίων, πρὸς τρία καὶ τετταράκοντα καὶ διακόσια. ἐν τούτοις ζητεῖται πρῶτον περὶ τῆς ποσότητος τῶν ἀριθμῶν· δεύτερον, περὶ τῆς τάξεως· τρίτον, περὶ τῆς δυνάμεως. περὶ μὲν τῆς ποσότητος, τίνες εἰσὶν, οὓς ἐν τοῖς διπλασίοις καὶ τριπλασίοις διαστήμασι λαμβάνει· περὶ δὲ τῆς τάξεως, πότερον ἐφ' ἑνὸς στίχου πάντας ἐκθετέον, ὡς Θεόδωρος· ἢ μᾶλλον, ὡς Κράντωρ, ἐν τῷ Δ σχήματι, τοῦ πρώτου κατὰ κορυφὴν τιθεμένου, καὶ χωρὶς μὲν τῶν διπλασίων, χωρὶς δὲ τῶν τριπλασίων ἐν δυσὶ στίχοις ὑποταττομένων· περὶ δὲ τῆς χρείας καὶ τῆς δυνάμεως, τί ποιοῦσι παραλαμβανόμενοι πρὸς τὴν σύστασιν τῆς ψυχῆς.

XXX. *Πρῶτον οὖν περὶ τοῦ πρώτου παραιτησόμεθα τοὺς λέγοντας, ὡς ἐπὶ τῶν λόγων αὐτῶν ἀπόρρητα θεωρεῖν, ἢν ἔχει τά τε διαστήματα φύσιν αἵ τε ταῦτα συμπληροῦσαι μεσότητες, ἐν οἷς ἄν τις ἀριθμοῖς ὑπόθηται χώρας ἔχουσι δεκτικὰς μεταξὺ τῶν ῥηθέντων ἀναλογιῶν, ὁμοίως περαινομένης τῆς διαιρέσεως. καὶ γὰρ ἂν ἀληθὲς ᾖ τὸ λεγόμενον, ἀμύητον ποιεῖ τὴν μάθησιν ἄνευ παραδειγμάτων, ἄλλως τε θεωρίας ἀπείργει χάριν ἐχούσης οὐκ ἀφιλόκαλον. ἂν οὖν ἀπὸ τῆς μονάδος ἀρξάμενοι, τοὺς διπλασίους καὶ τριπλασίους ἐν μέρει τιθῶμεν, ὡς αὐτὸ ὑφηγεῖται, γενήσονται κατὰ τὸν ἑξῆς, ὅπου μὲν δεύτερον καὶ τὸ τέταρτον καὶ ὄγδοον, ὅπου δὲ τρίτον, καὶ ἔννατον καὶ εἰκοστοέβδομον· συνάπαντες ἑπτὰ, κοινῆς δὲ λαμβανομένης τῆς μονάδος,*

ὕχρι τεσσάρων τῷ πολλαπλασιασμῷ προϊόντων. γὰρ ἐνταῦθα μόνον, ἀλλὰ πολλαχόθι τῆς τετράδο πρὸς τὴν ἑβδομάδα συμπάθεια γίνεται κατάδηλ ἡ μὲν οὖν ὑπὸ τῶν Πυθαγορικῶν ὑμνουμένη τετ κτὺς, τὰ ἓξ καὶ τὰ τριάκοντα, θαυμαστὸν ἔχειν κεῖ, τὸ συγκεῖσθαι μὲν ἐκ πρώτων ἀρτίων τεσσάρ καὶ πρώτων περισσῶν τεσσάρων, γίνεσθαι δὲ σι γία τετάρτη τῶν ἐφεξῆς συντεθειμένων· πρώτη γάρ ἐστι συζυγία, ἡ τοῦ ἑνὸς καὶ τῶν δυοῖν· δευτ τῶν περιττῶν· τὴν γὰρ μονάδα κοινὴν οὖσαν φοῖν προτάξας, λαμβάνει τὰ ὀκτὼ, καὶ ἐφεξῆς κζ'. μονονουχὶ δεικνύων ἡμῖν, ἣν ἑκατέρῳ γένει ραν ἀποδίδωσι. ταῦτα μὲν οὖν ἑτέροις προσή μᾶλλον ἐξακριβοῦν· τὸ δ' ἀπολειπόμενον, οἷκε ἐστι τῆς ὑποκειμένης ἡμῖν πραγματείας.

XXXI. Οὐ γὰρ ἐπίδειξιν ὁ Πλάτων θεωρίας Θηματικῆς ποιούμενος εἰς φυσικὴν ὑπόθεσιν μὴ δ μένην μεσότητας ἀριθμητικὰς καὶ ἁρμονικὰς παρε ἠγαγεν, ἀλλὰ ὡς μάλιστα δὴ τῇ συστάσει τῆς χῆς τοῦ λόγου τούτου προσήκοντος. καίτοι τινὲς ἐν τοῖς τάχεσι τῶν πλανωμένων σφαιρῶν, τινὲς μᾶλλον ἐν τοῖς ἀποστήμασιν, ἔνιοι δὲ, ἐν τοῖς με θεσι τῶν ἀστέρων, οἱ δ' ἄγαν ἀκριβοῦν δοκοῦν ἐν ταῖς τῶν ἐπικύκλων διαμέτροις ζητοῦσι τὰς εἰ μένας ἀναλογίας, ὡς τὴν ψυχὴν ἕνεκα τούτων· δημιουργοῦ τοῖς οὐρανίοις ἐναρμόσαντος, εἰς ἓ μοίρας νενεμημένην. πολλοὶ δὲ καὶ τὰ Πυθαγορ δεῦρο μεταφέρουσιν, ἀπὸ τοῦ μέσου τὰς τῶν σω των ἀποστάσεις τριπλασιάζοντες· γίνεται δὲ τοῖ

κατὰ μὲν τὸ Πῦρ μονάδος τιθεμένης, κατὰ δ' Ἀντίχθονα τριῶν, κατὰ δὲ Γῆν ἐννέα, καὶ κατὰ Σελήνην εἰκοσιεπτά, καὶ κατὰ τὸν Ἑρμοῦν μιᾶς καὶ ὀγδοήκοντα, κατὰ δὲ Φωσφόρον τριῶν καὶ μ' καὶ σ', κατ' αὐτὸν δὲ τὸν Ἥλιον θ' καὶ κ' καὶ ψ', ὅστις ἅμα τετράγωνός τε καὶ κύβος ἐστί· διὸ καὶ τὸν ἥλιον ἔστιν ὅτε τετράγωνον καὶ κύβον προσαγορεύουσιν. οὕτως δὲ καὶ τοὺς ἄλλους ἐπανάγουσι τοῖς τριπλασιασμοῖς· πολὺ τοῦ κατὰ λόγον οὗτοί γε παραπαίοντες, εἴ τι τῶν γεωμετρικῶν ὄφελός ἐστιν ἀποδείξεων, καὶ μακρῷ πιθανωτέρους παραβαλεῖν αὐτοῖς ἀποδεικνύοντες τοὺς ὁρμωμένους ἐκεῖθεν, οὐδ' αὐτοὺς παντάπασιν ἐξακριβοῦντας, ἀλλ' ὡς ἔγγιστα λέγοντας, ὅτι τῆς μὲν ἡλίου διαμέτρου πρὸς τὴν διάμετρον τῆς γῆς λόγος ἐστὶ δωδεκαπλάσιος· τῆς γῆς δ' αὖ πάλιν διαμέτρου πρὸς τὴν σελήνης διάμετρον τριπλάσιος· ὁ δὲ φαινόμενος ἐλάχιστος τῶν ἀπλανῶν ἀστέρων οὐκ ἐλάττονα τῆς διαμέτρου τῆς γῆς ἢ τριτημόριον ἔχει τὴν διάμετρον· τῇ δὲ ὅλῃ σφαίρᾳ τῆς γῆς πρὸς τὴν ὅλην σφαῖραν τῆς σελήνης ὡς ἑπτὰ καὶ εἴκοσι πρόσεστι· φωσφόρου δὲ καὶ γῆς αἱ μὲν διάμετροι τὸν διπλάσιον, αἱ δὲ σφαῖραι τὸν ὀκταπλάσιον ἔχουσι λόγον· τὸ δὲ διάστημα τῆς ἐκλειπτικῆς σκιᾶς, τῆς διαμέτρου τῆς σελήνης τριπλάσιον· ὃ δ' ἐκτρέπεται πλάτος ἡ σελήνη τοῦ διὰ μέσου τῶν ζώων ἐφ' ἑκάτερα, δωδεκατημόριον· αἱ δὲ πρὸς ἥλιον σχέσεις αὐτῆς ἐν τριγώνοις καὶ τετραγώνοις ἀποστήμασι, διχοτόμους καὶ ἀμφικύρτους σχηματισμοὺς λαμβάνουσιν· ἐξ δὲ ζῴδια διελθοῦσα, τὴν πανσέληνον, ὥσπερ

τινὰ συμφωνίαν, ἐν ἑξατόνῳ διὰ πασῶν ἀποδίδωσι· τοῦ δὲ ἡλίου περὶ τὰς τροπὰς ἐλάχιστα, καὶ μέγιστα περὶ τὰς ἰσημερίας, ἔχοντος κινήματα, δι' ὧν ἀφαιρεῖ τῆς ἡμέρας καὶ τῇ νυκτὶ προστίθησιν, ἢ τοὐναντίον, οὗτος ὁ λόγος ἐστὶν, ἐν ταῖς πρώταις ἡμέραις λ' μετὰ τὰς χειμερινὰς τροπὰς τῇ ἡμέρᾳ προστίθησι τὸ ἕκτον τῆς ὑπεροχῆς, ἣν ἡ μεγίστη νὺξ πρὸς τὴν βραχυτάτην ἡμέραν ἐμποιεῖ, τὰς δ' ἑφεξῆς τριάκοντα τὸ τρίτον, τὸ δὲ ἥμισυ ταῖς λοιπαῖς ἄχρι τῆς ἰσημερίας, ἐν ἑξαπλασίοις καὶ τριπλασίοις διαστήμασι τοῦ χρόνου τὴν ἀνωμαλίαν ἐπανισοῦντος. Χαλδαῖοι δὲ λέγουσι, τὸ ἔαρ ἐν τῷ διὰ τεττάρων γίνεσθαι πρὸς τὸ μετόπωρον· ἐν δὲ τῷ διὰ πέντε, πρὸς τὸν χειμῶνα· πρὸς δὲ τὸ θέρος, ἐν τῷ διὰ πασῶν. εἰ δ' ὀρθῶς ὁ Εὐριπίδης διορίζεται, θέρους τέσσαρας μῆνας καὶ χειμῶνος ἴσους,

Φίλης τ' ὀπώρας διπτύχους, ἦρός τ' ἴσους,
ἐν τῷ διὰ πασῶν αἱ ὧραι μεταβάλλουσιν. ἔνιοι δὲ Γῇ μὲν τὴν τοῦ προσλαμβανομένου χώραν ἀποδιδόντες, Σελήνῃ δὲ τὴν ὑπάτην, Στίλβωνα δὲ καὶ Φωσφόρον ἐν διατόνοις καὶ λιχανοῖς κινοῦντες, αὐτὸν τὸν Ἥλιον ὡς μέσην συνέχειν τὸ διὰ πασῶν ἀξιοῦσιν, ἀπέχοντα τῆς μὲν γῆς, τὸ διὰ πέντε, τῆς δὲ τῶν ἀπλανῶν τὸ διὰ τεσσάρων.

XXXII. Ἀλλ' οὔτε τούτων τὸ κομψὸν ἅπτεταί τινος ἀληθείας, οὔτ' ἐκεῖνοι παντάπασι τοῦ ἀκριβοῦς ἔχονται. οἷς δ' οὖν οὐ δοκεῖ ταῦτα τῆς τοῦ Πλάτωνος ἀπηρτῆσθαι διανοίας, ἐκεῖνα κομιδῇ φανεῖται τῶν μουσικῶν λόγων ἔχεσθαι, τὸ ε τετραχόρ-

δων ὄντων τῶν ὑπάτων καὶ μέσων, καὶ συνημμένων καὶ διεζευγμένων καὶ ὑπερβολαίων, ἐν πέντε διαστήμασι τετάχθαι τοὺς πλανήτας· ὧν τὸ μέν ἐστι τὸ ἀπὸ Σελήνης ἐπὶ Ἥλιον, καὶ τοὺς ὁμοδρόμους Ἡλίῳ, Στίλβωνα καὶ Φωσφόρον· ἕτερον, τὸ ἀπὸ τούτων ἐπὶ τὸν Ἄρεως Πυρόεντα· τρίτον δὲ, τὸ μεταξὺ τούτου καὶ Φαέθοντος· εἶτα ἑξῆς, τὸ ἐπὶ Φαίνωνα, καὶ πέμπτον ἤδη τὸ ἀπὸ τούτου πρὸς τὴν ἀπλανῆ σφαῖραν· ὥστε τοὺς ὁρίζοντας φθόγγους τὰ τετράχορδα, τὸν τῶν πλανωμένων λόγον ἔχει ἀστέρων. ἔτι τοίνυν τοὺς παλαιοὺς ἴσμεν ὑπάτας μὲν δύο, τρεῖς δὲ νήτας, μίαν δὲ μέσην, καὶ μίαν παραμέσην τιθεμένους· ὥστε τοῖς πλάνησιν ἰσαρίθμους εἶναι τοὺς ἑστῶτας. οἱ δὲ νεώτεροι τὸν προσλαμβανόμενον, τόνῳ διαφέροντα τῆς ὑπάτης, ἐπὶ τὸ βαρὺ τάξαντες, τὸ μὲν ὅλον σύστημα δὶς διὰ πασῶν ἐποίησαν, τῶν δὲ συμφωνιῶν τὴν κατὰ φύσιν οὐκ ἐτήρησαν τάξιν· τὸ γὰρ διὰ πέντε πρότερον γίνεται τοῦ διὰ τεσσάρων, ἐπὶ τὸ βαρὺ τῇ ὑπάτῃ τοῦ τόνου προσληφθέντος. ὁ δὲ Πλάτων δῆλός ἐστιν ἐπὶ τὸ ὀξὺ προσλαμβάνων· λέγει γὰρ ἐν τῇ Πολιτείᾳ, τῶν ὀκτὼ σφαιρῶν ἑκάστην περιφέρειν τὴν ἐπ᾽ αὐτῇ σειρῆνα βεβηκυῖαν· ᾄδειν δὲ πάσας ἕνα τόνον ἰείσας, ἐκ δὲ πασῶν κεράννυσθαι μίαν ἁρμονίαν. αὗται δ᾽ ἀνιέμεναι τὰ θεῖα εἴρουσι, καὶ κατᾴδουσι τῆς ἱερᾶς προόδου καὶ χορείας ὀκτάχορδον ἐμμέλειαν· ὀκτὼ γὰρ ἦσαν καὶ οἱ πρῶτοι τῶν διπλασίων καὶ τριπλασίων ὅροι λόγων, ἑκατέρᾳ προσαριθμουμένης μερίδι τῆς μονάδος. οἱ δὲ περιβύτεροι Μούσας παρεδωκαν καὶ

ἡμῖν ἐννέα· τὰς μὲν ὀκτὼ, καθάπερ ὁ Πλάτων, περὶ τὰ οὐράνια· τὴν δ' ἐννάτην, τὰ περίγεια κηλεῖν ἀνακαλουμένην, καὶ καθιστᾶσαν ἐκ πλάνης καὶ διαφορᾶς ἀνωμαλίαν καὶ ταραχὴν ἐχούσης.

XXXIII. Σκοπεῖτε δὲ, μὴ τὸν μὲν οὐρανὸν ἄγυ καὶ τὰ οὐράνια ταῖς περὶ αὐτὴν ἐμμελείαις καὶ κινήσεσιν ἡ ψυχὴ, φρονιμωτάτη καὶ δικαιωτάτη γεγονυῖα· γέγονε δὲ τοιαύτη τοῖς καθ' ἁρμονίαν λόγοις, ὧν εἰκόνες μὲν ὑπάρχουσιν εἰς τὰ ἀσώματα ἐν τοῖς ὁρατοῖς καὶ ὁρωμένοις μέρεσι τοῦ κόσμου καὶ σώμασιν· ἡ δὲ πρώτη καὶ κυριωτάτη δύναμις ὁρατῶς ἐγκέκραται τῇ ψυχῇ, καὶ παρέχει σύμφωνον αὐτὴν καὶ πειθήνιον, ἀεὶ τῷ κρατίστῳ καὶ θειοτάτῳ μέρει τῶν ἄλλων ἁπάντων ὁμονοούντων. παραλαβὼν γὰρ ὁ δημιουργὸς ἀταξίαν καὶ πλημμέλειαν ἐν ταῖς κινήσεσι τῆς ἀναρμόστου καὶ ἀνοήτου ψυχῆς διαφερομένης πρὸς ἑαυτὴν, τὰ μὲν διώρισε καὶ διέστησε, τὰ δὲ συνήγαγε πρὸς ἄλληλα καὶ συνέταξεν, ἁρμονίαις καὶ ἀριθμοῖς χρησάμενος· οἷς καὶ τὰ κουφότατα σώματα, λίθοι καὶ ξύλα, καὶ φλοιοὶ φυτῶν, καὶ θηρίων εἰσὶ καὶ πυτίαι, συγκεραννύμενα καὶ συναρμοττόμενα, θαυμαστὰς μὲν ἀγαλμάτων ὄψεις, θαυμαστὰς δὲ παρέχει φαρμάκων καὶ ὀργάνων δυνάμεις. ἢ καὶ Ζήνων ὁ Κιττιεὺς ἐπὶ θέαν αὐλητῶν παρεκάλει τὰ μειράκια καταμανθάνειν, οἵαν κέρατα καὶ ξύλα καὶ κάλαμοι, καὶ ὀστᾶ, λόγου μετέχοντα καὶ συμφωνίας, φωνὴν ἀφίησι. τὸ μὲν γὰρ, ἀριθμῷ πάντα ἐπεοικέναι, κατὰ τὴν Πυθαγορικὴν ἀπόφασιν, λόγου δεῖται. τὸ δὲ πᾶσιν, οἷς ἐκ διαφορᾶς καὶ ἀνα-

μοιότητος ἐγγέγονε κοινωνία τις πρὸς ἄλληλα καὶ συμφωνία, ταύτης αἰτίαν εἶναι μετριότητα καὶ τάξιν, ἀριθμοῦ καὶ ἁρμονίας μετασχοῦσιν, οὐδὲ τοὺς ποιητὰς λέληθεν, ἄρθμια μὲν τὰ φίλα καὶ προσηνῆ καλοῦντας, ἀναρτίους δὲ τοὺς ἐχθροὺς καὶ τοὺς πολεμίους, ὡς ἀναρμοστίαν τὴν διαφορὰν οὖσαν. ὁ δὲ τῷ Πινδάρῳ ποιήσας τὸ ἐπικήδειον·

Ἄρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε, καὶ φίλος ἀστοῖς·
εὐαρμοστίαν δῆλός ἐστι τὴν ἀρετὴν ἡγούμενος. ὡς που καὶ αὐτὸς ὁ Πίνδαρος

Τοῦ Θεοῦ (φησιν) ἐπακούοντος οὐκ ἀνορέαν ἐπιδεικνύμενος τὸν Κάδμον.

οἵ τε πάλαι Θεολόγοι, πρεσβύτατοι φιλοσόφων ὄντες, ὄργανα μουσικὰ θεῶν ἐνεχείριζον ἀγάλμασιν· οὐχ ὡς λύραν που καὶ αὐλοῦσιν, ἀλλ' οὐθὲν ἔργον οἰόμενοι θεῶν, οἷον ἁρμονίαν εἶναι καὶ συμφωνίαν· ὥσπερ οὖν ὁ τοὺς ἐπιτρίτους καὶ ἡμιολίους καὶ διπλασίους λόγους ζητῶν ἐν τῷ ζυγῷ τῆς λύρας, καὶ τῇ χελώνῃ καὶ τοῖς κολλάβοις, γελοῖός ἐστι· δεῖ μὲν γὰρ ἁμέλει καὶ ταῦτα συμμέτρως γεγονέναι πρὸς ἄλληλα μήκεσι καὶ πάχεσι, τὴν δὲ ἁρμονίαν ἐκείνην ἐπὶ τῶν φθόγγων θεωρεῖν· οὕτως εἰκὸς μέν ἐστι καὶ τὰ σώματα τῶν ἀστέρων, καὶ τὰ διαστήματα τῶν κύκλων, καὶ τὰ τάχη τῶν περιφορῶν, ὥσπερ ὄργανα ἐν τεταγμένοις ἔχειν ἐμμέτρως πρὸς ἄλληλα καὶ πρὸς τὸ ὅλον, εἰ καὶ τὸ ποσὸν ἡμῖς τοῦ μετρίου διαπέφευγε· τῶν μέντοι λόγων ἐκείνων, οἷς ὁ δημιουργὸς ἐχρήσατο, καὶ τῶν ἀριθμῶν ἔργον ἡγεῖσθαι τὴν αὐτῆς τῆς ψυχῆς ἐμμέλειαν καὶ ἁρμονίαν πρὸς αὐτὴν,

ὑφ' ἧς καὶ τὸν οὐρανὸν ἐγγενομένη μυρίων ἀγαθ
ἐμπέπληκε, καὶ τὰ περὶ γῆν ὥραις καὶ μεταβολ
μέτρον ἐχούσαις, ἄριστα καὶ κάλλιστα πρός τε γέ
σιν καὶ σωτηρίαν τῶν γινομένων διακεκόσμηκεν.

ΠΛΟΥΤΑΡΧΟΥ

ΕΠΙΤΟΜΗ ΤΟΥ ΠΕΡΙ ΤΗΣ ΕΝ ΤΩι Τ
ΜΑΙΩι ΨΥΧΟΓΟΝΙΑΣ.

Ὁ περὶ τῆς ἐν τῷ Τιμαίῳ ψυχογονίας ἐπιγεγρ
μένος λόγος, ὅσα Πλάτωνι καὶ τοῖς Πλατωνικ
πεφιλοτίμηται ἀπαγγέλλει· εἰσάγει δὲ καὶ γεωμετ
κάς τινας ἀναλογίας καὶ ὁμοιότητας, πρὸς τὴν
ψυχῆς, ὡς οἴεται, Θεωρίαν συντεινούσας αὐτῷ·
δὴ καὶ μουσικὰ καὶ ἀριθμητικὰ Θεωρήματα.

II. Λέγει δὲ, τὴν ὕλην διαμορφωθῆναι ὑπὸ
ψυχῆς, καὶ δίδωσι μὲν τῷ παντὶ ψυχήν, δίδωσι
καὶ ἑκάστῳ ζώῳ τὴν διοικοῦσαν αὐτό, καὶ πῇ
ἀγέννητον εἰσάγει ταύτην, πῇ δὲ γενέσει δουλεύ
σαν· ἄϊδιον δὲ τὴν ὕλην καὶ ὑπὸ τοῦ Θείου διὰ
ψυχῆς μορφωθῆναι, καὶ τὴν κακίαν δὲ βλάστη
τῆς ὕλης γεγονέναι, ἵνα μὴ (φησὶ) τὸ Θεῖον αἴτι
τῶν κακῶν νομισθείη.

III. Ὅτι οἱ περὶ τὸν Ποσειδώνιον οὐ μακρὰν τῆς ὕλης ἀπέστησαν τὴν ψυχὴν, ἀλλὰ δεξάμενοι, τὴν τῶν περάτων οὐσίαν περὶ τὰ σώματα λέγεσθαι μεριστὴν, καὶ ταῦτα τῷ νοητῷ μίξαντες, ἀπεφήναντο τὴν ψυχὴν ἰδέαν εἶναι τοῦ πάντη διαστατοῦ καὶ ἀριθμὸν συνεστῶσαν ἁρμονίαν περιέχοντα· τά τε γὰρ μαθηματικὰ τῶν πρώτων νοητῶν μεταξὺ καὶ τῶν αἰσθητῶν τετάχθαι· τῆς τε ψυχῆς τῷ νοητῷ τὸ ἄϊδιον, καὶ τῷ αἰσθητικῷ τὸ παθητικὸν ἐχούσης, προσῆκον ἐν μέσῳ τὴν οὐσίαν ὑπάρχειν. ἔλαθε γὰρ καὶ τούτους ὁ θεὸς τοῖς τῶν σωμάτων πέρασιν ὕστερον, ἀπειργασμένης ἤδη τῆς ψυχῆς, χρώμενος ἐπὶ τὴν τῆς ὕλης διαμόρφωσιν, τὸ σκεδαστὸν αὐτῆς καὶ ἀσύνδετον ὁρίζων καὶ περιλαμβάνων ταῖς ἐκ τῶν τριγώνων συναρμοττομένων ἐπιφανείαις. ἀτοπώτερον δὲ τὸ τὴν ψυχὴν ἰδέαν ποιεῖν. ἡ μὲν γὰρ, ἀεικίνητος, ἡ δ', ἀκίνητος· καὶ ἡ μὲν, ἀμιγὴς πρὸς τὸ αἰσθητὸν, ἡ δὲ, τῷ σώματι συνειργμένη. πρὸς δὲ τούτοις, ὁ θεὸς τῆς μὲν ἰδέας, ὡς παραδείγματος, γέγονε μιμητὴς, τῆς δὲ ψυχῆς, ὥσπερ ἀποτελέσματος, δημιουργός. ὅτι δ' οὐδ' ἀριθμὸν ὁ Πλάτων τὴν οὐσίαν τίθεται τῆς ψυχῆς, ἀλλὰ τατομένην ὑπ' ἀριθμοῦ, προείρηται.

IV. Πρὸς δ' ἀμφοτέροις τούτοις κοινόν ἐστι τὸ μήτε τοῖς πέρασι μήτε τοῖς ἀριθμοῖς μηθὲν ἴχνος ἐνυπάρχειν ἐκείνης τῆς δυνάμεως, ᾗ τὸ αἰσθητὸν ἡ ψυχὴ πέφυκε κρίνειν. νοῦν μὲν γὰρ αὐτῇ καὶ νοητὸν ἡ τῆς νοητῆς μέθεξις ἀρχῆς ἐμπεποίηκε, δόξας δὲ καὶ πίστεις καὶ τὸ φανταστικὸν καὶ τὸ παθητι-

κὸν ὑπὸ τῶν περὶ τὸ σῶμα ποιοτήτων· ὃ οὐκ ἀ
τις ἐκ μονάδων οὐδὲ γραμμῶν οὐδ' ἐπιφανειῶν ἁπλό
νοήσειεν ἐγγινόμενον. καὶ μὴν οὐ μόνον αἱ τῶν Θν
τῶν ψυχαὶ γνωστικὴν τοῦ αἰσθητοῦ δύναμιν ἔχο
σιν, ἀλλὰ καὶ τὴν τοῦ κόσμου, φησὶν, ἀνακυκλο
μένην αὐτὴν πρὸς ἑαυτὴν, ὅταν οὐσίαν σκεδαστ
ἔχοντός τινος ἐφάπτηται, καὶ ὅταν ἀμέριστον λέ
κινουμένην διὰ πάσης ἑαυτῆς, ὅτῳ ἄν τι ταὐτὸν
καὶ ὅτῳ ἂν ἕτερον, πρὸς ὅ τι τε μάλιστα καὶ ὅπη κ
ὅπως συμβαίνει, καὶ τὰ γινόμενα πρὸς ἕκαστον ἔκ
στα εἶναι καὶ πάσχειν. ἐν τούτοις ἅμα καὶ τῶν δέ
κατηγοριῶν ποιούμενος ὑπογραφήν, ἔτι μᾶλλον το
ἐφεξῆς διασαφεῖ. λόγος γάρ, φησὶν, ἀληθὴς, ὅτ
μὲν περὶ τὸ αἰσθητὸν γένηται, καὶ ὁ τοῦ θατέρ
κύκλος ὀρθὸς ἰὼν εἰς πᾶσαν αὐτοῦ τὴν ψυχὴν δια
γείλῃ, δόξαι καὶ πίστεις γίνονται βέβαιοι καὶ ἀλ
θεῖς· ὅταν δ' αὖ πάλιν περὶ τὸ λογιστικὸν ᾖ, κ
ὁ τοῦ ταυτοῦ κύκλος εὔτροχος ὢν αὐτὰ μηνύσῃ, ἐπ
στήμη ἐξ ἀνάγκης ἀποτελεῖται. τούτῳ δὲ ἐν ᾧ τά
ὄντων ἐγγίνεσθον, ἐάν ποτέ τις αὐτὸ ἄλλο πλὴν ψ
χὴν προσείπῃ, πᾶν μᾶλλον ἢ τὸ ἀληθὲς ἐρεῖ. πόθ
οὖν ἔσχεν ἡ ψυχὴ τὴν ἀντιληπτικὴν τοῦ αἰσθητ
καὶ δοξαστικὴν ταύτην κίνησιν, ἑτέραν τῆς νοητ
ἐκείνης καὶ τελευτώσης εἰς ἐπιστήμην, ἔργον εἰπεῖ
μὴ θεμένους βεβαίως, ὅτι νῦν οὐχ ἁπλῶς ψυχὴ
ἀλλὰ κόσμου ψυχὴν συνίστησιν ἐξ ὑποκειμένης τ
τε κρείττονος οὐσίας καὶ ἀμερίστου καὶ τῆς χείρονο
ἣν περὶ τὰ σώματα μεριστὴν κέκληκεν, οὐχ ἑτέρ
οὖσαν ἢ τὴν δοξαστικὴν καὶ φανταστικὴν, καὶ συ

παθῆ τῶν αἰσθητῶν κίνησιν, οὐ γενομένην, ἀλλ' ὑφεστῶσαν ἄϋδιον, ὥσπερ ἡ ἑτέρα. τὸ γὰρ νοερὸν ἡ φύσις ἔχουσα, καὶ τὸ δοξαστικὸν εἶχεν· ἀλλ' ἐκεῖνο μὲν ἀκίνητον καὶ ἀπαθές, καὶ περὶ τὴν ἀεὶ μένουσαν ἱδρυμένον οὐσίαν· τοῦτο δὲ, μεριστὸν καὶ πλανητὸν, ἅτε δὴ φερομένης καὶ σκεδαννυμένης ἁφαπτόμενον ὕλης. οὔτε γὰρ τὸ αἰσθητὸν εἰλήχει τάξεως, ἀλλ' ἦν ἄμορφον καὶ ἄόριστον· ἥ τε περὶ τοῦτο τεταγμένη δύναμις, οὔτε δόξας ἐνάρθρους, οὔτε κινήσεις ἁπάσας εἶχε τεταγμένας, ἀλλὰ τὰς πολλὰς ἐνυπνιώδεις καὶ παραφόρους καὶ ταραττούσας τὸ σωματοειδὲς, ὅσα μὴ κατὰ τύχην τῷ βελτίονι περιέπιπτεν· ἐν μέσῳ γὰρ ἦν ἀμφοῖν, καὶ πρὸς ἀμφότερα συμπαθῆ καὶ συγγενῆ φύσιν εἶχε, τῷ μὲν αἰσθητικῷ τῆς ὕλης ἀντεχομένη, τῷ δὲ κριτικῷ τῶν νοητῶν.

V. Οὕτω δέ πως καὶ Πλάτων διασαφεῖ τοῖς ὀνόμασιν· Οὗτος γὰρ, φησὶν, παρὰ τῆς ἐμῆς ψήφου λογισθεὶς, ἐν κεφαλαίῳ δεδόσθω λόγος, ὃν τε καὶ χώραν καὶ γένεσιν εἶναι τρία τριχῆ, καὶ πρὶν οὐρανὸν γενέσθαι. χώραν τε γὰρ καλεῖ τὴν ὕλην, ὥσπερ ἔδραν, ἔστιν ὅτε καὶ ὑποδοχήν· ὃν δὲ, τὸ νοητόν· γένεσιν δὲ, τοῦ κόσμου μήπω γεγονότος, οὐδεμίαν ἄλλην ἢ τὴν ἐν μεταβολαῖς καὶ κινήσεσιν οὐσίαν, τοῦ τυποῦντος καὶ τοῦ τυπουμένου μεταξὺ τεταγμένην, διαδιδοῦσαν ἐνταῦθα τὰς ἐκεῖθεν εἰκόνας. διά τε δὴ ταῦτα μεριστὴ προσηγορεύθη, καὶ ὅτι τῷ αἰσθητῷ τὸ αἰσθανόμενον, καὶ τῷ φανταστῷ τὸ φανταζόμενον ἀνάγκη συνδιανέμεσθαι καὶ συμπαρήκειν· *ἡ γὰρ αἰσθητικὴ κίνησις ἰδία* ψυχῆς οὖσα, κινεῖται

πρὸς τὸ αἰσθητὸν ἐκτός· ὁ δὲ νοῦς αὐτὸς μὲν ἐφ' ἑαυτοῦ μόνιμος ἦν καὶ ἀκίνητος, ἐγγενόμενος δὲ τῇ ψυχῇ καὶ κρατήσας, εἰς ἑαυτὸν ἐπιστρέφει καὶ συμπεραίνει τὴν ἐγκύκλιον φοράν, περὶ τὸ μόνον ἅπτὶ μάλιστα ψαύουσαν τοῦ ὄντος. διὸ καὶ δυσανάκρατος ἡ κοινωνία γέγονεν αὐτῶν, τῷ ἀμερίστῳ τὸ μεριστόν, καὶ τῷ μηδαμῇ κινητῷ τὸ πάντη φορητὸν μιγνύουσα, καὶ καταβιαζομένη θάτερον εἰς ταυτὸν συνελθεῖν. ἦν δὲ τὸ θάτερον οὐ κίνησις, ὥσπερ οὐδὲ ταυτὸν στάσις, ἀλλ' ἀρχὴ διαφορᾶς καὶ ἀνομοιότητος. ἑκάτερον γὰρ ἀπὸ τῆς ἑτέρας ἀρχῆς κάτεισι, τὸ μὲν ταυτὸν ἀπὸ τοῦ ἑνός, τὸ δὲ θάτερον ἀπὸ τῆς δυάδος· καὶ μέμικται πρῶτον ἐνταῦθα περὶ τὴν ψυχήν, ἀριθμοῖς καὶ λόγοις συνδεθέντα, καὶ μεσότησιν ἐναρμονίοις, καὶ ποιεῖ θάτερον ἐγγενόμενον τῷ αὐτῷ διαφορὰν, τὸ δὲ ταυτὸν ἐν τῷ ἑτέρῳ τάξιν, ὡς δῆλόν ἐστιν ἐν ταῖς πρώταις τῆς ψυχῆς δυνάμεσιν· εἰσὶ δὲ αὗται τὸ κριτικὸν καὶ τὸ κινητικόν. ἡ μὲν οὖν κίνησις εὐθὺς ἐπιδείκνυται περὶ τὸν οὐρανὸν, ἐν μὲν τῇ ταυτότητι τὴν ἑτερότητα τῇ περιφορᾷ τῶν ἀπλανῶν, ἐν δὲ τῇ ἑτερότητι τὴν ταυτότητα τῇ τάξει τῶν πλανητῶν· ἐπικρατεῖ γὰρ ἐν ἐκείνοις τὸ ταυτὸν, ἐν δὲ τοῖς περὶ γῆν τοὐναντίον. ἡ δὲ κρίσις ἀρχὰς μὲν ἔχει δύο, τόν τε νοῦν ἀπὸ τοῦ ταυτοῦ πρὸς τὰ καθόλου, καὶ τὴν αἴσθησιν ἀπὸ τοῦ ἑτέρου, πρός τι καθ' ἕκαστα. μέμικται δὲ λόγος ἐξ ἀμφοῖν, νόησις ἐν τοῖς νοητοῖς, καὶ δόξα γινόμενος ἐν τοῖς αἰσθητοῖς· ὀργάνοις τε μεταξὺ φαντασίαις τε καὶ μνήμαις χρώμενος, ὧν τὰ μὲν ἐν τῷ ταυτῷ τὸ ἕτερον, τὰ

ἐν τῷ ἑτέρῳ ποιεῖ τὸ ταυτόν. ἔστι γὰρ ἡ μὲν νόη
ις κίνησις τοῦ νοοῦντος περὶ τὸ μένον· ἡ δὲ δόξα,
ονὴ τοῦ αἰσθανομένου περὶ τὸ κινούμενον· φαν-
κσίαν δὲ, συμπλοκὴν δόξης πρὸς αἴσθησιν οὖσαν,
τησιν ἐν μνήμῃ τὸ ταυτόν· τὸ δὲ θάτερον κινεῖ
ήλιν ἐν διαφορᾷ τοῦ πρόσθεν καὶ νῦν, ἑτερότητος
ια καὶ ταυτότητος ἐφαπτόμενον.

VI. Δεῖ δὲ τὴν περὶ τὸ σῶμα τοῦ κόσμου γενο-
ίνην σύνταξιν, εἰκόνα λαβεῖν τῆς ἀναλογίας, ἐν ᾗ
ηρμόσατο τὴν ψυχήν. ἐκεῖ μὲν γὰρ ἦν ἄκρα, τό
ῦρ καὶ ἡ γῆ, χαλεπὴν πρὸς ἄλληλα κραθῆναι φύ-
ν ἔχοντα, μᾶλλον δὲ ὅλως ἄκρατον καὶ ἀσύστατον·
θεν ἐν μέσῳ θέμενος αὐτῶν, τὸν μὲν ἀέρα πρὸ τοῦ
υρὸς, τὸ δὲ ὕδωρ πρὸ τῆς γῆς, ταῦτα πρῶτον ἀλ-
λοις ἐκέρασεν· εἶτα διὰ τούτων ἐκεῖνα πρός τε
ίτα καὶ ἄλληλα συνέμιξε καὶ συνήρμοσεν. ἐνταῦ
α δὲ πάλιν τὸ ταυτὸν καὶ τὸ θάτερον ἐναντίας δυ
ίμεις, καὶ ἀκρότητας ἀντιπάλους συνήγαγεν, οὐ
' αὐτῶν, ἀλλ' οὐσίας ἑτέρας μεταξὺ, τὴν μὲν ἀμέ-
στον πρὸ τοῦ ταυτοῦ, πρὸ δὲ τοῦ θατέρου τὴν
ριστὴν, ἔστιν ᾗ προσήκουσαν ἑκατέραν ἑκατέρᾳ
ξας, εἶτα μιχθείσαις ἐκείναις ἐπεγκεραννύμενος,
ίτω τὸ πᾶν συνύφηνε τῆς ψυχῆς εἶδος, ὡς ἦν ἀνυ-
όν, ἐκ διαφόρων ὅμοιον ἔκ τε πολλῶν ἓν ἀπεργα-
ίμενος.

ΠΛΟΥΤΑΡΧΟΥ
ΠΕΡΙ
ΣΤΩΙΚΩΝ ΕΝΑΝΤΙΩΜΑΤΩΝ.

Πρῶτον ἀξιῶ τὴν τῶν δογμάτων ὁμολογίαν ἐν τοῖς βίοις θεωρεῖσθαι. δεῖ γὰρ οὐχ οὕτω τὸν ῥήτορα, κατ' Αἰσχίνην, τὸ αὐτὸ φθέγγεσθαι καὶ τὸν νόμον, ὡς τὸν βίον τοῦ φιλοσόφου τῷ λόγῳ σύμφωνον εἶναι. ὁ γὰρ λόγος τοῦ φιλοσόφου νόμος αὐθαίρετος καὶ ἑκούσιός ἐστιν· εἶγε δὴ μὴ παιδιὰν καὶ εὑρησιλογίαν ἕνεκα δόξης, ἀλλ' ἔργον ἄξιον σπουδῆς τῆς μεγίστης, ὥσπερ ἐστὶν, ἡγοῦνται φιλοσοφίαν.

II. Ἐπεὶ τοίνυν πολλὰ μὲν, ὡς ἐν λόγοις, αὐτῷ Ζήνωνι, πολλὰ δὲ Κλεάνθει, πλεῖστα δὲ Χρυσίππῳ γεγραμμένα τυγχάνει περὶ πολιτείας καὶ τοῦ ἄρχεσθαι καὶ ἄρχειν, καὶ δικάζειν καὶ ῥητορεύειν· ἐν δὲ τοῖς βίοις οὐδενός ἐστιν εὑρεῖν οὐ στρατηγίαν, οὐ νομοθεσίαν, οὐ πάροδον εἰς βουλὴν, οὐ συνηγορίαν ἐπὶ δικαστῶν, οὐ στρατείαν ὑπὲρ πατρίδος, οὐ πρεσβείαν, οὐκ ἐπίδοσιν· ἀλλ' ἐπὶ ξένης, ὥσπερ τινὸς λωτοῦ, γευσάμενοι σχολῆς, τὸν πάντα βίον, οὐ βραχὺν, ἀλλὰ παμμήκη γενόμενον, διήγαγον ἐν λό-

γοις καὶ βιβλίοις καὶ περιπάτοις· οὐκ ἄδηλον, ὅτι τοῖς ὑφ' ἑτέρων γραφομένοις καὶ λεγομένοις, μᾶλλον ἢ τοῖς ὑφ' αὐτῶν ὁμολογουμένως ἔζησαν, ἦν Ἐπίκουρος ἡσυχίαν ἐπαινεῖ καὶ Ἱερώνυμος, ἐν ταὐτῃ τὸ παράπαν καταβιώσαντες. αὐτὸς γοῦν Χρύσιππος ἐν τῷ τετάρτῳ περὶ Βίων, οὐδὲν οἴεται τὸν σχολαστικὸν βίον τοῦ ἡδονικοῦ διαφέρειν· αὐτὰς δὲ παραθήσομαι τὰς λέξεις· Ὅσοι δὲ ὑπολαμβάνουσι φιλοσόφοις ἐπιβάλλειν μάλιστα τὸν σχολαστικὸν βίον ἀπ' ἀρχῆς, σὺτοί μοι δοκοῦσι διαμαρτάνειν, ὑπονοοῦντες, διαγωγῆς τινος ἕνεκεν δεῖν τοῦτο ποιεῖν, ἢ ἄλλου τινὸς τούτῳ παραπλησίου, καὶ τὸν ὅλον βίον οὕτω πως διελκύσαι· τοῦτο δ' ἔστιν, ἂν σαφῶς θεωρηθῇ, ἡδέως· οὐ γὰρ δεῖ λανθάνειν τὴν ὑπόνοιαν αὐτῶν, πολλῶν μὲν σαφῶς τοῦτο λεγόντων, οὐκ ὀλίγων δ' ἀδηλότερον. τίς οὖν μᾶλλον ἐν τῷ σχολαστικῷ βίῳ τούτῳ κατεγήρασεν, ἢ Χρύσιππος, καὶ Κλεάνθης, καὶ Διογένης, καὶ Ζήνων, καὶ Ἀντίπατρος; οἵ γε καὶ τὰς αὐτῶν κατέλιπον πατρίδας, οὐθὲν ἐγκαλοῦντες, ἀλλ' ὅπως καθ' ἡσυχίαν ἐν τῷ ἡδίονι καὶ ἐπὶ ζωστῆρος σχολάζοντες καὶ φιλολογοῦντες διάγωσιν. Ἀριστοκρέων γοῦν, ὁ Χρυσίππου μαθητὴς καὶ οἰκεῖος, εἰκόνα χαλκῆν ἀναστηλώσας ἐπέγραψε τόδε τὸ ἐλεγεῖον·

Τόνδε νέον Χρύσιππον Ἀριστοκρέων ἀνέθηκε,
Τῶν Ἀκαδημιακῶν στραγγαλίδων κοπίδα.

τοῦτο οὖν ὁ Χρύσιππος, ὁ γέρων, ὁ φιλόσοφος, ὁ τὸν βασιλικὸν καὶ πολιτικὸν ἐπαινῶν βίον, τὸν δὲ σχολαστικὸν οὐθὲν οἰόμενος τοῦ ἡδονικοῦ διαφέρειν,

III. *Οσοι δ' ἄλλοι αὐτῶν πολιτείᾳ προσίασιν, ἔτι μᾶλλον ἐναντιοῦνται τοῖς αὐτῶν δόγμασι· καὶ γὰρ ἄρχουσι, καὶ δικάζουσι, καὶ συμβουλεύουσι, καὶ νομοθετοῦσι, καὶ κολάζουσι, καὶ τιμῶσιν, ὡς πόλεων οὐσῶν, ἐν αἷς πολιτεύονται, βουλευτῶν δὲ καὶ δικαστῶν ἀεὶ τῶν λαγχανόντων, στρατηγῶν δὲ τῶν χειροτονουμένων, νόμων δὲ τῶν Κλεισθένους καὶ Λυκούργου καὶ Σόλωνος, οὓς φαύλους καὶ ἀνοήτους γεγονέναι λέγουσιν. ὥστε καὶ πολιτευόμενοι μάχονται.*

IV. *Καὶ μὴν Ἀντίπατρος ἐν τῷ περὶ τῆς Κλεάνθους καὶ Χρυσίππου διαφορᾶς ἱστόρηκεν, ὅτι Ζήνων καὶ Κλεάνθης οὐκ ἠθέλησαν Ἀθηναῖοι γενέσθαι, μὴ δόξωσι τὰς αὐτῶν πατρίδας ἀδικεῖν. ὅτι μέν, εἰ καλῶς οὗτοι, Χρύσιππος οὐκ ὀρθῶς ἐποίησεν, ἐγγραφεὶς εἰς τὴν πολιτείαν, παρείσθω. πολλὴν δὲ μάχην καὶ παράλογον ἔχει τὸ, τὰ σώματα καὶ τοὺς βίους οὕτω μακρὰν ἀποξενώσαντας, τὰ ὀνόματα ταῖς πατρίσι τηρεῖν· ὥσπερ εἴ τις τὴν γαμετὴν ἀπολιπὼν, ἑτέρᾳ δὲ συζῶν καὶ συναναπαυόμενος, καὶ παιδοποιούμενος ἑξ ἑτέρας, μὴ συγγράφοιτο γάμον, ὅπως ἀδικεῖν μὴ δοκῇ τὴν προτέραν.*

V. *Χρύσιππος δὲ πάλιν ἐν τῷ περὶ Ῥητορικῆς γράφων, οὕτω ῥητορεύσειν καὶ πολιτεύσεσθαι τὸν σοφὸν. ὡς καὶ τοῦ πλούτου ὄντος ἀγαθοῦ, καὶ τῆς δόξης καὶ τῆς ὑγείας, ὁμολογεῖ, τοὺς λόγους αὐτοῦ καὶ ἀνεξόδους εἶναι καὶ ἀπολιτεύτους, καὶ τὰ δόγματα ταῖς χρείαις ἀνάρμοστα καὶ ταῖς πράξεσιν.*

VI. *Ἔτι δόγμα Ζήνωνός ἐστιν, ἱερὰ θεῶν μὴ οἰ-*

κοδομεῖν· ἱερὸν γὰρ μὴ πολλοῦ ἄξιον καὶ ἅγιοι οὔκ ἔστιν· οἰκοδόμων δ' ἔργον καὶ βαναύσων οὐδέν ἐστι πολλοῦ ἄξιον. οἱ δὲ ταῦτ' ἐπαινοῦντες, ὡς εὖ ἔχοντα, μυοῦνται μὲν ἐν ἱεροῖς, ἀναβαίνουσι δ' εἰς ἀκρόπολιν, προσκυνοῦσι δὲ τὰ ἕδη, καὶ στεφανοῦσι τοὺς ναούς, οἰκοδόμων ὄντας ἔργα καὶ βαναύσων ἀνθρώπων. εἶτα τοὺς Ἐπικουρείους ἐλέγχεσθαι δοκοῦσι θύοντας θεοῖς, αὐτοὶ δὲ μᾶλλον ἐλέγχονται θύοντες ἐπὶ τῶν βωμῶν καὶ τῶν ἱερῶν, ἃ μήτ' εἶναι. μήτ' οἰκοδομεῖσθαι δεῖν ἀξιοῦσιν.

VII. Ἀρετὰς ὁ Ζήνων ἀπολείπει πλείονας, κατὰ διαφορὰς, ὥσπερ ὁ Πλάτων, οἷον φρόνησιν, ἀνδρείαν, σωφροσύνην, δικαιοσύνην· ὡς ἀχωρίστους μὲν οὔσας, ἑτέρας δὲ καὶ διαφερούσας ἀλλήλων. πάλιν δὲ ὁριζόμενος αὐτῶν ἑκάστην, τὴν μὲν ἀνδρείαν, φησὶ, φρόνησιν εἶναι ἐν ἐνεργητέοις· τὴν δὲ δικαιοσύνην, φρόνησιν ἐν ἀπονεμητέοις· ὡς μίαν οὖσαν ἀρετὴν, ταῖς δὲ πρὸς τὰ πράγματα σχέσεσι κατὰ τὰς ἐνεργείας διαφέρειν δοκοῦσαν. οὐ μόνον δὲ ὁ Ζήνων περὶ ταῦτα φαίνεται αὐτῷ μαχόμενος, ἀλλὰ καὶ Χρύσιππος, Ἀρίστωνι μὲν ἐγκαλῶν, ὅτι μιᾶς ἀρετῆς σχέσεις ἔλεγε τὰς ἄλλας εἶναι, Ζήνωνι δὲ συνηγορῶν οὕτως ὁριζομένῳ τῶν ἀρετῶν ἑκάστην. ὁ δὲ Κλεάνθης ἐν Ὑπομνήμασι Φυσικοῖς εἰπὼν, ὅτι πληνὴ πυρός ὁ τόνος ἐστὶ, κἂν ἱκανὸς ἐν τῇ ψυχῇ γένηται πρὸς τὸ ἐπιτελεῖν τὰ ἐπιβάλλοντα, ἰσχὺς καλεῖται καὶ κράτος· ἐπιφέρει κατὰ λέξιν. Ἡ δ' ἰσχὺς αὕτη καὶ τὸ κράτος ὅταν μὲν ἐπὶ τοῖς ἐπιφα-

νέσιν ἐμμενετέοις ἐγγένηται, ἐγκράτειά ἐστιν· ὅταν δ' ἐν τοῖς ὑπομενετέοις, ἀνδρεία· περὶ τὰς ἀξίας δὲ, δικαιοσύνη· περὶ τὰς αἱρέσεις καὶ ἐκκλίσεις, σωφροσύνη.

VIII. *Πρὸς τὸν εἰπόντα·*

Μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς. ἀντέλεγεν ὁ Ζήνων, τοιούτῳ τινὶ λόγῳ χρώμενος· εἶτ' ἀπέδειξεν ὁ πρότερος εἰπὼν, οὐκ ἀκουστέον τοῦ δευτέρου λέγοντος· πέρας γὰρ ἔχει τὸ ζητούμενον. εἶτ' οὐκ ἀπέδειξεν· ὅμοιον γάρ, ὡς εἰ γηδὲ ὑπήκουσε κληθεὶς, ἢ ὑπακούσας ἑτερέτισεν. ἤτοι δ' ἀπέδειξεν, ἢ οὐκ ἀπέδειξεν· οὐκ ἀκουστέον ἄρα τοῦ δευτέρου λέγοντος. τοῦτον δὲ τὸν λόγον ἐρωτήσας αὐτὸς, ἀντέγραψε μὲν πρὸς τὴν Πλάτωνος Πολιτείαν· ἔλυε δὲ σοφίσματα, καὶ τὴν διαλεκτικὴν, ὡς τοῦτο ποιεῖν δυναμένην, ἐκέλευε παραλαμβάνειν τοὺς μαθητάς. καίτοι ἢ ἀπέδειξε Πλάτων, ἢ οὐκ ἀπέδειξε τὰ ἐν τῇ Πολιτείᾳ· καὶ οὐδέτερον δ' ἦν ἀναγκαῖον ἀντιγράφειν, ἀλλὰ πάντως περιττὸν καὶ μάταιον. τὸ δ' αὐτὸ περὶ τῶν σοφισμάτων ἐστὶν εἰπεῖν.

IX. *Ὁ Χρύσιππος οἴεται δεῖν τῶν λογικῶν πρῶτον ἀκροᾶσθαι τοὺς νέους, δεύτερον δὲ τῶν ἠθικῶν, μετὰ δὲ ταῦτα τῶν φυσικῶν, ὡσαύτως δὲ τούτοις τὸν περὶ θεῶν λόγον ἔσχατον παραλαμβάνειν. πολλαχοῦ δὲ τούτων ὑπ' αὐτοῦ λεγομένων, ἀρκέσει παραθέσθαι τὰ ἐν τῷ τετάρτῳ περὶ Βίων ἔχοντα κατὰ λέξιν οὕτω· Πρῶτον μὲν οὖν δοκεῖ μοι, κατὰ τὰ ὀρθῶς ὑπὸ τῶν ἀρχαίων εἰρημένα,*

τρία γένη τῶν τοῦ φιλοσόφου θεωρημάτων εἶναι· τὰ μὲν, λογικὰ, τὰ δὲ, ἠθικὰ, τὰ δὲ, φυσικά· εἶτα τούτων δεῖν τάττεσθαι πρῶτα μὲν, τὰ λογικὰ, δεύτερα δὲ, τὰ ἠθικὰ, τρίτα δὲ, τὰ φυσικά· τῶν δὲ φυσικῶν ἔσχατος εἶναι ὁ περὶ τῶν θεῶν λόγος· διὸ καὶ τελευτὰς ἠγόρευσαν τὰς τούτων παραδόσεις. ἀλλὰ τοῦτόν γε τὸν λόγον, ὃν ἔσχατόν φησι δεῖν τάττεσθαι, περὶ θεῶν, ἔθει προτάττει καὶ προεκτίθησι παντὸς ἠθικοῦ ζητήματος· οὔτε γὰρ περὶ τελῶν, οὔτε περὶ δικαιοσύνης, οὔτε περὶ ἀγαθῶν καὶ κακῶν, οὔτε περὶ γάμου καὶ παιδοτροφίας, οὔτε περὶ νόμου καὶ πολιτείας φαίνεται τοπαράπαν φθεγγόμενος, εἰ μὴ, καθάπερ οἱ τὰ ψηφίσματα ταῖς πόλεσιν εἰσφέροντες προγράφουσιν Ἀγαθὴν Τύχην, οὕτω καὶ αὐτὸς προγράψειε τὸν Δία, τὴν Εἱμαρμένην, τὴν Πρόνοιαν, τὸ συνέχεσθαι μιᾷ δυνάμει τὸν κόσμον ἕνα ὄντα καὶ πεπερασμένον. ὧν οὐθέν ἐστι πεισθῆναι, μὴ διὰ βάθους ἐγκραθέντα τοῖς φυσικοῖς λόγοις. ἄκουε δὲ, ἃ λέγει περὶ τούτων ἐν τῷ τρίτῳ περὶ Θεῶν· Οὐ γάρ ἐστιν εὑρεῖν τῆς δικαιοσύνης ἄλλην ἀρχὴν, οὐδ' ἄλλην γένεσιν, ἢ τὴν ἐκ τοῦ Διὸς, καὶ τὴν ἐκ τῆς κοινῆς φύσεως· ἐντεῦθεν γὰρ δεῖ πᾶν τὸ τοιοῦτον τὴν ἀρχὴν ἔχειν, εἰ μέλλομέν τι ἐρεῖν περὶ ἀγαθῶν καὶ κακῶν. πάλιν ἐν ταῖς φυσικαῖς Θέσεσιν· Οὐ γάρ ἐστιν ἄλλως, οὐδ' οἰκειότερον ἐπελθεῖν ἐπὶ τὸν τῶν ἀγαθῶν καὶ κακῶν λόγον, οὐδ' ἐπὶ τὰς ἀρετὰς, οὐδ' ἐπὶ εὐδαιμονίαν, ἀλλ' ἢ ἀπὸ τῆς κοινῆς φύσεως, καὶ ἀπὸ τῆς τοῦ κόσμου διοικήσεως. προελθὼν δ' αὖθις

Δεῖ γὰρ τούτοις συνάψαι τὸν περὶ ἀγαθῶν καὶ κακῶν λόγον, οὐκ οὔσης ἄλλης ἀρχῆς αὐτῶν ἀμείνονος, οὐδ' ἀναφορᾶς, οὐδ' ἄλλου τινὸς ἕνεκεν τῆς φυσικῆς θεωρίας παραληπτῆς οὔσης, ἢ πρὸς τὴν περὶ ἀγαθῶν ἢ κακῶν διάστασιν. γίνεται τοίνυν ἅμα πρόσω καὶ ὀπίσω τῶν ἠθικῶν ὁ φυσικὸς λόγος, κατὰ Χρύσιππον· μᾶλλον δὲ ὅλως ἄπορος ἡ περιτροπὴ τῆς τάξεως, εἰ μετὰ ταῦτα τακτέον ἐκεῖνον, ὧν καταλαβεῖν οὐθὲν ἐκείνου χωρὶς ἐστιν· καὶ πρόδηλος ἡ μάχη τοῦ τὸν φυσικὸν λόγον ἀρχὴν μὲν εἶναι τοῦ περὶ ἀγαθῶν καὶ κακῶν τιθεμένου, κελεύοντος δὲ, μὴ πρότερον ἀλλ' ὕστερον ἐκείνων παραδίδοσθαι. εἰ δέ τις ἐρεῖ, γεγραφέναι τὸν Χρύσιππον ἐν τῷ περὶ Λόγου Χρήσεως, ὡς οὐ καθάπαξ ἀφεκτέον ἐστὶ τῶν ἄλλων, τῷ τὴν λογικὴν ἀναλαμβάνοντι πρώτην, ἀλλὰ κἀκείνων μεταληπτέον κατὰ τὸ διδόμενον, ἀληθῆ μὲν ἐρεῖ, βεβαιώσει δὲ τὴν αἰτίαν· μάχεται γὰρ πρὸς ἑαυτὸν, ὅπου μὲν ἔσχατον τὸν περὶ Θεῶν λόγον ἀναλαμβάνειν κελεύων καὶ τελευταῖον, ὡς διὰ τοῦτο καὶ τελετὴν προσαγορευόμενον, ὅπου δὲ πάλιν ἐν πρώτοις ἅμα καὶ τοῦτον μεταληπτέον εἶναι λέγων· οἴεται γὰρ ἡ τάξις, εἰ πάντων ἐν πᾶσι μεταλαμβάνειν δεήσει. τὸ δὲ μεῖζον, ὅτι τοῦ περὶ ἀγαθῶν καὶ κακῶν λόγου τὸν περὶ Θεῶν ἀρχὴν πεποιημένος, οὐκ ἀπὸ τούτου κελεύει τὸν ἠθικὸν ἀρξαμένους ἀναλαμβάνειν, ἀλλ' ἐκεῖνον ἀναλαμβάνοντας τούτου μεταλαμβάνειν κατὰ τὸ διδόμενον, εἶτα μεταβαίνειν ἐπὶ τοῦτον ἀπ' ἐκείνων, οὗ χωρὶς οὐδεμίαν ἀρχὴν ἀπ' ἐκείνων, οὐδ'

X. Τὸ πρὸς τὰ ἐναντία διαλέγεσθαι καθόλου οὗ φησιν ἀποδοκιμάζειν, χρῆσθαι δὲ οὕτω πανεῖ μετ' εὐλαβείας, ὥσπερ ἐν τοῖς δικαστηρίοις, μετὰ συνηγορίας, ἀλλὰ διαλύοντας αὐτῶν τὸ ανόν· τοῖς μὲν γὰρ ἐποχὴν ἄγουσι περὶ πάντων ἄλλει, φησὶ, τοῦτο ποιεῖν, καὶ συνεργόν ἐστι ς ὃ βούλονται· τοῖς δ' ἐπιστήμην ἐνεργαζομέ-, καθ' ἣν ὁμολογουμένως βιωσόμεθα, τὰ έναν στοιχειοῦν, καὶ καταστοιχίζειν τοὺς εἰσαγομέ ς ἀπ' ἀρχῆς μέχρι τέλους· ἐφ' ὧν καιρός ἐστι σθῆναι καὶ τῶν ἐναντίων λόγων, διαλύοντας ῶν τὸ πιθανόν, καθάπερ καὶ ἐν τοῖς δικαστης. ταυτὶ γὰρ αὐταῖς λέξεσιν εἴρηκεν. Ὅτι οὖν ἄτοπόν ἐστι, τοὺς φιλοσόφους τὸν έναν λόγον οἰομένους δεῖν τιθέναι, μὴ μετὰ συνηίας, ἀλλ' ὁμοίως τοῖς δικολόγοις κακοῦντας, τερ οὐ πρὸς τὴν ἀλήθειαν, ἀλλὰ περὶ νίκης ἀγωμένους, εἴρηται πρὸς αὐτόν· δι' ἑτέρων. ὅτι δ' ὃς οὐκ ἐν ὀλίγοις, ἀλλὰ πολλαχοῦ, τοὺς έναν ς οἷς δοκιμάζει λόγους κατεσκεύακεν ἐρρωμέ καὶ μετὰ σπουδῆς καὶ φιλοτιμίας τοσαύτης, ε μὴ παντὸς εἶναι καταμαθεῖν τὸ ἀρέσκον, οἱ δήπου λέγουσι, τὴν δεινότητα θαυμάζοντες ἀνδρός· καὶ τὸν Καρνεάδην οὐθὲν οἰόμενοι ιν ἴδιον, ἀλλ' ἐξ ὧν ἐπεχείρησε Χρύσιππος εἰς ναντίον, ὁρμώμενον ἐπιτίθεσθαι τοῖς λόγοις οὐ, καὶ πολλάκις παραφθέγγεσθαι·

Δαιμόνιε, φθίσει σε τὸ σὸν μένος,
μεγάλας ἀφορμὰς καθ' ἑαυτοῦ διδόντα τοῖς κι-

νεῖν τὰ δόγματα καὶ διαβάλλειν βουλομέ
δὲ τοῖς κατὰ Συνηθείας ἐκδοθεῖσιν οὗτ
καὶ μεγαληγοροῦσιν, ὥστε τοὺς πάντων
Ἀκαδημαϊκῶν λόγους εἰς ταυτὸ συμφορ
οὐκ ἀξίους εἶναι παραβαλεῖν, οἷς Χρύσιπ
φεν εἰς διαβολὴν τῶν αἰσθήσεων. καὶ τ
ἀπειρίας τῶν λεγόντων ἢ φιλαυτίας σημεῖ
ἐκεῖνο δ' ἀληθές, ὅτι βουληθεὶς αὖθις σ
τῇ Συνηθείᾳ καὶ ταῖς αἰσθήσεσιν, ἐνδείστε
γονεν ἑαυτοῦ. καὶ τὸ σύνταγμα τοῦ συντ
μαλακώτερον. ὥστ' αὐτὸν ἑαυτῷ μάχεσθα
λεύοντα μὲν ἀεὶ τὰ ἐναντία, μὴ μετὰ συνη
ἀλλὰ μετ' ἐνδείξεως τοῦ ὅτι ψευδῆ ἐστι, π
θεσθαι· τῶν δ' αὐτοῦ δογμάτων κατήγορον
δεινότερον ἢ συνήγορον· καὶ φυλάττεσθαι μέ
ροις παραινοῦντα τοὺς ἐναντίους λόγους, ὡς
ριπῶντας τὴν κατάληψιν, αὐτὸν δὲ τῶν βεβα
των τὴν κατάληψιν λόγων φιλοτιμότερον συντιθ
τοὺς ἀναιροῦντας. καίτοι ὅτι τοῦτο αὐτὸ φοβεῖ
σαφῶς ὑποδείκνυσιν ἐν τῷ τετάρτῳ περὶ Βί
ταῦτα γράφων· Οὐχ ὡς ἔτυχε δὲ οὐδὲ τοὺς ἐνο
τίους ὑποδεικτέον λόγους, οὐδὲ πρὸς τὰ ἐναντία
θανά, ἀλλ' εὐλαβουμένους, μὴ καὶ περισπασθέ
τες ὑπ' αὐτῶν, τὰς καταλήψεις ἀφῶσιν, οὐδὲ τὰ
λύσεων ἱκανῶς ἂν ἀκοῦσαι δυνάμενοι, καταλαμβά
νοντές τε εὐαποσείστως· ἐπεὶ καὶ οἱ κατὰ συνή
θειαν καταλαμβάνοντες καὶ τὰ αἰσθητά, καὶ τὰ
ἄλλα, ἐκ τῶν αἰσθήσεων ῥᾳδίως προϊέναι ταῦτα,
καὶ ὑπὸ τῶν Μεγαρικῶν ἐρωτημάτων περιστ

καὶ ὑπ' ἄλλων πλειόνων καὶ δυναμικωτέρων ἐρωτημάτων. ἡδέως ἂν οὖν πυθοίμην τῶν Στωϊκῶν, εἰ τὰ Μεγαρικὰ ἐρωτήματα δυναμικώτερα νομίζουσιν εἶναι τῶν ὑπὸ Χρυσίππου κατὰ τῆς Συνηθείας ἐν ἓξ βιβλίοις γεγραμμένων. ἢ τοῦτο παρ' αὐτοῦ Χρυσίππου δεῖ πυνθάνεσθαι· σκόπει γάρ, οἷα περὶ τοῦ Μεγαρικοῦ λόγου γέγραφεν ἐν τῷ περὶ Λόγου Χρήσεως οὕτως· Οἷόν τι συμβέβηκε καὶ ἐπὶ τοῦ Στίλπωνος λόγου καὶ Μενεδήμου· σφόδρα γὰρ ἐπὶ σοφίᾳ γενομένων αὐτῶν ἐνδόξων, νῦν εἰς ὄνειδος αὐτῶν ὁ λόγος περιτέτραπται, ὡς τῶν μὲν παχύτερον, τῶν δ' ἐκφανῶς σοφιζομένων ἔργα. τούτους μὲν, ὦ βέλτιστε, τοὺς λόγους, ὧν καταγελᾷς, καὶ καλεῖς ὀνείδη τῶν ἐρωτώντων, ὡς ἐμφανῆ τὴν κακίαν ἔχοντας, ὅμως δέδιας, μή τινας περισπάσωσιν ἀπὸ τῆς καταλήψεως· αὐτὸς δὲ τοσαῦτα βιβλία γράφων κατὰ τῆς Συνηθείας, οἷς, ὅ τι ἀνεῦρες, προσεθήκας, ὑπερβαλέσθαι φιλοτιμούμενος τὸν Ἀρκεσίλαον, οὐδένα τῶν ἐντυγχανόντων ἐπιταράξειν προσεδόκησας; οὐδὲ γὰρ ψιλοῖς χρῆται τοῖς κατὰ Συνηθείας ἐπιχειρήμασιν, ἀλλ' ὥσπερ ἐν δίκῃ μετὰ πάθους τινὸς συνεπιπάσχων, μωρολογεῖν τε πολλάκις λέγει καὶ κενοκοπεῖν· ἵνα τοίνυν μηδ' ἀντίφησιν ἀπολίπῃ τοῦ τὰ ἐναντία λέγειν, ἐν μὲν ταῖς φυσικαῖς Θέσεσι ταῦτα γέγραφεν· Ἔσται δὲ καὶ καταλαμβάνοντάς τι, πρὸς τὰ ἐναντία ἐπιχειρεῖν, τὴν ἐνοῦσαν συνηγορίαν ποιουμένους. ποτὲ δ' οὐδέτερον καταλαμβάνοντας, εἰς ἑκάτερον τὰ ἐναντία λέγειν. ἐν δὲ τῷ περὶ τῆς τοῦ Λόγου Χρή-

σεως εἰπών, ὡς οὐ δεῖ τῇ τοῦ λόγου δυνάμει πρὸς τὰ μὴ ἐπιβάλλοντα χρῆσθαι, καθάπερ οὐδὲ ὅπλοις, ταῦτ' ἐπείρηκε· Πρὸς μὲν γὰρ τὴν τῶν ἀληθῶν εὕρεσιν δεῖ χρῆσθαι αὐτῇ, καὶ πρὸς τὴν τούτων συγγένειαν, εἰς τἀναντία δ' οὐ, πολλῶν ποιούντων τοῦτο· πολλοὺς δὲ λέγων ἴσως τοὺς ἐπέχοντας. ἀλλ' ἐκεῖνοι μὲν οὐδέτερον καταλαμβάνοντες, εἰς ἑκάτερον ἐπιχειροῦσιν· ὡς εἴ τι καταληπτόν ἐστιν, οὕτως ἂν μόνως ἢ μάλιστα κατάληψιν ἑαυτῆς τὴν ἀλήθειαν παρέχουσαν. σὺ δ', ὁ κατηγορῶν ἐκείνων, αὐτός τε τἀναντία γράφων, οἷς καταλαμβάνεις περὶ τῆς Συνηθείας, ἑτέρους τε τοῦτο ποιεῖν μετὰ συνηγορίας προτρεπόμενος, ἐν ἀχρήστοις καὶ βλαβεροῖς ὁμολογεῖς τῇ τοῦ λόγου δυνάμει χρώμενος ὑπὸ φιλοτιμίας νεανιεύεσθαι.

XI. Τὸ κατόρθωμά, φασι, νόμου πρόσταγμα εἶναι· τὸ δ' ἁμάρτημα, νόμου ἀπαγόρευμα, διὸ τὸν νόμον πολλὰ τοῖς φαύλοις ἀπαγορεύειν, προστάττειν δὲ μηδέν· οὐ γὰρ δύνανται κατορθοῦν. καὶ τίς οὐκ οἶδεν, ὅτι τῷ μὴ δυναμένῳ κατορθοῦν ἀδύνατόν ἐστι μὴ ἁμαρτάνειν; αὐτὸν οὖν αὐτῷ μαχόμενον ποιοῦσι τὸν νόμον, προστάττοντα μέν, ἃ ποιεῖν ἀδυνατοῦσιν, ἀπαγορεύοντα δέ, ὧν ἀπέχεσθαι μὴ δύνανται· ὁ γὰρ μὴ δυνάμενος σωφρονεῖν ἄνθρωπος, οὐ δύναται μὴ ἀκολασταίνειν· καὶ ὁ μὴ δυνάμενος φρονεῖν, οὐ δύναται μὴ ἀφραίνειν. αὐτοί γε μὴν λέγουσι, τοὺς ἀπαγορεύοντας ἄλλο μὲν λέγειν, ἄλλο δ' ἀπαγορεύειν, ἄλλο δὲ προστάσσειν· ὁ γὰρ λέγων· Μὴ κλέψῃς· λέγει μὲν αὐτὸ

τοῦτο μὴ κλέψῃς, ἀπαγορεύει δὲ μὴ κλέπτειν· οὐδὲν οὖν ἀπαγορεύσει τοῖς φαύλοις ὁ νόμος, εἰ δὲ μὴ προστάξειέ τι. καὶ τὸν ἰατρὸν τῷ μαθητῇ προστάττειν, λέγουσι, τιμεῖν καὶ καῦσαι, κατὰ παράλειψιν τοῦ εὐκαίρως καὶ μετρίως· καὶ τὸν μουσικὸν λυρίσαι καὶ ᾄσαι, κατὰ παράλειψιν τοῦ ἐμμελῶς καὶ συμφώνως· διὸ τοὺς ταῦτα ποιήσαντας ἀτέχνως καὶ κακῶς κολάζουσιν· ὡς προσετάχθη γὰρ ὀρθῶς, οἱ δ' οὐκ ὀρθῶς ἐποίησαν. οὐκοῦν καὶ ὁ σοφὸς τῷ θεράποντι προστάττων εἰπεῖν τι καὶ πρᾶξαι, κἂν μὴ εὐκαίρως τοῦτο πράξῃ, μηδὲ ὡς δεῖ, κολάζων, δῆλός ἐστι κατόρθωμα προστάττων οὐ μέσον· εἰ δὲ μέσα προστάττουσιν οἱ σοφοὶ τοῖς φαύλοις, τί κωλύει καὶ τὰ τοῦ νόμου προστάγματα τοιαῦτα εἶναι; καὶ μὴν ἡ ὁρμὴ, κατά γ' αὐτὸν, τοῦ ἀνθρώπου λόγος ἐστὶ προστακτικὸς αὐτῷ τοῦ ποιεῖν· ὡς ἐν τῷ περὶ Νόμου γέγραφεν. οὐκοῦν καὶ ἡ ἀφορμὴ λόγος ἀπαγορευτικὸς, καὶ ἡ ἔκκλισις, καὶ εὔλογος ἔκκλισις. καὶ ἡ εὐλάβεια τοίνυν λόγος ἐστὶν ἀπαγορευτικὸς τῷ σοφῷ· τὸ γὰρ εὐλαβεῖσθαι, σοφῶν ἴδιον, οὐ φαύλων ἐστίν. εἰ μὲν οὖν ἕτερόν ἐστιν ὁ τοῦ σοφοῦ λόγος, καὶ ἕτερον ὁ νόμος, μαχόμενον τῷ νόμῳ λόγον οἱ σοφοὶ τὴν εὐλάβειαν ἔχουσιν· εἰ δ' οὐκ ἄλλο τι νόμος ἐστὶν, ἡ ὁ τοῦ σοφοῦ λόγος, εὕρηται νόμος ἀπαγορεύων τοῖς σοφοῖς ποιεῖν, ἃ εὐλαβοῦνται.

XII. Τοῖς φαύλοις οὐδὲν εἶναι χρήσιμον, ὁ Χρύσιππός φησιν, οὐδ' ἔχειν χρείαν τὸν φαῦλον οὐδενὸς οὐδὲ δεῖσθαι. ταῦτα δ' εἰπὼν ἐν τῷ πρώτῳ τῶν

σιως εἰπὼν, ὡς οὐ δεῖ τῇ τοῦ λόγου δυνάμει πρὸς τὰ μὴ ἐπιβάλλοντα χρῆσθαι, καθάπερ οὐδὲ ὅπλοις, ταῦτ' ἐπείρηκε· Πρὸς μὲν γὰρ τὴν τῶν ἀληθῶν εὕρεσιν δεῖ χρῆσθαι αὐτῇ, καὶ πρὸς τὴν τούτων συγγένειαν, εἰς τἀναντία δ' οὔ, πολλῶν ποιούντων τοῦτο· πολλοὺς δὲ λέγων ἴσως τοὺς ἐπέχοντας. ἀλλ' ἐκεῖνοι μὲν οὐδέτερον καταλαμβάνοντες, εἰς ἑκάτερον ἐπιχειροῦσιν· ὡς εἴ τι καταληπτόν ἐστιν, οὕτως ἂν μόνως ἢ μάλιστα κατάληψιν ἑαυτῆς τὴν ἀλήθειαν παρέχουσαν. σὺ δ', ὁ κατηγορῶν ἐκείνων, αὐτός τε τἀναντία γράφων, οἷς καταλαμβάνεις περὶ τῆς Συνηθείας, ἑτέρους τε τοῦτο ποιεῖν μετὰ συνηγορίας προτρεπόμενος, ἐν ἀχρήστοις καὶ βλαβεροῖς ὁμολογεῖς τῇ τοῦ λόγου δυνάμει χρώμενος ὑπὸ φιλοτιμίας νεανιεύεσθαι.

XI. Τὸ κατόρθωμά, φασι, νόμου πρόσταγμα εἶναι· τὸ δ' ἁμάρτημα, νόμου ἀπαγόρευμα, διὸ τὸν νόμον πολλὰ τοῖς φαύλοις ἀπαγορεύειν, προστάττειν δὲ μηδέν· οὐ γὰρ δύνανται κατορθοῦν. καὶ τίς οὐκ οἶδεν, ὅτι τῷ μὴ δυναμένῳ κατορθοῦν ἀδύνατόν ἐστι μὴ ἁμαρτάνειν; αὐτὸν οὖν αὐτῷ μαχόμενον ποιοῦσι τὸν νόμον, προστάττοντα μέν, ἃ ποιεῖν ἀδυνατοῦσιν, ἀπαγορεύοντα δὲ, ὧν ἀπέχεσθαι μὴ δύνανται· ὁ γὰρ μὴ δυνάμενος σωφρονεῖν ἄνθρωπος, οὐ δύναται μὴ ἀκολασταίνειν· καὶ ὁ μὴ δυνάμενος φρονεῖν, οὐ δύναται μὴ ἀφραίνειν. αὐτοί γε μὴν λέγουσι, τοὺς ἀπαγορεύοντας ἄλλο μὲν λέγειν, ἄλλο δ' ἀπαγορεύειν, ἄλλο δὲ προστάσσειν· ὁ γὰρ λέγων· Μὴ κλέψῃς· λέγει μὲν αὐτὸ

τοῦτο μὴ κλέψῃς, ἀπαγορεύει δὲ μὴ κλέπτειν· οὐδὲν οὖν ἀπαγορεύσει τοῖς φαύλοις ὁ νόμος, εἰ δὲ μὴ προστάξειέ τι. καὶ τὸν ἰατρὸν τῷ μαθητῇ προστάττειν, λέγουσι, τιμεῖν καὶ καῦσαι, κατὰ παράλειψιν τοῦ εὐκαίρως καὶ μετρίως· καὶ τὸν μουσικὸν λυρίσαι καὶ ᾆσαι, κατὰ παράλειψιν τοῦ ἐμμελῶς καὶ συμφώνως· διὸ τοὺς ταῦτα ποιήσαντας ἀτέχνως καὶ κακῶς κολάζουσιν· ὡς προσετάχθη γὰρ ὀρθῶς, οἱ δ' οὐκ ὀρθῶς ἐποίησαν. οὐκοῦν καὶ ὁ σοφὸς τῷ θεράποντι προστάττων εἰπεῖν τι καὶ πρᾶξαι, κἂν μὴ εὐκαίρως τοῦτο πράξῃ, μηδὲ ὡς δεῖ, κολάζων, δῆλός ἐστι κατόρθωμα προστάττων οὐ μέσον· εἰ δὲ μέσα προστάττουσιν οἱ σοφοὶ τοῖς φαύλοις, τί κωλύει καὶ τὰ τοῦ νόμου προστάγματα τοιαῦτα εἶναι; καὶ μὴν ἡ ὁρμὴ, κατά γ' αὐτόν, τοῦ ἀνθρώπου λόγος ἐστὶ προστακτικὸς αὐτῷ τοῦ ποιεῖν· ὡς ἐν τῷ περὶ Νόμου γέγραφεν. οὐκοῦν καὶ ἡ ἀφορμὴ λόγος ἀπαγορευτικὸς, καὶ ἡ ἔκκλισις, καὶ εὔλογος ἔκκλισις. καὶ ἡ εὐλάβεια τοίνυν λόγος τις ἀπαγορευτικὸς τῷ σοφῷ· τὸ γὰρ εὐλαβεῖσθαι, σοφῶν ἴδιον, οὐ φαύλων ἐστίν. εἰ μὲν οὖν ἕτερόν τίν ὁ τοῦ σοφοῦ λόγος, καὶ ἕτερον ὁ νόμος, μαμενον τῷ νόμῳ λόγον οἱ σοφοὶ τὴν εὐλάβειαν ουσιν· εἰ δ' οὐκ ἄλλο τι νόμος ἐστὶν, ἢ ὁ τοῦ ροῦ λόγος, εὕρηται νόμος ἀπαγορεύων τοῖς σοῖς ποιεῖν, ἃ εὐλαβοῦνται.

XII. Τοῖς φαύλοις οὐδὲν εἶναι χρήσιμον, ὁ Χρύπος φησιν, οὐδ' ἔχειν χρείαν τὸν φαῦλον οὐδεοὐδὲ δεῖσθαι. ταῦτα δ' εἰπὼν ἐν τῷ πρώτῳ τῶν

ἀπ' ἀρετῆς, οἷον δυσθανατώσης γραὸς ἀποσχέσθαι, καὶ καρτερῆσαι μυίας δῆγμόν. τίνα οὖν οὗτος ἄλλον κατήγορον περιμένει τῶν ἑαυτοῦ δογμάτων; εἰ γὰρ ψυχρός ἐστιν ὁ ταῦτ' ἐπαινῶν, πολλῷ δή που ψυχρότερος ὁ τούτων ἕκαστον ἂν κατόρθωμα καὶ μέγα καὶ μέγιστον εἶναι τιθέμενος· εἰ γὰρ ἴσον ἐστὶ τὸ ἀνδρείως δῆγμα μυίας ἐνεγκεῖν, καὶ τὸ σωφρόνως ἀποσχέσθαι τῆς γραός, οὐδὲν (οἶμαι) διαφέρει τὸν σπουδαῖον ἀπὸ τούτων ἢ ἀπ' ἐκείνων ἐπαινεῖσθαι. ἔτι τοίνυν ἐν τῷ δευτέρῳ περὶ φιλίας, διδάσκων, ὡς οὐκ ἐπὶ πᾶσι δεῖ τοῖς ἁμαρτήμασι τὰς φιλίας διαλύεσθαι, ταύταις κέχρηται ταῖς λέξεσι· Προσήκει γὰρ τὰ μὲν ὅλως παραπέμπεσθαι, τὰ δὲ μικρᾶς ἐπιστροφῆς τυγχάνειν, τὰ δὲ καὶ ἐπὶ μεῖζον, τὰ δὲ ὅλως διαλύσεως ἀξιοῦσθαι. ὃ δὲ τούτου μεῖζόν ἐστιν, ἐν τῷ αὐτῷ φησιν, ὅτι τοῖς μὲν ἐπὶ πλεῖον, τοῖς δ' ἐπ' ἔλαττον συμβαλοῦμεν· ὥστε τοὺς μὲν μᾶλλον, τοὺς δὲ ἧττον φίλους εἶναι· ἐπὶ πολὺ δὲ τῆς τοιαύτης παραλλαγῆς γενομένης, οἱ μὲν τοσαύτης· οἱ δὲ τοσαύτης γίνονται φιλίας ἄξιοι· καὶ οἱ μὲν ἐπὶ τοσοῦτον πίστεως καὶ τῶν ὁμοίων καταξιωθήσονται. τί γὰρ ἄλλο πεποίηκεν ἐν τούτοις, ἢ καὶ τούτων μεγάλας διαφορὰς ἀπολέλοιπε; καὶ μὴν ἐν τῷ περὶ Καλοῦ, πρὸς ἀπόδειξιν τοῦ μόνον τὸ καλὸν ἀγαθὸν εἶναι, τοιούτοις λόγοις κέχρηται· Τὸ ἀγαθὸν, αἱρετόν· τὸ δ' αἱρετὸν, ἀρεστόν· τὸ δ' ἀρεστὸν, ἐπαινετόν· τὸ δ' ἐπαινετὸν, καλόν· καὶ πάλιν· Τὸ ἀγαθὸν, χαρτόν· τὸ δὲ χαρτὸν, σεμνόν· τὸ δὲ σεμνὸν, καλόν. οὗτοι δ' οἱ λόγοι μάχονται πρὸς ἐκεῖνον.

γὰρ πᾶν ἀγαθὸν ἐπαινετόν ἐστι, καὶ τὸ σωφρο-
ἀπέχεσθαι τῆς γραὸς ἐπαινετὸν ἂν εἴη· πᾶν ἀ-
ὸν, οὔτε σεμνὸν, οὔτε χαρτὸν, ἀλλ' οἴχεται ὁ
ος. ἴυως γὰρ οἷόν τε τὸ μὲν ἄλλους ἀπὸ τῶν τοι-
ων ἐπαινεῖν, ψυχρὸν εἶναι· τὸ δ' αὐτὸν ἐπὶ τοῖς
ὐτοις χαίρειν καὶ σεμνύνεσθαι, μὴ καταγέ-
τον.

XIV. *Πολλαχοῦ μὲν τοιοῦτός ἐστιν· ἐν δὲ ταῖς*
ς ἑτέρους ἀντιλογίαις, ἥκιστα φροντίζει τοῦ μη-
εἰπεῖν ἐναντίον ἑαυτῷ καὶ διάφωνον. ἐν γοῦν τοῖς
ὶ τοῦ *Προτρέπεσθαι*, τοῦ *Πλάτωνος ἐπιλαμβα-*
ενος λέγοντος, ὅτι τῷ μηδὲ μαθόντι μηδ' ἐπι-
μένῳ ζῆν, λυσιτελεῖ μὴ ζῆν, ταῦτ' εἴρηκε κατὰ
ν· Ὁ γὰρ τοιοῦτος λόγος καὶ ἑαυτῷ μάχεται,
ἥκιστά ἐστι προτρεπτικός. πρῶτον γὰρ παραδει-
ων, ὅτι κράτιστον ἡμῖν ἐστι τὸ μὴ ζῆν, καὶ τρό-
τινὰ ἀποθνήσκειν ἀξιῶν, πρὸς ἕτερά τινα μᾶλ-
ἡμᾶς προτρέψεται ἢ τὸ φιλοσοφεῖν· οὐ γὰρ
μὴ ζῶντα φιλοσοφεῖν, οὐδὲ μὴν πολὺν χρόνον
ήσαντα κακῶς καὶ ἀπείρως, φρόνιμον γενέσθαι·
προελθὼν δέ φησιν, ὅτι καὶ τοῖς φαύλοις καθή-
μένειν ἐν τῷ ζῆν· εἶτα κατὰ λέξιν· Πρῶτον γὰρ
ρετὴ ψιλῶς οὐδέν ἐστι πρὸς τὸ ζῆν ἡμᾶς, οὕτω
ὐδ' ἡ κακία οὐδέν ἐστι πρὸς τὸ δεῖν ἡμᾶς ἀπιέ-
καὶ μὴν οὐχ ἕτερα δεῖ βιβλία διειλῆσαι, τοῦ
ισίππου τὴν πρὸς αὐτὸν ἐνδεικνυμένους μάχην·
ἐν αὐτοῖς τούτοις ποτὲ μὲν τοῦ Ἀντισθένους
ινῶν προφέρεται τὸ *Δεῖν κτᾶσθαι νοῦν ἢ βρό-*
· καὶ τοῦ *Τυρταίου*, τὸ

Πρὶν ἀρετῆς πελάσαι τέρμασιν, ἢ θανάτου·
καίτοι τί ταῦτα βούλεται δηλοῦν ἄλλο, πλὴν ὅτι τὸ μὴ ζῆν λυσιτελέστερόν ἐστι τοῦ ζῆν τοῖς κακοῖς καὶ ἀνοήτοις; ποτὲ δὲ τὸν Θέογνιν ἐπανορθούμενος· Οὐκ ἔδει, φησὶν, εἰπεῖν·

Χρὴ πενίην φεύγοντα·
μᾶλλον δέ·

Χρὴ κακίαν φεύγοντα, καὶ ἐς βαθυκήτεα πόντον
Ῥιπτεῖν, καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων.
τί οὖν ἄλλο δόξειεν ἂν ποιεῖν, ἢ ταυτὰ πράγματα καὶ δόγματα παρεγγράφειν αὐτὸς, ἑτέρων δὲ γραφόντων ἐξαλείφειν; Πλάτωνι μὲν ἐγκαλῶν, ὅτι τοῦ κακῶς ζῆν καὶ ἀμαθῶς τὸ μὴ ζῆν ἀποδείκνυσι λυσιτελέστερον, Θεόγνιδι δὲ συμβουλεύων κατακρημνίζειν καὶ καταποντίζειν ἑαυτὸν ὑπὲρ τοῦ φυγεῖν τὴν κακίαν. Ἀντισθένη μὲν γὰρ ἐπαινῶν, ὅτι τοὺς μὴ νοῦν ἔχοντας εἰς βρόχον συνήλαυνεν, αὐτὸς ἔψεγεν, εἰπόντα, μηδὲν εἶναι τὴν κακίαν πρὸς τὸ ἐκ τοῦ ζῆν ἡμᾶς ἀπαλλάττειν.

XV. *Ἐν δὲ τοῖς πρὸς αὐτὸν Πλάτωνα περὶ Δικαιοσύνης εὐθὺς ἐξ ἀρχῆς ἐνάλλεται τῷ περὶ θεῶν λόγῳ, καὶ φησὶν, οὔτ' ὀρθῶς ἀποτρέπειν τῷ ἀπὸ τῶν θεῶν φόβῳ τῆς ἀδικίας τὸν Κέφαλον, εὐδιάβλητόν τ' εἶναι, καὶ πρὸς τοὐναντίον ἐξάγοντα πολλοὺς περισπασμοὺς καὶ πιθανότητας ἀντιπιπτούσας τὸν περὶ τῶν ὑπὸ τοῦ θεοῦ κολάσεων λόγον, ὡς οὐδὲν διαφέροντα τῆς Ἀκκοῦς καὶ τῆς Ἀλφιτοῦς, δι' ὧν τὰ παιδάρια τοῦ κακοσχολεῖν αἱ γυναῖκες ἀνείργουσιν. οὕτω δὲ δυσώρας τὰ τοῦ Πλάτωνος ἐπ-*

ιν ἐν ἄλλοις καὶ προφέρεται τὰ τοῦ Εὐριπίδου τὸ πολλάκις·

— Ἀλλ' ἔστιν εἴ τις ἐγγελᾷ λόγῳ,
Ζεύς, καὶ θεοὶ βρότεια λυσσοντες πάθη·

ὁμοίως ἐν τῷ πρώτῳ περὶ Δικαιοσύνης, τὰ Ἡσιόδου ταυτὶ προενεγκάμενος·

Γοῖσιν δ' οὐρανόθεν μὲγ' ἐπήλασε πῆμα Κρονίων,
Λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί·

τὰ, φησι, τοὺς θεοὺς ποιεῖν, ὅπως τῶν πονηκολαζομένων, οἱ λοιποὶ παραδείγμασι τούτοις μενοι, ἧττον ἐπιχειρῶσι τοιοῦτόν τι ποιεῖν. πάἐν μὲν τοῖς περὶ Δικαιοσύνης ὑπειπὼν, ὅτι τοὺς αθὸν, ἀλλὰ μὴ τέλος τιθεμένους τὴν ἡδονὴν, ἰχεται σώζειν καὶ τὴν δικαιοσύνην, θεὶς τοῦτο, ὰ λέξιν εἰρηκε· Τάχα γὰρ ἀγαθοῦ αὐτῆς ἀποομένης, τέλους δὲ μὴ, τῶν δὲ δι' αὐτῶν αἱρετῶν ος καὶ τοῦ καλοῦ, σώζοιμεν ἂν τὴν δικαιοσύνην, ;ον ἀγαθὸν ἀπολιπόντες τὸ καλὸν καὶ τὸ δίκαιον ἡδονῆς. ταῦτα μὲν ἐν τούτοις περὶ τῆς ἡδονῆς. ὲ τοῖς περὶ Πλάτωνα, κατηγορῶν αὐτοῦ δοκοῦνἀγαθὸν ἀπολιπεῖν τὴν ὑγείαν, οὐ μόνον τὴν δισύνην, φησὶν, ἀλλὰ καὶ τὴν μεγαλοψυχίαν ἀναιθαι, καὶ τὴν σωφροσύνην, καὶ τὰς ἄλλας ἀρεἀπάσας, ἂν τὴν ἡδονὴν, ἢ τὴν ὑγείαν, ἤ τι τῶν ων, ὃ μὴ καλόν ἐστιν, ἀγαθὸν ἀπολείπωμεν. ἃ οὖν ῥητέον ὑπὲρ Πλάτωνος, ἐν ἄλλοις γέγραι πρὸς αὐτόν. ἐνταῦθα δ' ἡ μάχη καταφανὴς ἐν, ὅπου μέν, ἂν μετὰ τοῦ καλοῦ τις ὑποθῆται τὴν ἡδονὴν ἀγαθὸν εἶναι, σώζεσθαι δικαιοσύνην

λέγοντος· ὅπου δὲ πάλιν τοὺς μὴ μόνον τὸ
ἀπολιπόντας, αἰτιωμένου τὰς ἀρετὰς ἁπάσας
ρεῖν. ἵνα δὲ μηδ' ἀπολογίαν ὑπολίπῃ τοῖς ἐνο
μασιν, Ἀριστοτέλει περὶ Δικαιοσύνης ἀντιγρ
οὖ, φησιν, αὐτὸν ὀρθῶς λέγειν, ὅτι, τῆς ἡδονῆ
σης τέλους ἀναιρεῖται μὲν ἡ δικαιοσύνη, συναν
ται δὲ τῇ δικαιοσύνῃ καὶ τῶν ἄλλων ἀρετῶν ἕκ
τὴν μὲν γὰρ δικαιοσύνην ὑπ' αὐτῶν ὡς ἀληθῶς
ρεῖσθαι, τὰς δ' ἄλλας ἀρετὰς οὐδὲν κωλύει
γειν, εἰ καὶ μὴ δι' αὐτὰς αἱρετὰς, ἀλλ' ἀγαθὰς
καὶ ἀρετὰς ἐσομένας· εἶτα ἑκάστην ἐξ ὀνόματος
αγορεύει. βέλτιον δὲ τὰς ἐκείνου λέξεις ἀναλ
Τῆς γὰρ ἡδονῆς, φησὶν, ἐμφαινομένης τέλους
τὸν τοιοῦτον λόγον, τὸ μὲν τοιοῦτο πᾶν μοι
οὐκ ἐμπεριλαμβάνεσθαι· διὸ ῥητέον, μήτε τῶ
τῶν τινα δι' αὐτὴν αἱρετὴν εἶναι, μήτε τῶν
φευκτὴν, ἀλλὰ πάντα ταῦτα δεῖν ἀναφέρεσθα
τὸν ὑποκείμενον σκοπόν· οὐδὲν μέντοι κωλύσ
αὐτοὺς, τὴν ἀνδρείαν μὲν καὶ τὴν φρόνησιν κ
ἐγκράτειαν καὶ τὴν καρτερίαν καὶ τὰς ὁμοία
ταις ἀρετὰς, εἶναι τῶν ἀγαθῶν, τὰς δ' ἐναντί
πάρχειν φευκτάς. τίς οὖν τούτου πρὸς λόγου
μώτερος γέγονεν, ὃς δυεῖν τῶν ἀρίστων φιλο
ἐγκέκληκε τῷ μὲν, ὅτι πᾶσαν ἀρετὴν ἀναιρε
μόνον τὸ καλὸν ἀγαθὸν ἀπολιπών· τῷ δ', ὅτ
ἡδονῆς τέλους οὔσης, οὐ πᾶσαν ἀρετὴν ἄνευ
καιοσύνης σώζεσθαι νομίζει; θαυμαστὴ γὰρ
σία, περὶ τῶν αὐτῶν πραγμάτων διαλεγόμεν
τίθησιν αὐτὸς ἐγκαλῶν Ἀριστοτέλει, ταῦτ' ἀι

ἄλιν Πλάτωνος κατηγοροῦντα. καὶ μὴν ἐν ταῖς πε-
ὶ Δικαιοσύνης Ἀποδείξεσι λέγει ῥητῶς, ὅτι πᾶν κα-
ὸρθωμα, καὶ εὐνόμημα καὶ δικαιοπράγημά ἐστι· τὸ
ί γε κατ' ἐγκράτειαν, ἢ καρτερίαν, ἢ φρόνησιν,
ἀνδρείαν, πραττόμενον, κατόρθωμά ἐστιν· ὥστε
κὶ δικαιοπράγημα. πῶς οὖν, οἷς ἀπολείπει φρό-
ησιν καὶ ἀνδρείαν καὶ ἐγκράτειαν, οὐκ ἀπολείπει
ικαιοσύνην, εὐθὺς αὐτῶν ὅσα κατορθοῦσιν ἐν ταῖς
ρημέναις ἀρεταῖς, καὶ δικαιοπραγούντων;

XVI. Τοῦ δὲ Πλάτωνος εἰπόντος τὴν ἀδικίαν,
ς διαφθορὰ ψυχῆς οὖσα καὶ στάσις, οὐδ' ἐν αὐ-
οῖς τοῖς ἔχουσιν ἀποβάλλει τὴν δύναμιν, ἀλλ' αὐ-
ὸν ἑαυτῷ συμβάλλει καὶ κρούει καὶ ταράττει τὸν
ονηρόν· ἐγκαλῶν Χρύσιππος, ἀτόπως, φησὶ, λέγε-
θαι τὸ ἀδικεῖν ἑαυτόν· εἶναι γὰρ πρός ἕτερον, οὐ
ρὸς ἑαυτόν, τὴν ἀδικίαν· ἐπιλαθόμενος γὰρ τού-
ων, αὖθις ἐν ταῖς περὶ Δικαιοσύνης Ἀποδείξεσιν,
δικεῖσθαι, φησιν, ὑφ' ἑαυτοῦ τὸν ἀδικοῦντα, καὶ
ὐτὸν ἀδικεῖν, ὅταν ἄλλον ἀδικῇ, γενόμενον ἑαυτῷ
οῦ παρανομεῖν αἴτιον, καὶ βλάπτοντα παρ' ἀξίαν
αυτόν. ἐν μὲν τοῖς πρὸς Πλάτωνα ταῦτ' εἴρηκε περὶ
οῦ τὴν ἀδικίαν λέγεσθαι μὴ πρὸς ἑαυτόν, ἀλλὰ
ρὸς ἕτερον· Οἱ γάρ κατ' ἰδίαν ἄδικοι συνεστήκα-
ιν ἐκ πλειόνων τοιούτων, τἀναντία λεγόντων, καὶ
λλως τῆς ἀδικίας λαμβανομένης, ὡς ἂν ἐν πλείοσι
ρὸς ἑαυτοὺς οὕτως ἔχουσιν· εἰς δὲ τὸν ἕνα μηδε-
ὸς διατείνοντος τοιούτου, καθ' ὅσον δὲ πρὸς τοὺς
ηλίον ἔχει οὕτως. ἐν δὲ ταῖς Ἀποδείξεσι τοιούτους
ρώτηκε λόγους περὶ τοῦ τὸν ἄδικον καὶ ἑαυτὸν ἀδι-



κεῖν. Παραίτιον γενέσθαι παρανομήματος, ἐπειδ
ρεύει ὁ νόμος, καὶ τὸ ἀδικεῖν ἔσται παρανόμημα·
τοίνυν παραίτιος γενόμενος αὐτῷ τοῦ ἀδικεῖν, π
ρανομεῖ εἰς ἑαυτόν· ὁ δὲ παρανομῶν εἰς ἕνα, π
ἀδικεῖ ἐκεῖνον· ὃν ἄρα καὶ ὁντιναοῦν ἀδικῶν, π
ἑαυτὸν ἀδικεῖ. πάλιν· τὸ ἁμάρτημα τῶν βλαμμέ
ἐστὶ, καὶ πᾶς ἁμαρτάνων παρ' ἑαυτὸν ἁμαρτάν
πᾶς ἄρα ὁ ἁμαρτάνων βλάπτει ἑαυτὸν παρὰ τὴν
ξίαν· εἰ δὲ τοῦτο, καὶ ἀδικεῖ ἑαυτόν. ἔτι καὶ
ιως· Ὁ βλαπτόμενος ὑφ' ἑτέρου, ἑαυτὸν βλάπ
καὶ παρὰ τὴν ἀξίαν ἑαυτὸν βλάπτει· τοῦτο δ' ἦν
ἀδικεῖν· ὁ ἄρα ἀδικούμενος καὶ ὑφ' ὁτουοῦν
ἑαυτὸν ἀδικεῖ.

XVII. Τὸν περὶ ἀγαθῶν καὶ κακῶν λόγον,
αὐτὸς εἰσάγει καὶ δοκιμάζει, συμφωνότατον εἶν
φησι, τῷ βίῳ, καὶ μάλιστα τῶν ἐμφύτων ἅπτεσ
προλήψεων. ταυτὶ γὰρ ἐν τῷ τρίτῳ Προτρεπτι
εἴρηκεν. ἐν δὲ τῷ πρώτῳ τοῦτον τὸν λόγον, φη
ἀπὸ τῶν ἄλλων ἁπάντων ἀφέλκειν τὸν ἄνθρωπον
οὐδὲν ὄντων πρὸς ἡμᾶς, οὐδὲ συνεργούντων π
εὐδαιμονίαν οὐδέν. ὅρα τοίνυν, πῶς αὐτῷ σύμφω
ἐστι, τὸν ἀφέλκοντα τοῦ ζῆν, καὶ τῆς ὑγείας, καὶ
ἀπονίας, καὶ τῆς τῶν αἰσθητηρίων ὁλοκληρίας,
μηδὲν εἶναι ταῦτα φάσκοντα πρὸς ἡμᾶς, ἃ π
τῶν θεῶν αἰτούμεθα, μάλιστα συμφωνεῖν τῷ
καὶ ταῖς κοιναῖς προλήψεσιν ἀποφαινόμενος.
ἵνα μὴ ἄρνησις ᾖ τοῦ ταὐναντία λέγειν, ἐν τῷ τρ
περὶ Δικαιοσύνης ταῦτ' εἴρηκε· Διὸ καὶ διὰ
ὑπερβολὴν τοῦ τε μεγέθους καὶ τοῦ κάλλους, π

σμασι δοκοῦμεν ὅμοια λέγειν, καὶ οὐ κατὰ τὸν ἄνθρωπον, καὶ τὴν ἀνθρωπίνην φύσιν. ἔστιν οὖν, ὅπως ἄν τις ἐξομολογήσαιτο σαφέστερον τἀναντία λέγειν αὐτὸς πρὸς ἑαυτὸν, ἢ οὗτος; ἃ δι' ὑπερβολὴν φησι πλάσματα δοκεῖν εἶναι καὶ ὑπὲρ τὸν ἄνθρωπον, καὶ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν λέγεσθαι, ταῦτα συμφωνεῖν τῷ βίῳ φάσκων, καὶ μάλιστα τῶν ἐμφύτων ἅπτεσθαι προλήψεων.

XVIII. Οὐσίαν κακοδαιμονίας ἀποφαίνει τὴν κακίαν ἐν παντὶ βιβλίῳ φυσικῷ καὶ ἠθικῷ, γράφων καὶ διατεινόμενος, ὅτι τὸ κατὰ κακίαν ζῆν, τῷ κακοδαιμόνως ζῆν ταυτόν ἐστιν· ἐν δὲ τῷ τρίτῳ περὶ Φύσεως ὑπεπῶν, ὅτι λυσιτελεῖ ζῆν ἄφρονα μᾶλλον, ἢ μὴ βιοῦν, κἂν μηδέποτε μέλλῃ φρονήσειν, ἐπιλέγει· Τοιαῦτα γὰρ ταγαθά ἐστι τοῖς ἀνθρώποις, ὥστε τρόπον τινὰ τὰ κακὰ τῶν ἀνὰ μέσον προτερεῖν. ὅτι μὲν οὖν εἰρηκὼς ἐν ἑτέροις, μηδὲν εἶναι τοῖς ἄφροσι λυσιτελὲς, ἐνταῦθά φησι λυσιτελεῖν τὸ ἀφρόνως ζῆν, ἀφίημι. τῶν δ' ἀνὰ μέσον λεγομένων παρ' αὐτοῖς μήτε κακῶν ὄντων μήτ' ἀγαθῶν, τὰ κακὰ προτερεῖν λέγων, οὐδὲν ἄλλο λέγει, πλὴν τῶν μὴ κακῶν τὰ κακὰ προτερεῖν, καὶ τὸ κακοδαιμονεῖν λυσιτελέστερον εἶναι τοῦ μὴ κακοδαιμονεῖν· καὶ τοῦ κακοδαιμονεῖν ἀλυσιτελέστερον ἡγεῖται τὸ μὴ κακοδαιμονεῖν· εἰ δ' ἀλυσιτελέστερον, καὶ βλαβερώτερον· τὸ μὴ κακοδαιμονεῖν ἄρα βλαβερώτερον τοῦ κακοδαιμονεῖν. βουλόμενος οὖν ταύτην ἐπιλεαίνειν τὴν ἀτοπίαν, ἐπιλέγει περὶ τῶν Κακῶν· Ἔστι δ' οὐ ταῦτα προτεροῦντα, ἀλλ' ὁ λόγος, μεθ' οὗ βιοῦν ἐπι-

βάλλει μᾶλλον, καὶ εἰ ἄφρονες ἐσόμεθα. πρῶτον μὲν οὖν τὰ κακὰ κακίαν λέγει, καὶ τὰ μετέχοντα κακίας, ἄλλο δ' οὐθέν· ἡ δὲ κακία, λογικόν ἐστι, μᾶλλον δὲ λόγος ἡμαρτημένος· οὐδὲν οὖν ἕτερόν ἐστι τὸ μετὰ λόγου βιοῦν ἄφρονας ὄντας, ἢ τὸ μετὰ κακίας βιοῦν· ἔπειτα τὸ βιοῦν ἄφρονας ὄντας, βιοῦν ἐστι κακοδαίμονας ὄντας. πρὸς τί οὖν προτερεῖ τοῦτο τῶν ἀνὰ μέσον; οὐ γὰρ πρός γε τὸ εὐδαιμονεῖν φησι προτερεῖν τὸ κακοδαιμονεῖν. ἀλλ' οὐδὲ ὅλως, φασὶν, οἴεται δεῖν Χρύσιππος, οὔτε μονὴν ἐν τῷ βίῳ τοῖς ἀγαθοῖς, οὔτ' ἐξαγωγὴν τοῖς κακοῖς παραμετρεῖν, ἀλλὰ τοῖς μέσοις κατὰ φύσιν· διὸ καὶ τοῖς εὐδαιμονοῦσι γίνεται ποτὲ καθῆκον ἐξάγειν ἑαυτοὺς, καὶ μένειν αὖθις ἐν τῷ ζῆν τοῖς κακοδαιμονοῦσιν. εἶτα τί τούτου μεῖζόν ἐστιν ὑπεναντίωμα πρὸς αἵρεσιν καὶ φυγὴν, εἰ τοῖς ἐπ' ἄκρον εὐδαιμονοῦσιν ἀπουσία τῶν ἀδιαφόρων, ἀφίστασθαι τῶν ἀγαθῶν παρόντων καθήκει; καίτοι τῶν ἀδιαφόρων οὐθὲν αἱρετὸν, οὐδὲ φευκτὸν, ἀλλὰ μόνον ἀγαθὸν τὸ αἱρετὸν, καὶ μόνον φευκτὸν ἡγοῦνται τὸ κακόν. ὥστε συμβαίνει κατ' αὐτοὺς μὴ πρὸς τὰ αἱρετὰ, μηδὲ πρὸς τὰ φευκτὰ τοὺς τῶν πράξεων τίθεσθαι λογισμοὺς, ἀλλ' ἑτέρων στοχαζομένους, ἃ μήτε φεύγουσι, μήτε αἱροῦνται, πρὸς ταῦτα καὶ ζῆν καὶ ἀποθνήσκειν.

XIX. *Τἀγαθὰ πρὸς τὰ κακὰ τὴν πᾶσαν ἔχειν διαφορὰν ὁμολογεῖ Χρύσιππος· καὶ ἀναγκαῖόν ἐστιν, εἰ τὰ μὲν ἐσχάτως ποιεῖ κακοδαίμονας εὐθὺς, οἷς ἂν παρῇ, τὰ δ' ἐπ' ἄκρον εὐδαίμονας. αἰσθητὰ δ' εἰ-*

ναι τἀγαθὰ καὶ τὰ κακὰ, φησὶν, ἐν τῷ προτέρῳ περὶ Τέλους, ταῦτα γράφων· Ὅτι μὲν γὰρ αἰσθητά ἐστι τἀγαθὰ καὶ τὰ κακὰ, καὶ τούτοις ἐκποιεῖ λέγειν· οὐ γὰρ μόνον ὄντα πάθη ἐστὶν αἰσθητὰ σὺν τοῖς εἴδεσιν, οἷον λύπη καὶ φόβος, καὶ τὰ παραπλήσια, ἀλλὰ καὶ κλοπῆς καὶ μοιχείας καὶ τῶν ὁμοίων ἐστὶν αἰσθέσθαι· καὶ γὰρ ὅλον ἄφροσύνης καὶ δειλίας καὶ ἄλλων οὐκ ὀλίγων κακιῶν· οὐδὲ μόνον χαρᾶς, καὶ εὐεργεσιῶν, καὶ ἄλλων πολλῶν κατορθώσεων, ἀλλὰ φρονήσεως καὶ ἀνδρείας, καὶ τῶν λοιπῶν ἀρετῶν· τούτων τὴν μὲν ἄλλην ἀτοπίαν ἀφῶμεν· ὅτι δὲ μάχεται τοῖς περὶ τὸν διαλελεγθότα σοφὸν, τίς οὐκ ἂν ὁμολογήσειεν; αἰσθητοῦ γὰρ ὄντος τοῦ ἀγαθοῦ, καὶ μεγάλην πρὸς τὸ κακὸν διαφορὰν ἔχοντος, τὸν ἐκ φαύλου γινόμενον σπουδαῖον ἀγνοεῖν τοῦτο, καὶ τῆς ἀρετῆς μὴ αἰσθάνεσθαι παρούσης, ἀλλ' οἴεσθαι, ἣν κακίαν αὐτῷ παρεῖναι, πῶς οὐκ ἔστιν ἀτοπώτατον; ἢ γὰρ οὐδεὶς ἀγνοεῖν ἢ ἀπιστεῖν δύναται τὰς ῥητὰς ἔχων ἁπάσας, ἢ μικρά τις ἐστὶν καὶ παντάπασι δυσθεώρητος ἡ διαφορὰ τῆς ἀρετῆς πρὸς τὴν κακίαν, καὶ τῆς εὐδαιμονίας πρὸς τὴν κακοδαιμονίαν, καὶ τοῦ καλλίστου βίου πρὸς τὸν αἴσχιστον, ταῦτά τις ἀντ' ἐκείνων κτησάμενος ἑαυτὸν λέληθε.

XX. *Μία σύνταξις ἡ περὶ Βίων, τέτταρα βιοὺς τούτων ἐν τῷ τετάρτῳ λέγει, τὸν σοφὸν ἀπράγμονά τε εἶναι καὶ ἰδιοπράγμονα, καὶ τὰ αὐτοῦ πράττειν· ἔστι δὲ ἡ λέξις αὕτη· Οἶμαι γὰρ ἔγωγε, φρόνιμον καὶ ἀπράγμονα εἶναι καὶ ὀλιγοπράγμονα, καὶ τὰ αὑτοῦ πράττειν, ὁμοίως τῆς τε αὐ-*

βάλλει μᾶλλον, καὶ εἰ ἄφρονες ἐσόμεθα. πρῶτον μὲν οὖν τὰ κακὰ κακίαν λέγει, καὶ τὰ μετέχοντα κακίας, ἄλλο δ' οὐθέν· ἡ δὲ κακία, λογικόν ἐστι, μᾶλλον δὲ λόγος ἡμαρτημένος· οὐδὲν οὖν ἕτερόν ἐστι τὸ μετὰ λόγου βιοῦν ἄφρονας ὄντας, ἢ τὸ μετὰ κακίας βιοῦν· ἔπειτα τὸ βιοῦν ἄφρονας ὄντας, βιοῦν ἐστι κακοδαίμονας ὄντας. πρὸς τί οὖν προτρεῖ τοῦτο τῶν ἀνὰ μέσον; οὐ γὰρ πρός γε τὸ εὐδαιμονεῖν φησι προτρεῖν τὸ κακοδαιμονεῖν. ἀλλ' οὐδὲ ὅλως, φασὶν, οἴεται δεῖν Χρύσιππος, οὔτε μονὴν ἐν τῷ βίῳ τοῖς ἀγαθοῖς, οὔτ' ἐξαγωγὴν τοῖς κακοῖς παραμετρεῖν, ἀλλὰ τοῖς μέσοις κατὰ φύσιν· διὸ καὶ τοῖς εὐδαιμονοῦσι γίνεται ποτὲ καθῆκον ἐξάγειν ἑαυτούς, καὶ μένειν αὖθις ἐν τῷ ζῆν τοῖς κακοδαιμονοῦσιν. εἶτα τί τούτου μεῖζόν ἐστιν ὑπεναντίωμα πρὸς αἵρεσιν καὶ φυγὴν, εἰ τοῖς ἐπ' ἄκρον εὐδαιμονοῦσιν ἀπουσία τῶν ἀδιαφόρων, ἀφίστασθαι τῶν ἀγαθῶν παρόντων καθήκει; καίτοι τῶν ἀδιαφόρων οὐθὲν αἱρετὸν, οὐδὲ φευκτὸν, ἀλλὰ μόνον ἀγαθὸν τὸ αἱρετὸν, καὶ μόνον φευκτὸν ἡγοῦνται τὸ κακόν. ὥστε συμβαίνει κατ' αὐτοὺς μὴ πρὸς τὰ αἱρετὰ, μηδὲ πρὸς τὰ φευκτὰ τοὺς τῶν πράξεων τίθεσθαι λογισμούς, ἀλλ' ἑτέρων στοχαζομένους, ἃ μήτε φεύγουσι, μήτε αἱροῦνται, πρὸς ταῦτα καὶ ζῆν καὶ ἀποθνήσκειν.

XIX. Τἀγαθὰ πρὸς τὶ κακὰ τὴν πᾶσαν ἔχειν διαφορὰν ὁμολογεῖ Χρύσιππος· καὶ ἀναγκαῖόν ἐστιν, εἰ τὰ μὲν ἐσχάτως ποιεῖ κακοδαίμονας εὐθὺς, οἷς ἂν παρῇ, τὰ δ' ἐπ' ἄκρον εὐδαίμονας. αἰσθητὰ δ' εἶ-

ι ταγαθὰ καὶ τὰ κακὰ, φησὶν, ἐν τῷ προτέρῳ περὶ
λους, ταῦτα γράφων· Ὅτι μὲν γὰρ αἰσθητά ἐστι
ναθὰ καὶ τὰ κακὰ, καὶ τούτοις ἐκποιεῖ λέγειν· οὐ
ῳ μόνον ὄντα πάθη ἐστὶν αἰσθητὰ σὺν τοῖς εἴδε-
, οἷον λύπη καὶ φόβος, καὶ τὰ παραπλήσια, ἀλ-
καὶ κλοπῆς καὶ μοιχείας καὶ τῶν ὁμοίων ἐστὶν αἰ-
έσθαι· καὶ γὰρ ὅλον ἀφροσύνης καὶ δειλίας καὶ
λων οὐκ ὀλίγων κακιῶν· οὐδὲ μόνον χαρᾶς, καὶ
ργειῶν, καὶ ἄλλων πολλῶν κατορθώσεων, ἀλλὰ
ονήσεως καὶ ἀνδρείας, καὶ τῶν λοιπῶν ἀρετῶν·
ύτων τὴν μὲν ἄλλην ἀτοπίαν ἀφῶμεν· ὅτι δὲ μά-
αι τοῖς περὶ τὸν διαλεληθότα σοφὸν, τίς οὐκ ἂν
ολογήσειεν; αἰσθητοῦ γὰρ ὄντος τοῦ ἀγαθοῦ,
μεγάλην πρὸς τὸ κακὸν διαφορὰν ἔχοντος, τὸν
φαύλου γινόμενον σπουδαῖον ἀγνοεῖν τοῦτο, καὶ
ἀρετῆς μὴ αἰσθάνεσθαι παρούσης, ἀλλ' οἴεσθαι,
κακίαν αὐτῷ παρεῖναι, πῶς οὐκ ἔστιν ἀτοπώτα-
; ἢ γὰρ οὐδεὶς ἀγνοεῖν ἢ ἀπιστεῖν δύναται τὰς
τὰς ἔχων ἁπάσας, ἢ μικρά τις ἐστὶν καὶ παντά-
σι δυσθεώρητος ἡ διαφορὰ τῆς ἀρετῆς πρὸς τὴν
κίαν, καὶ τῆς εὐδαιμονίας πρὸς τὴν κακοδαιμο-
ν, καὶ τοῦ καλλίστου βίου πρὸς τὸν αἴσχιστον,
ταῦτά τις ἂν' ἐκείνων κτησάμενος ἑαυτὸν λέληθε.

XX. *Μία σύνταξις ἡ περὶ Βίων, τέτταρα βι-*
ία· τούτων ἐν τῷ τετάρτῳ λέγει, τὸν σοφὸν ἀπρά-
ονά τε εἶναι καὶ ἰδιοπράγμονα, καὶ τὰ αὑτοῦ
άττειν· ἔστι δὲ ἡ λέξις αὕτη· Οἶμαι γὰρ ἔγωγε,
ν φρόνιμον καὶ ἀπράγμονα εἶναι καὶ ὀλιγοπρά-
ονα, καὶ τὰ αὑτοῦ πράττειν, ὁμοίως τῆς τε αὐ-

τοπραγίας καὶ ὀλιγοπραγμοσύνης ἀστείων ὄντων. τὰ δὲ ὅμοια σχεδὸν ἐν τῷ περὶ Τῶν Δι᾽ Αὐτὰ Αἱρετῶν εἴρηκε ταύταις ταῖς λέξεσι· Τῷ γὰρ ὄντι φαίνεται ὁ κατὰ τὴν ἡσυχίαν βίος ἀκίνδυνόν τι καὶ ἀσφαλὲς ἔχειν, οὐ πάνυ τῶν πολλῶν δυναμένων τοῦτο συνιδεῖν. ὅτι μὲν τῷ Ἐπικούρῳ τὴν πρύνοιαν ἀναιροῦντι διὰ τῆς ἀπραγμοσύνης τῆς περὶ τὸν θεὸν οὐκ ἀπάδει, δῆλόν ἐστιν· ἀλλ᾽ αὐτὸς ὁ Χρύσιππος ἐν τῷ πρώτῳ περὶ Βίων, βασιλείαν τε τὸν σοφὸν ἑκουσίως ἀνέχεσθαι, λέγει, χρηματιζόμενον ἀπ᾽ αὐτῆς· κἂν αὐτὸς βασιλεύειν μὴ δύνηται, συμβιώσεται βασιλεῖ, καὶ στρατεύσεται μετὰ βασιλέως· οἷος ἦν Τδάνθυρσος ὁ Σκύθης, ἢ Λεύκων ὁ Ποντικός. παραθήσομαι δὲ καὶ ταύτην αὐτοῦ τὴν διάλεκτον, ὅπως εἰδῶμεν, εἰ, καθάπερ ἐκ νήτης καὶ ὑπάτης γίνεται σύμφωνον, οὕτως ὁμολογεῖ βίος ἀνδρὸς καὶ ἀπραγμοσύνην αἱρουμένου καὶ ὀλιγοπραγμοσύνην, εἶτα συνιππαζομένου Σκύθαις, καὶ τὰ τῶν ἐν Βοσπόρῳ τυράννων πράττοντος ἐξ οἰασδήτινος ἀνάγκης. Ὅτι γὰρ, φησὶ, καὶ στρατεύσεται μετὰ δυναστῶν καὶ βιώσεται, πάλιν ἐπισκεψώμεθα τούτων ἐχόμενοι, τινῶν μὲν οὐδὲ ταῦτα ὑπονοούντων, διὰ τοὺς ὁμοίους ὑπολογισμοὺς, ἡμῶν δὲ καὶ ταῦτα ἀπολιπόντων, διὰ τοὺς παραπλησίους λόγους. καὶ μετὰ μικρόν· Οὐ μόνον δὲ μετὰ τῶν προκεκοφότων ἐπὶ ποσόν, καὶ ἐν ἀγωγαῖς καὶ ἐν ἔθεσι ποιοῖς γεγονότων, οἷον παρὰ Λεύκωνι καὶ Τδανθύρσῳ. Καλλισθένει τινὲς ἐγκαλοῦσιν, ὅτι πρὸς Ἀλέξανδρον ἔπλευσεν, ἐλπίζων ἀναστήσειν Ὄλυνθον, ὡς Στάγειρα Ἀριστοτέλης· Ἔφο-

ρον δὲ καὶ Ξενοκράτην καὶ Μενέδημον ἐπαινοῦσι παραιτησαμένους τὸν Ἀλέξανδρον· ὁ δὲ Χρύσιππος ἕνεκα χρηματισμοῦ τὸν σόφον ἐπὶ κεφαλὴν ἐς Παντικάπαιον ὠθεῖ καὶ τὴν Σκυθῶν ἐρημίαν· ὅτι γὰρ ἐργασίας ἕνεκα καὶ χρηματισμοῦ ταῦτα ποιεῖ, καὶ προδεδήλωκε τρεῖς, ὑποθέμενος, ἁρμόζοντας μάλιστα τῷ σοφῷ χρηματισμούς, τὸν ἀπὸ βασιλείας, καὶ τὸν ἀπὸ φίλων, καὶ τρίτον ἐπὶ τούτοις τὸν ἀπὸ σοφιστείας. καίτοι πολλαχοῦ μὲν ἀποκναίει ταῦτ' ἐπαινῶν.

Ἐπεὶ τί δεῖ βροτοῖσι, πλὴν δυοῖν μόνον
Δήμητρος ἀκτῆς καὶ πόματος ὑδρηχόου ;

ἐν δὲ τοῖς περὶ Φύσεως λέγει, τὸν σοφόν, εἰ τὴν μεγίστην οὐσίαν ἀποβάλοι, δραχμὴν μίαν ἐκβεβληκέναι δόξειν. οὕτω δὲ αὐτὸν ἄρας ἐκεῖ καὶ ὀγκώσας, ἐνταῦθα πάλιν εἰς μισθαρνίαν καταβάλλει, καὶ σοφιστείαν· καὶ γὰρ αἰτήσειν, καὶ προλήψεσθαι, τὸ μὲν εὐθὺς ἀρχομένου, τὸ δὲ χρόνου τῷ μαθητῇ διελθόντος, ὅπερ εὐγνωμονέστερον εἶναί, φησιν, ἀσφαλέστερον δὲ τὸ προλαμβάνειν, ὡς ἀδικήματα τοῦ τόπου ἐπιδεχομένου. λέγει δὲ οὕτως· Εἰσπράττονται δὲ τὸν μισθὸν οὐ πάντες οἱ νοῦν ἔχοντες ὡσαύτως· ἀλλ' ἄλλως πλῆθος, ὡς ἂν ὁ καιρὸς φέρῃ, οὐκ ἐπαγγελλομένων ποιήσειν ἀγαθοὺς, καὶ ταῦτ' ἐν ἐνιαυτῷ· ὅσα δὲ πρὸς ἑαυτοὺς, ταῦτα ποιήσειν πρὸς τὸν συμφωνηθέντα χρόνον. καὶ πάλιν προελθών· Τόν τε καιρὸν εἴσεται, πότερον εὐθὺς δεῖ τὸν ἀσθὸν λαμβάνειν ἅμα τῇ προσόδῳ, καθάπερ πλείους πεποιήκασιν, ἢ καὶ χρόνον αὐτοῖς διδόναι, τοῦ

τοπραγίας καὶ ὀλιγοπραγμοσύνης ἀστείων ὄντων.
δὲ ὅμοια σχεδὸν ἐν τῷ περὶ Τῶν Δι᾽ Αὐτὰ Αἰρε
εἴρηκε ταύταις ταῖς λέξεσι· Τῷ γὰρ ὄντι φαίνετα
κατὰ τὴν ἡσυχίαν βίον ἀκίνδυνόν τι καὶ ἀσφαλὲ
χειν, οὐ πάνυ τῶν πολλῶν δυναμένων τοῦτο σ
δεῖν. ὅτι μὲν τῷ Ἐπικούρῳ τὴν πρόνοιαν ἀναιροῖ
διὰ τῆς ἀπραγμοσύνης τῆς περὶ τὸν Θεὸν οὐκ ἀ
δει, δῆλόν ἐστιν· ἀλλ᾽ αὐτὸς ὁ Χρύσιππος ἐν
πρώτῳ περὶ Βίων, βασιλείαν τε τὸν σοφὸν ἐκου
ἀνέχεσθαι, λέγει, χρηματιζόμενον ἀπ᾽ αὐτῆς·
αὐτὸς βασιλεύειν μὴ δύνηται, συμβιώσεται βασι
καὶ στρατεύσεται μετὰ βασιλέως· οἷος ἦν Τδάνθ
σος ὁ Σκύθης, ἢ Λεύκων ὁ Ποντικός. παραθή
μαι δὲ καὶ ταύτην αὐτοῦ τὴν διάλεκτον, ὅπως
δῶμεν, εἰ, καθάπερ ἐκ νήτης καὶ ὑπάτης γίνε
σύμφωνον, οὕτως ὁμολογεῖ βίος ἀνδρὸς καὶ ἀπ
γμοσύνην αἱρουμένου καὶ ὀλιγοπραγμοσύνην,
συνιππαζομένου Σκύθαις, καὶ τὰ τῶν ἐν Βοσπ
τυράννων πράττοντος ἐξ οἰασδήτινος ἀνάγκης.
γὰρ, φησὶ, καὶ στρατεύσεται μετὰ δυναστῶν
βιώσεται, πάλιν ἐπισκεψώμεθα τούτων ἐχόμενοι,
νῶν μὲν οὐδὲ ταῦτα ὑπονοούντων, διὰ τοὺς ὁμο
ὑπολογισμούς, ἡμῶν δὲ καὶ ταῦτα ἀπολιπόντ
διὰ τοὺς παραπλησίους λόγους. καὶ μετὰ μικρ
Οὐ μόνον δὲ μετὰ τῶν προκεκοφότων ἐπὶ ποσόν,
ἐν ἀγωγαῖς καὶ ἐν ἔθεσι ποιοῖς γεγονότων, οἷον π
Λεύκωνι καὶ Τδανθύρσῳ. Καλλισθένει τινὲς ἐγ
λοῦσιν, ὅτι πρὸς Ἀλέξανδρον ἔπλευσεν, ἐλπίζων ἀ
στήσειν Ὄλυνθον, ὡς Στάγειρα Ἀριστοτέλης· Ἔ

ρον δὲ καὶ Ξενοκράτην καὶ Μενέδημον ἐπαινοῦσι παραιτησαμένους τὸν Ἀλέξανδρον· ὁ δὲ Χρύσιππος ἕνεκα χρηματισμοῦ τὸν σόφὸν ἐπὶ κεφαλὴν ἐς Παντικάπαιον ὠθεῖ καὶ τὴν Σκυθῶν ἐρημίαν· ὅτι γὰρ ἐργασίας ἕνεκα καὶ χρηματισμοῦ ταῦτα ποιεῖ, καὶ προδεδήλωκε τρεῖς, ὑποθέμενος, ἁρμόζοντας μάλιστα τῷ σοφῷ χρηματισμούς, τὸν ἀπὸ βασιλείας, καὶ τὸν ἀπὸ φίλων, καὶ τρίτον ἐπὶ τούτοις τὸν ἀπὸ σοφιστείας. καίτοι πολλαχοῦ μὲν ἀποκναίει ταῦτ' ἐπαινῶν.

Ἐπεὶ τί δεῖ βροτοῖσι, πλὴν δυοῖν μόνον
Δήμητρος ἀκτῆς καὶ πόματος ὕδρηχόου ;

ἐν δὲ τοῖς περὶ Φύσεως λέγει, τὸν σοφὸν, εἰ τὴν μεγίστην οὐσίαν ἀποβάλοι, ὁραχμὴν μίαν ἐκβεβληκέναι δόξειν. οὕτω δὲ αὐτὸν ἄρας ἐκεῖ καὶ ὀγκώσας, ἐνταῦθα πάλιν εἰς μισθαρνίαν καταβάλλει, καὶ σοφιστείαν· καὶ γὰρ αἰτήσειν, καὶ προλήψεσθαι, τὸ μὲν εὐθὺς ἀρχομένου, τὸ δὲ χρόνου τῷ μαθητῇ διελθόντος, ὅπερ εὐγνωμονέστερον εἶναί, φησιν, ἀσφαλέστερον δὲ τὸ προλαμβάνειν, ὡς ἀδικήματα τοῦ τόπου ἐπιδεχομένου. λέγει δὲ οὕτως· Εἰσπράττονται δὲ τὸν μισθὸν οὐ πάντες οἱ νοῦν ἔχοντες ὡσαύτως· ἀλλ' ἄλλως πλῆθος, ὡς ἂν ὁ καιρὸς φέρῃ, οὐκ ἐπαγγελλομένων ποιήσειν ἀγαθοὺς, καὶ ταῦτ' ἐν ἐνιαυτῷ· ὅσα δὲ πρὸς ἑαυτοὺς, ταῦτα ποιήσειν πρὸς τὸν συμφωνηθέντα χρόνον. καὶ πάλιν προελθών· Τόν τε καιρὸν εἴσεται, πότερον εὐθὺς δεῖ τὸν μισθὸν λαμβάνειν ἅμα τῇ προσόδῳ, καθάπερ πλείονς πεποιήκασιν, ἢ καὶ χρόνον αὐτοῖς διδόναι, τοῦ

τόπου τούτου μᾶλλον καὶ ἀδικήματα ἐπιδεχομένου, δόξαντος δ' ἂν εἶναι εὐγνωμονεστέρου. καὶ πῶς ἡ χρημάτων καταφρονητὴς ὁ σοφὸς, ὑπὸ συγγραφὴν ἐπ' ἀργυρίῳ τὴν ἀρετὴν παραδιδοὺς, κἂν μὴ παραδῷ, τὸ μισθάριον εἰσπράττων, ὡς πεποιηκὼς τὰ περὶ αὐτόν; ἢ βλάβης κρείττων, φυλαττόμενος, μὴ ἀδικηθῇ περὶ τὸ μισθάριον; ἀδικεῖται γὰρ οὐδεὶς μὴ βλαπτόμενος· ὅθεν μὴ ἀδικεῖσθαι τὸν σοφὸν ἐν ἄλλοις ἀποφηνάμενος, ἐνταῦθα φησὶν ἀδίκημά τι τὸν τόπον ἐπιδέχεσθαι.

XXI. Ἐν δὲ τῷ περὶ Πολιτείας, οὐδὲν ἡδονῆς ἕνεκα πράξειν, οὐδὲ παρασκευάσεσθαι, φησὶ, τοὺς πολίτας. καὶ τὸν Εὐριπίδην ἐπαινεῖ ταῦτα προφερόμενος·

Ἐπεὶ τί δεῖ βροτοῖσι, πλὴν δυοῖν μόνον,
Λήμητρος ἀκτῆς καὶ πόματος ὑδρηχόου;

εἶτα μικρὸν ἀπὸ τούτων προελθὼν, ἐπαινεῖ τὸν Διογένην τὸ αἰδοῖον ἀποτριβόμενον ἐν φανερῷ, καὶ λέγοντα πρὸς τοὺς παρόντας· Εἴθε καὶ τὸν λιμὸν οὕτως ἀποτρίψασθαι τῆς γαστρὸς ἠδυνάμην. τίνα οὖν ἔχει λόγον ἐν τοῖς αὐτοῖς ἐπαινεῖν τὸν ἐκβάλλοντα τὴν ἡδονὴν, ἅμα καὶ τὸν ἡδονῆς ἕνεκα τοιαῦτα πράττοντα, καὶ τοιαύτης ἁπτόμενον αἰσχρουργίας; γράψας τοίνυν ἐν τοῖς περὶ Φύσεως, ὅτι πολλὰ τῶν ζώων ἕνεκα κάλλους ἡ φύσις ἐνήνοχε, φιλοκαλοῦσα καὶ χαίρουσα τῇ ποικιλίᾳ, καὶ λόγον ἐπειπὼν παραλογώτατον, ὡς ὁ ταὼς ἕνεκα τῆς οὐρᾶς γέγονε, διὰ τὸ κάλλος αὐτῆς, ἐν τῷ περὶ Πολιτείας νεανικῶς ἐπιτετίμηκε τοῖς ταὼς τρέφουσι καὶ ἀηδόνας, ὥσπερ ἂν-

τινομοθετῶν τῷ τοῦ κόσμου νομοθέτῃ, καὶ τῆς φύσεως κατηγελῶν φιλοκαλούσης περὶ τὰ τοιαῦτα τῶν ζώων, οἷς ὁ σοφὸς ἐν τῇ πόλει τόπον οὐ δίδωσι. πῶς γὰρ οὐκ ἄτοπον, ἐγκαλεῖν τοῖς τρέφουσιν ἃ γεννῶσαν ἐπαινεῖ τὴν πρόνοιαν; ἐν μὲν οὖν τῷ πέμπτῳ περὶ Φύσεως, εἰπών, ὅτι οἱ κόρεις εὐχρήστως ἐξυπνίζουσιν ἡμᾶς, καὶ οἱ μύες ἐπιστρέφουσιν ἡμᾶς μὴ ἀμελῶς ἕκαστα τιθέναι, φιλοκαλεῖν δὲ τὴν φύσιν τῇ ποικιλίᾳ χαίρουσαν εἰκός ἐστι, ταῦτα κατὰ λέξιν εἴρηκε· Γένοιτο δ' ἂν μάλιστα τούτου ἔμφασις ἐπὶ τῆς κέρκου τοῦ ταώ· ἐνταῦθα γὰρ ἐπιφαίνει, τὸ ζῶον γεγονέναι ἕνεκα τῆς κέρκου, καὶ οὐκ ἀνάπαλιν, τῷ ἄρρενι γινομένῳ οὕτως, ἢ θηλυδοῦν ἠκολούθηκεν. ἐν δὲ τῷ περὶ Πολιτείας εἰπών, ὅτι ἐγγὺς ἐσμὲν τοῦ καὶ τοὺς κοπρῶνας ζωγραφεῖν, μετ' ὀλίγον, τὰ γεωργικά, φησι, καλλωπίζειν τινὰς ἀναδενδράσι καὶ μυρρίναις, καὶ ταὼς καὶ περιστερὰς τρέφουσι καὶ πέρδικας, ἵνα κακκαβίζωσιν αὐτοῖς, καὶ ἀηδόνας. ἡδέως δ' ἂν αὐτοῦ πυθοίμην, τί φρονεῖ περὶ μελιττῶν καὶ μέλιτος· ἦν μὲν γὰρ ἀκόλουθον τῷ τοὺς κόρεις εὐχρήστως, τὸ τὰς μελίττας ἀχρήστως φάναι γεγονέναι· εἰ δὲ ταύταις τόπον ἐν πόλει δίδωσι, διὰ τί τῶν πρὸς ἀκοὴν καὶ ὄψιν ἐπιτερπῶν ἀπείργει τοὺς πολίτας; καθόλου δὲ, ὥσπερ ὁ τοὺς συνδείπνους μεμφόμενος, ὅτι χρῶνται τραγήμασι καὶ οἴνῳ καὶ ὄψοις, τὸν δ' ἐπὶ ταῦτα κεκληκότα καὶ ταῦτα παρεσκευασμένον ἐπαινῶν, ἄτοπός ἐστιν· οὕτως ὁ τὴν μὲν πρόνοιαν ἐγκωμιάζων ἰχθῦς καὶ ὄρνιθ[illegible] καὶ μέλι καὶ οἶνον παρασκευάσασαν, ἐγκαλῶν δ[illegible]

μὴ παραπέμπουσι ταῦτα, μηδ' ἀρκουμένοις Δήμητρος ἀκτῇ, πόμασί τε ὑδρηχόοις, ἅπερ πάρεστι καὶ πέφυκεν ἡμᾶς τρέφειν, οὐθένα ποιεῖσθαι λόγον ἔοικε τοῦ ταναντία λέγειν ἑαυτῷ.

XXII. Καὶ μὴν ἐν τῷ τῶν Προτρεπτικῶν εἰπών, ὅτι καὶ τὸ μητράσιν ἢ θυγατράσιν ἢ ἀδελφαῖς συγγενέσθαι, καὶ τὸ φαγεῖν τι, καὶ προελθεῖν ἄπο λέχους ἢ θανάτου πρὸς ἥρω, ἀλόγως διαβέβληται· καὶ πρὸς τὰ θηρία, φησὶ, δεῖν ἀποβλέπειν, καὶ τοῖς ὑπ' ἐκείνων γινομένοις τεκμαίρεσθαι τὸ μηδὲν ἄτοπον μηδὲ παρὰ φύσιν εἶναι τῶν τοιούτων· ὑπαίρως γὰρ πρὸς ταῦτα γίνεσθαι τὰς τῶν ἄλλων ζώων παραθέσεις, εἰς τὸ μήτε συγγινόμενα, μήτε γεννῶντα, μήτ' ἐναποθνήσκοντα ἐν τοῖς ἱεροῖς ψιαίνειν τὸ θεῖον. ἐν δὲ τῷ πέμπτῳ πάλιν περὶ Φύσεως λέγει, καλῶς μὲν ἀπαγορεύειν τὸν Ἡσίοδον, εἰς ποταμοὺς καὶ κρήνας οὐρεῖν· ἔτι δὲ μᾶλλον ἀφεκτέον εἶναι τοῦ πρὸς βωμὸν οὐρεῖν, ἢ ἀφίδρυμα θεοῦ· μὴ γὰρ εἶναι πρὸς λόγον, εἰ κύνες καὶ ὄνοι τοῦτο ποιοῦσι, καὶ παιδάρια νήπια, μηδεμίαν ἐπιστροφὴν μηδ' ἐπιλογισμὸν ἔχοντα περὶ τῶν τοιούτων. ἄτοπον μὲν οὖν τὸ ἐκεῖ μὲν εὔκαιρον εἰπεῖν τὴν τῶν ἀλόγων ζώων ἀποθηρίωσιν, ἐνταῦθα δ' ἀπόλογον.

XXIII. Τοῦ κατηναγκάσθαι δοκοῦντος ὑπὸ τῶν ἔξωθεν αἰτιῶν ταῖς ὁρμαῖς ἀπόλυσιν πορίζειν, ἔνιοι τῶν φιλοσόφων ἐπελευστικήν τινα κίνησιν ἐν τῷ ἡγεμονικῷ κατασκευάζουσιν, ἐπὶ τῶν παραλλακτῶν μάλιστα γινομένην ἔκδηλον· ὅταν γὰρ δυοῖν ἴσοι

νομένων καὶ ὁμοίως ἐχόντων θάτερον ἢ λαβεῖν
ἀνάγκη, μηδεμιᾶς αἰτίας ἐπὶ θάτερον ἀγούσης, τῷ
μᾶλλον τοῦ ἑτέρου διαφέρειν, ἡ ἐπελευστικὴ δύνα-
μις αὐτὴ τῆς ψυχῆς ἐπίκλισιν ἐξ αὐτῆς λαβοῦσα
ἔκοψε τὴν ἀπορίαν. πρὸς τούτους ὁ Χρύσιππος
ἀντιλέγων, ὡς βιαζομένους τῷ ἀναιτίῳ τὴν φύσιν,
πολλοῖς παρατίθησι τὸν ἀστράγαλον καὶ τὸν
τράγον, καὶ πολλὰ τῶν μὴ δυναμένων ἄλλοτε ἄλλας
ἀμβάνειν πτώσεις καὶ ῥοπάς, ἄνευ τινὸς αἰτίας
ἢ διαφορᾶς ἢ περὶ αὐτὰ πάντως ἢ περὶ τὰ ἔξωθεν
νομένης· τὸ γὰρ ἀναίτιον ὅλως ἀνύπαρκτον εἶναι
καὶ τὸ αὐτόματον· ἐν δὲ ταῖς πλαττομέναις ὑπ'
ἄλλων καὶ λεγομέναις ταύταις ἐπελεύσεσιν αἰτίας
δήλους ὑποτρέχειν, καὶ λανθάνειν ἡμᾶς ἐπὶ θά-
ρα τὴν ὁρμὴν ἀγούσας. ταῦτα μὲν οὖν ἐν τοῖς
θωριμωτάτοις ἐστὶ τῶν ὑπ' αὐτοῦ πολλάκις εἰρη-
ένων. ἃ δὲ τούτοις πάλιν αὐτὸς ἐξ ἐναντίας εἴρη-
κεν, οὐχ ὁμοίως οὕτως ἐν μέσῳ κείμενα, δι' αὐτῶν
προσθήσομαι τῶν ἐκείνου λέξεων. ἐν μὲν γὰρ τῷ
περὶ τοῦ Δικάζειν ὑποθέμενος δύο δρομεῖς ὁμοῦ συν-
πίπτειν ἀλλήλοις, διαπορεῖ, τί τῷ βραβευτῇ κα-
θήκει ποιῆσαι. Πότερον, φησὶν, ἔξεστι τὸν βρα-
βευτὴν τὸν φοίνικα, ὁποτέρῳ βούλεται, ἀποδοῦ-
ναι; κἂν τύχωσιν αὐτῷ συνηθέστεροι ὄντες, ὡς
ἐνταῦθα τῶν αὐτοῦ τι χαρισόμενον τρόπον τινὰ
ἄλλον, ὡς κοινοῦ τοῦ φοίνικος γεγονότος ἀμφο-
ρων, οἱονεί τινος κλήρου γινομένου ἑνάλλως κατὰ
ν ἐπίκλισιν, ὡς ἔτυχε δοῦναι αὐτόν· λέγω δὲ
ἔτυχεν ἐπίκλισιν, οἷα γίνεται, ὅταν δυεῖν τ[illegible]

κειμένων δραχμῶν δμοίων κατὰ τὰ λοιπὰ, ἐπὶ τὴν ἑτέραν ἐπικλίναντες λαμβάνωμεν αὐτήν. ἐν δὲ τῷ ἕκτῳ περὶ Καθήκοντος, εἶναί τινα, φήσας, πράγματα μὴ πάνυ πολλῆς ἄξια ὄντα πραγματείας, μηδὲ προσοχῆς, ἀφιέναι περὶ ταῦτα τῇ ὡς ἔτυχεν ἐπικλίσει τῆς διανοίας οἴεται δεῖν τὴν αἵρεσιν ἀποκληρώσαντας· Οἷον, φησὶν, ἡ τῶν δοκιμαζόντων τάσδε τινὰς δραχμὰς δύο, ἐπὶ τοσόνδε, οἱ μὲν τήνδε, οἱ δὲ τήνδε φαῖεν εἶναι, καλὴν δὲ οὐδεμίαν αὐτῶν λαβεῖν· τηνικαῦτα ἀφέντα τὸ ἐπιπλεῖον ἐπιζητεῖν, ἣν ἔτυχε ληψόμεθα κατ' ἄλλον τινὰ, ἀποκληρώσαντες αὐτὰ ἔλεγε, καὶ ἔτι μάλιστα τὴν μοχθηρὰν ληψόμεθα αὐτῶν. ἐν τούτοις γὰρ ἀποκλήρωσις, καὶ τὸ ὡς ἔτυχεν ἐπικλῖνον τῆς διανοίας ἄνευ πάσης αἰτίας εἰσάγει τὴν ἀδιαφόρων λῆψιν.

XXIV. Ἐν τῷ τρίτῳ περὶ τῆς Διαλεκτικῆς ὑπειπὼν, ὅτι Πλάτων ἐσπούδασε περὶ τὴν διαλεκτικὴν, καὶ Ἀριστοτέλης, καὶ ἀπὸ τούτων οἱ ἄχρι Πολέμωνος καὶ Στράτωνος, μάλιστα δὲ Σωκράτης· καὶ ἐπιφωνήσας, ὅτι καὶ συνεξαμαρτάνειν ἄν τις θελήσειε τούτοις τοσούτοις καὶ τοιούτοις οὖσιν, ἐπιφέρει κατὰ λέξιν· Εἰ μὲν γὰρ ἐκ παρέργου περὶ αὐτῶν εἰρήκεισαν, τάχ' ἄν τις διέσυρε τὸν τόπον τοῦτον· οὕτω δ' αὐτῶν ἐπιμελῶς εἰρηκότων ὡς ἐν ταῖς μεγίσταις δυνάμεσι καὶ ἀναγκαιοτάταις αὐτῆς οὔσης, οὐ πιθανὸν ἐπὶ τοσοῦτον διαμαρτάνειν αὐτοὺς ἐν τοῖς ὅλοις ὄντας, οἵους ὑπονοοῦμεν. τί οὖν σὺ, φήσαι τις ἄν, αὐτὸς ἀνδράσι τοιούτοις καὶ τοσούτοις οὐδέποτε παύσῃ μαχόμενος οὐδ' ἐλέγχων, ὡς νομίζεις,

ν τοῖς κυριωτάτοις καὶ μεγίστοις διαμαρτάνοντας; ὐ γὰρ δή που περὶ μὲν διαλεκτικῆς ἐσπουδασμένως γραψαν, περὶ δ' ἀρχῆς καὶ τέλους καὶ Θεῶν καὶ δι-αιοσύνης, ἐκ παρέργου, καὶ παίζοντες, ἐν οἷς τυ-ολὸν αὐτῶν ἀποκαλεῖς τὸν λόγον, καὶ μαχόμενον ὑτῷ, καὶ μυρίας ἄλλας ἁμαρτίας ἔχοντα.

XXV. *Τὴν ἐπιχαιρεκακίαν ὅπου μὲν ἀνύπαρ-τον εἶναί, φησιν· ἐπεὶ τῶν μὲν ἀστείων οὐδεὶς ἐπ' ἀλλοτρίοις κακοῖς χαίρει τοπαράπαν. ἐν δὲ τῷ δευ-έρῳ περὶ Ἀγαθοῦ, τὸν φθόνον ἐξηγησάμενος, ὅτι ὑπη ἐστὶν ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, ὡς δήποτε βου-ομένων ταπεινοῦν τοὺς πλησίον, ὅπως ὑπερέχωσιν ὗτοι, συνάπτει τὴν ἐπιχαιρεκακίαν· Ταύτης δὲ συν-ῆς ἡ ἐπιχαιρεκακία γίνεται, ταπεινοὺς βουλομέ-ον εἶναι τοὺς πλησίον διὰ τὰς ὁμοίας αἰτίας, καὶ' ἴρας δὲ φυσικὰς φορὰς ἐκτρεπομένων, ὁ ἔλεος γί-ται. δῆλος γάρ ἐστιν ἐνταῦθα τὴν ἐπιχαιρεκακίαν ακτὴν, ὥσπερ τὸν φθόνον καὶ τὸν ἔλεον, ἀπολι-', ἣν ἐν ἑτέροις ἀνύπαρκτον εἶναί φησιν, ὥσπερ ρισοπονηρίαν καὶ τὴν αἰσχροκέρδειαν.*

XXVI. *Ἐν πολλοῖς εἰρηκὼς, ὅτι παρὰ τὸν πλεί-χρόνον οὐδὲν μᾶλλον εὐδαιμονοῦσιν, ἀλλ' ὁμοίως ἐπίσης τοῖς τὸν ἄμερῆ χρόνον εὐδαιμονίας με-ῦσιν· ἐν πολλοῖς πάλιν εἴρηκεν, ὡς οὐδὲ τὸν λον καθήκει προτεῖναι χάριν ἀμεριαίας φρο-ς, καθάπερ ἀστραπῆς διϋπταμένης. ἀρκέσει δὲ εῖναι τὰ ἐν τῷ ἕκτῳ τῶν Ἠθικῶν Ζητημάτων τοῦ γεγραμμένα περὶ τούτων· ὑπειπὼν γάρ, πᾶν ἀγαθὸν ἐπίσης εἰς χαρὰν πίπτει, οὔτε*

πᾶν κατόρθωμα εἰς σεμνολογίαν, ἐπεὶ ἡν
Καὶ γὰρ, εἰ μόνον μέλλοι ἀμερῆ χρόνον
τον ἔξειν φρόνησιν, οὐδ' ἂν τὸν δάκτυλ
ἐκτεῖναι ἕνεκα τῆς οὕτω παρεσομένης
καίπερ παρὰ τὸν πλείονα χρόνον οὐδὲν
δαιμονούντων, οὐδὲ τῆς ἀϊδίου εὐδαιμ
τωτέρας γενομένης παρὰ τὴν ἀμεριαίαν.
τὴν φρόνησιν ἡγεῖτο ποιητικὸν εἶναι τῆς ε
τὸ ἀγαθὸν, ὥσπερ ὁ Ἐπίκουρος, αὐτῆς
τῆς ἀτοπίας καὶ παραδοξολογίας ἐπιλαμβά
δόγματος· ἐπεὶ δὲ ἡ φρόνησις οὐχ ἕτερ
εὐδαιμονίας καθ' αὑτὸ, ἀλλ' εὐδαιμονί
μάχεται τὸ λέγειν, ἐπίσης μὲν ἀρετὴν εἶν
ριαίαν εὐδαιμονίαν καὶ τὴν ἀΐδιον, μηδε
τὴν ἀμεριαίαν;

XXVII Τὰς ἀρετάς, φησιν, ἀντακολ
λήλαις, οὐ μόνον τῷ τὴν μίαν ἔχοντα, π
ἀλλὰ καὶ τῷ τὸν κατὰ μίαν ὁτιοῦν ἐνεργο
πάσας ἐνεργεῖν· οὔτ' ἄνδρα, φησὶ, τέλειο
μὴ πάσας ἔχοντα τὰς ἀρετὰς, οὔτε πρᾶξ
ἥτις οὐ κατὰ πάσας πράττεται τὰς ἀρε
μὴν ἐν τῷ ἕκτῳ τῶν Ἠθικῶν Ζητημάτων
πος, οὐκ ἀεὶ, φησὶν, ἀνδρίζεσθαι τὸν ἀσ
δειλαίνειν τὸν φαῦλον, ὡς δέον ἐν φαντ
φερομένων τινῶν, τὸν μὲν ἐμμένειν τοῖς κ
δ' ἀφίστασθαι. πιθανὸν δέ, φησι, μηδ'
νειν ἀεὶ τὸν φαῦλον. εἴπερ οὖν τὸ ἀνδρί
οὗτόν ἐστιν οἷον ἀνδρείᾳ χρῆσθαι, καὶ τ
οἷον δειλίᾳ χρῆσθαι, μαχόμενα λέγουσι

ατὰ πάσας μὲν ἅμα τὰς ἀρετὰς καὶ τὰς κακίας ἐνεργεῖν τὸν ἔχοντα, μὴ ἀεὶ δὲ τὸν ἀστεῖον ἀνδρίζεσθαι, μηδὲ δειλαίνειν τὸν φαῦλον.

XXVIII. *Τὴν ῥητορικὴν ὁρίζεται τέχνην, περὶ εὐσμου καὶ εἰρημένου λόγου τάξιν· ἔτι δ' ἐν τῷ πρώτῳ ταῦτα γέγραφεν· Οὐ μόνον δὲ τοῦ ἐλευθερίου καὶ ἀφελοῦς κόσμου δεῖν οἶομαι ἐπιστρέφεσθαι κατὰ τῶν λόγων, ᾧ, καὶ τῶν οἰκείων ὑποκρίσεων κατὰ τὰς ἐπιβαλλούσας τάσεις τῆς φωνῆς, καὶ σχηματισμοὺς τοῦ τε προσώπου καὶ τῶν χειρῶν. οὕτω δέ τις φιλότιμος ἐνταῦθα καὶ περιττὸς γενόμενος, πάλιν ἐν τῷ αὐτῷ βιβλίῳ περὶ τῆς τῶν φωνηέντων συγκρούσεως ὑπειπών· Οὐ μόνον, φησὶ, ταῦτα παρεῖσον τοῦ βελτίονος ἐχομένους, ἀλλὰ καὶ ποιὰς ἀσαφείας καὶ ἐλλείψεις, καὶ, νὴ Δία, σολοικισμοὺς, ἐφ' οἷς ἄλλοι ἂν αἰσχυνθείησαν οὐκ ὀλίγοι. τὸ δὴ ποτὲ μὲν ἄχρι χειρῶν καὶ στόματος εὐπρεπείας ἐπιχωρεῖν οἷς λέγουσιν ἐν κόσμῳ τὸν λόγον διατίθεσθαι· ποτὲ δὲ μήτ' ἐλλείψεων ἐπιστρέφεσθαι καὶ ἀσαφειῶν, μήτε σολοικίζοντας αἰσχύνεσθαι, τελέως, ὅ τι ἂν ἐπέλθῃ, ἐγοντός ἐστιν.*

XXIX. *Ἐν δὲ ταῖς Φυσικαῖς Θέσεσι περὶ τῶν ἀπειρίας καὶ ἱστορίας δεομένων διακελευσάμενος μὴν ἡσυχίαν ἔχειν, ἂν μή τι κρεῖττον καὶ ἐναργέστερον ἔχωμεν λέγειν, ἵνα, φησί· Μήτε Πλάτωνι παραπλησίως ὑπονοήσωμεν, τὴν μὲν ὑγρὰν τροφὴν εἰς τὸν πνεύμονα φέρεσθαι, τὴν δὲ ξηρὰν εἰς τὴν κοιλίαν, μήτε ἕτερα παραπλήσια γεγονότα τούτοις διαπτώματα. δοκῶ δὴ τὸ ἐγκαλεῖν ἑτέροις, εἶτα περι-*

πᾶν κατόρθωμα εἰς σεμνολογίαν, ἐπενήνοχε ταῦτα· Καὶ γὰρ, εἰ μόνον μέλλοι ἀμερῆ χρόνον ἢ τὸν ἔσχατον ἕξειν φρόνησιν, οὐδ' ἂν τὸν δάκτυλον καθήκα ἐκτεῖναι ἕνεκα τῆς οὕτω παρεσομένης φρονήσεως, καίπερ παρὰ τὸν πλείονα χρόνον οὐδὲν μᾶλλον εὐδαιμονούντων, οὐδὲ τῆς ἀϊδίου εὐδαιμονίας αἱρετωτέρας γενομένης παρὰ τὴν ἀμεριαίαν. εἰ μὲν οὖν τὴν φρόνησιν ἡγεῖτο ποιητικὸν εἶναι τῆς εὐδαιμονίας τὸ ἀγαθὸν, ὥσπερ ὁ Ἐπίκουρος, αὐτῆς ἔδει μόνον τῆς ἀτοπίας καὶ παραδοξολογίας ἐπιλαμβάνεσθαι τοῦ δόγματος· ἐπεὶ δὲ ἡ φρόνησις οὐχ ἕτερόν ἐστι τῆς εὐδαιμονίας καθ' αὑτὸ, ἀλλ' εὐδαιμονία, πῶς οὐ μάχεται τὸ λέγειν, ἐπίσης μὲν ἀρετὴν εἶναι τὴν ἀμεριαίαν εὐδαιμονίαν καὶ τὴν ἀΐδιον, μηδενὸς δ' ἄξιαν τὴν ἀμεριαίαν;

XXVII Τὰς ἀρετάς, φησιν, ἀντακολουθεῖν ἀλλήλαις, οὐ μόνον τῷ τὴν μίαν ἔχοντα, πάσας ἔχειν, ἀλλὰ καὶ τῷ τὸν κατὰ μίαν ὁτιοῦν ἐνεργοῦντα, κατὰ πάσας ἐνεργεῖν· οὔτ' ἄνδρα, φησὶ, τέλειον εἶναι τὸν μὴ πάσας ἔχοντα τὰς ἀρετὰς, οὔτε πρᾶξιν τελείαν, ἥτις οὐ κατὰ πάσας πράττεται τὰς ἀρετάς. ἀλλὰ μὴν ἐν τῷ ἕκτῳ τῶν Ἠθικῶν Ζητημάτων ὁ Χρύσιππος, οὐκ ἀεὶ, φησὶν, ἀνδρίζεσθαι τὸν ἀστεῖον, οὐδὲ δειλαίνειν τὸν φαῦλον, ὡς δέον ἐν φαντασίαις ἐπιφερομένων τινῶν, τὸν μὲν ἐμμένειν τοῖς κρίμασι, τὸν δ' ἀφίστασθαι. πιθανὸν δέ, φησι, μηδ' ἀκολασταίνειν ἀεὶ τὸν φαῦλον. εἴπερ οὖν τὸ ἀνδρίζεσθαι τοιοῦτόν ἐστιν οἷον ἀνδρείᾳ χρῆσθαι, καὶ τὸ δειλαίνειν οἷον δειλίᾳ χρῆσθαι, μαχόμενα λέγουσι, λέγοντες,

ατὰ πάσας μὲν ἅμα τὰς ἀρετὰς καὶ τὰς κακίας ἐνερ-
εῖν τὸν ἔχοντα, μὴ ἀεὶ δὲ τὸν ἀστεῖον ἀνδρίζεσθαι,
ηδὲ δειλαίνειν τὸν φαῦλον.

XXVIII. *Τὴν ῥητορικὴν ὁρίζεται τέχνην, περὶ*
ὁσμου καὶ εἰρημένου λόγου τάξιν· ἔτι δ' ἐν τῷ πρώ-
ῳ ταῦτα γέγραφεν· Οὐ μόνον δὲ τοῦ ἐλευθερίου
καὶ ἀφελοῦς κόσμου δεῖν οἴομαι ἐπιστρέφεσθαι κἀπὶ
ῶν λόγων, ᾧ, καὶ τῶν οἰκείων ὑποκρίσεων κατὰ
ὰς ἐπιβαλλούσας τάσεις τῆς φωνῆς, καὶ σχηματι-
μοὺς τοῦ τε προσώπου καὶ τῶν χειρῶν. οὕτω δέ
ις φιλότιμος ἐνταῦθα καὶ περιττὸς γενόμενος, πά-
ιν ἐν τῷ αὐτῷ βιβλίῳ περὶ τῆς τῶν φωνηέντων συγ-
ρούσεως ὑπειπών· Οὐ μόνον, φησὶ, ταῦτα παρε-
έον τοῦ βελτίονος ἐχομένους, ἀλλὰ καὶ ποιὰς ἀσα-
ρείας καὶ ἐλλείψεις, καὶ, νὴ Δία, σολοικισμοὺς, ἐφ'
ἷς ἄλλοι ἂν αἰσχυνθείησαν οὐκ ὀλίγοι. τὸ δὴ ποτὲ
ιὲν ἄχρι χειρῶν καὶ στόματος εὐπρεπείας ἐπιχωρεῖν
οῖς λέγουσιν ἐν κόσμῳ τὸν λόγον διατίθεσθαι· ποτὲ
ὲ μήτ' ἐλλείψεων ἐπιστρέφεσθαι καὶ ἀσαφειῶν, μήτε
ολοικίζοντας αἰσχύνεσθαι, τελέως, ὅ τι ἂν ἐπέλθῃ,
έγοντός ἐστιν.

XXIX. *Ἐν δὲ ταῖς Φυσικαῖς Θέσεσι περὶ τῶν*
μπειρίας καὶ ἱστορίας δεομένων διακελευσάμενος
ὴν ἡσυχίαν ἔχειν, ἂν μή τι κρεῖττον καὶ ἐναργέστε-
ον ἔχωμεν λέγειν, ἵνα, φησί· Μήτε Πλάτωνι πα-
απλησίως ὑπονοήσωμεν, τὴν μὲν ὑγρὰν τροφὴν εἰς
ὸν πνεύμονα φέρεσθαι, τὴν δὲ ξηρὰν εἰς τὴν κοι-
ίαν, μήτε ἕτερα παραπλήσια γεγονότα τούτοις δια-
τώματα. δοκῶ δή τό ἐγκαλεῖν ἑτέροις, εἶτα περι-

πίπτειν αὐτὸν, οἷς ἐγκαλεῖ, καὶ μὴ φυλάττεσθαι, τῶν ἐναντιωμάτων μέγιστον εἶναι, καὶ τῶν διαπτωμάτων αἴσχιστον. ἀλλὰ μὴν αὐτὸς τὰς διὰ δέκα ἀξιωμάτων συμπλοκὰς πλήθει, φησὶν, ὑπερβάλλειν ἑκατὸν μυριάδας, οὔτε δι' αὐτοῦ ζητήσας ἐπιμελῶς, οὔτε διὰ τῶν ἐμπείρων τὸ ἀληθὲς ἱστορήσας. καίτοι Πλάτων μὲν ἔχει τῶν ἰατρῶν τοὺς ἐνδοξοτάτους μαρτυροῦντας, Ἱπποκράτην, Φιλιστίωνα, Διώξιππον τὸν Ἱπποκράτειον· καὶ τῶν ποιητῶν Εὐριπίδην, Ἀλκαῖον, Εὔπολιν, Ἐρατοσθένην, λέγοντας, ὅτι τὸ ποτὸν διὰ τοῦ πνεύμονος διέξεισι. Χρύσιππον δὲ πάντες ἐλέγχουσιν οἱ ἀριθμητικοί· ὧν καὶ Ἵππαρχός ἐστιν, ἀποδεικνύων τὸ διάπτωμα τοῦ λογισμοῦ παμμέγεθες αὐτῷ γεγονός· εἴγε τὸ μὲν καταφατικὸν ποιεῖ συμπεπλεγμένων ἀξιωμάτων μυριάδας δέκα, καὶ πρὸς ταύταις, τρισχίλια τεσσαρακονταεννέα, τὸ δ' ἀποφατικὸν, ἐννακόσια πεντηκονταδύο, πρὸς τριάκοντα καὶ μιᾷ μυριάσι.

XXX. Τῶν πρεσβυτέρων τινὲς, ἃ τῷ τὸν ὀξίνην ἔχοντι συνέβαινε, μήτε ὡς ὄξος ἀποδόσθαι δυναμένῳ, μήτε ὡς οἶνον, ἔφασαν τῷ Ζήνωνι συμβαίνειν· τὸ γὰρ προηγμένον αὐτῷ, μήτε ὡς ἀγαθὸν, μήτε ὡς διάφορον ἔχειν διάθεσιν. ἀλλ' ὁ Χρύσιππος ἔτι μᾶλλον τὸ πρᾶγμα δυσδιάθετον πεποίηκεν· ὅτε μὲν γάρ φησι, μαίνεσθαι τοὺς τὸν πλοῦτον καὶ τὴν ὑγίειαν, καὶ τὴν ἀπονίαν, καὶ τὴν ὁλοκληρίαν τοῦ σώματος ἐν μηδενὶ ποιουμένους, μηδ' ἀντεχομένους τῶν τοιούτων, ὅτε δὲ παραθέμενος τὰ τοῦ Ἡσιόδου

Ἐργάζευ, Πέρση, διὸν γένος·

ἐπιπεφώνηκεν, ὅτι τἀναντία παραινεῖν, μανικόν ἐστι, τὸ

Μὴ ἐργάζου, Πέρση, βίον γένος.

καὶ τὸν μὲν σοφὸν, ἐν τοῖς περὶ Βίων, καὶ βασιλεῦσι συνέσεσθαι, φησὶν, ἕνεκα χρηματισμοῦ, καὶ σοφιστεύσειν ἐπ' ἀργυρίῳ, παρ' ὧν μὲν προλαμβάνοντα, πρὸς οὓς δὲ συντιθέμενον τῶν μαθητῶν. ἐν δὲ τῷ ἑβδόμῳ τοῦ Καθήκοντος, καὶ κυβιστήσειν τρὶς, ἐπὶ τούτῳ λαβόντα τάλαντον. ἐν δὲ τῷ πρώτῳ περὶ Ἀγαθῶν τρόπον τινὰ συγχωρεῖ καὶ δίδωσι τοῖς βουλομένοις τὰ προηγμένα καλεῖν ἀγαθὰ, καὶ κακὰ τἀναντία, ταύταις ταῖς λέξεσιν· Εἴ τις βούλεται κατὰ τὰς τοιαύτας παραλλαγὰς, τὸ μὲν ἀγαθὸν αὐτῶν λέγειν, τὸ δὲ κακὸν, ἐπὶ ταῦτα φερόμενος τὰ πράγματα, καὶ μὴ ἄλλως ἀποπλανώμενος, ἐν μὲν τοῖς σημαινομένοις οὐ διαπίπτοντος αὐτοῦ, τὰ δ' ἄλλα στοχαζομένου τῆς κατὰ τὰς ὀνομασίας συνηθείας οὕτω δὲ τὸ προηγμένον τῷ ἀγαθῷ συναγαγὼν ἐγγὺς ἐνταῦθα καὶ συμμίξας, ἐν ἑτέροις πάλιν οὐδὲν εἶναί, φησι, τούτων καθόλου πρὸς ἡμᾶς, ἀλλ' ἀποσπᾶν τὸν λόγον ἡμᾶς καὶ ἀποστρέφειν ἁπάντων τῶν τοιούτων, ταῦτα γὰρ ἐν τῷ πρώτῳ περὶ τοῦ Προτρέπεσθαι γέγραφεν. ἐν δὲ τῷ τρίτῳ περὶ Φύσεως μακαρίζεσθαι, φησιν, ἑνίους βασιλεύοντας καὶ πλουτοῦντας, ὅμοιον εἰ χρυσαῖς ἀμίσι χρώμενοι καὶ χρυσοῖς κρασπέδοις ἐμακαρίζοντο· τῷ δ' ἀγαθῷ τὸ τὴν οὐσίαν ἀποβαλεῖν οἱονεὶ δραχμὴν ἀποβαλεῖν, καὶ τὸ νοσῆσαι οἷον προσκόψαι. διὸ τῶν ἐναντιωμάτων τούτων οὐ μόνον τὴν ἀρετὴν ἀλλὰ καὶ τὴν πρόνοιαν

ἀναπέπληκεν. ἡ μὲν γὰρ ἀρετὴ μικρολόγος ἐ
φανεῖται καὶ ἀνόητος περὶ ταῦτα πραγματευ
καὶ τούτων ἕνεκα πλεῖν εἰς Βόσπορον κελεύου
κυβιστᾷν τὸν σοφόν. ὁ δὲ Ζεὺς γελοῖος, εἰ Κ
χαίρει καὶ Ἐπικάρπιος καὶ Χαριδότης προσαγ
μενος, ὅτι δηλαδὴ χρυσᾶς ἀμίδας καὶ χρυσ
σπεδα χαρίζεται τοῖς φαύλοις, τοῖς δ' ἀγαθο
δραχμῆς, ὅταν πλούσιοι γένωνται κατὰ τὴν τ
πρόνοιαν· ἔτι δὲ γελοιότερος ὁ Ἀπόλλων,
χρυσῶν κρασπέδων καὶ λημίδων κάθηται θεμισ
καὶ περὶ προσκομμάτων ἀπολύσεως.

XXXI. Ἔτι δὲ μᾶλλον τῇ ἀποδείξει τὸ ἐν
μα ποιοῦσι φανερώτερον. ᾧ γάρ ἐστιν εὖ χρήσ
καὶ κακῶς, τοῦτό φασι μήτ' ἀγαθὸν εἶναι,
κακόν. πλούτῳ δὲ καὶ ὑγιείᾳ καὶ ῥώμῃ σώματ
κῶς χρῶνται πάντες οἱ ἀνόητοι· διόπερ οὐδ
τούτων ἀγαθόν. εἴπερ οὖν ὁ θεὸς ἀρετὴν
δίδωσιν ἀνθρώποις, ἀλλὰ τὸ καλὸν αὐθαίρετ
πλοῦτον δὲ καὶ ὑγίειαν χωρὶς ἀρετῆς δίδωσιν
εὖ χρησομένοις δίδωσιν, ἀλλὰ κακῶς, τουτέσ
βερῶς καὶ αἰσχρῶς καὶ ὀλεθρίως. καίτοι εἰ μ
νανται τὴν ἀρετὴν παρέχειν οἱ θεοί, οὐκ εἰσὶ χ
μὴ παρέχοντες· εἰ δὲ μὴ δύνανται ποιεῖν ἀγα
οὐδ' ὠφελεῖν δύνανται, μηδενός γε τῶν ἄλλω
ἀγαθοῦ, μηδ' ὠφελίμου. τὸ δὲ τοὺς ἄλλως
νους ἀγαθοὺς κρίνειν κατ' ἀρετὴν ἢ ἰσχύν, οὐδέ
καὶ γὰρ τοὺς θεοὺς οἱ ἀγαθοὶ κρίνουσι κατ'
καὶ ἰσχύν· ὥστε μηδὲν μᾶλλον ὠφελεῖν ἢ
σθαι τοὺς θεοὺς ὑπὸ τῶν ἀνθρώπων. καὶ μι

αὐτὸν ὁ Χρύσιππος ἀποφαίνει σπουδαῖον, οὔτε τινὰ τῶν αὐτοῦ γνωρίμων ἢ καθηγεμόνων. τί οὖν περὶ τῶν ἄλλων φρονοῦσιν, ἢ ταῦτα, ἅπερ λέγουσι; μαίνεσθαι πάντας, ἀφραίνειν, ἀνοσίους εἶναι, παρανόμους, ἐπ' ἄκρον ἥκειν δυστυχίας, κακοδαιμονίας ἀπάσης· εἶτα προνοίᾳ θεῶν διοικεῖσθαι τὰ καθ' ἡμᾶς οὕτως ἀθλίως πράττοντας; εἰ γοῦν οἱ θεοὶ μεταβαλλόμενοι βλάπτειν ἐθέλοιεν ἡμᾶς καὶ κακοῦν, καὶ διαστρέφειν καὶ προσπετρίβειν, οὐκ ἂν δύναιντο διαθεῖναι χεῖρον ἢ νῦν ἔχομεν, ὡς Χρύσιππος ἀποφαίνει, μήτε κακίας ὑπερβολὴν ἀπολείπειν, μήτε κακοδαιμονίας τὸν βίον· ὥστ', εἰ λάβοι φωνὴν, εἰπεῖν ἂν αὐτὸν τὰ τοῦ Ἡρακλέους·

Γέμω κακῶν δὴ, καὶ οὐκ ἔωθ' ὅπου τεθῇ.

τίνας οὖν ἄν τις εὕροι μαχομένας μᾶλλον ἀλλήλαις ἀποφάσεις τῆς περὶ θεῶν Χρυσίππου, καὶ τῆς περὶ ἀνθρώπων; τοὺς μὲν, ὡς ἔνι βέλτιστα προνοεῖν, τοὺς δὲ ὡς ἔνι χείριστα πράττειν λέγοντος.

XXXII. Ἐγκαλοῦσιν αὐτῷ τινὲς τῶν Πυθαγορικῶν ἐν τοῖς περὶ Δικαιοσύνης γράφοντι περὶ τῶν ἀλεκτρυόνων, ὅτι χρησίμως γεγόνασι· ἐπεγείρουσι γὰρ ἡμᾶς, καὶ τοὺς σκορπίους ἐκλέγουσι, καὶ κατὰ τὰς μάχας ἐπιστρέφουσι, ζῆλόν τινα πρὸς ἀλκὴν ἐμποιοῦντες· ὅμως δὲ δεῖ κατεσθίειν καὶ τούτους, ἵνα μὴ τὴν χρείαν ὑπερβάλῃ τὸ πλῆθος τῶν νεοττῶν. ὁ δὲ οὕτω καταγελᾷ τῶν ἐπὶ τούτοις ἐγκαλούντων, ὥστε περὶ τοῦ Διὸς, τοῦ σωτῆρος καὶ γενέτορος καὶ πατρὸς δίκης καὶ εὐνομίας καὶ εἰρήνης, ταῦτα γράφειν ἐν τῷ τρίτῳ περὶ θεῶν. Ὡς δὲ αἱ πόλεις πλεο-

ἀναπέπληκεν. ἡ μὲν γὰρ ἀρετὴ μικρολόγος ἰσχ
φανεῖται καὶ ἀνόητος περὶ ταῦτα πραγματευομ
καὶ τούτων ἕνεκα πλεῖν εἰς Βόσπορον κελεύουσα
κυβιστᾶν τὸν σοφόν. ὁ δὲ Ζεὺς γελοῖος, εἰ Κτή
χαίρει καὶ Ἐπικάρπιος καὶ Χαριδότης προσαγορ
μενος, ὅτι δηλαδὴ χρυσᾶς ἀμίδας καὶ χρυσᾶ
σπεδα χαρίζεται τοῖς φαύλοις, τοῖς δ' ἀγαθοῖς
δραχμῆς, ὅταν πλούσιοι γένωνται κατὰ τὴν τοῦ
πρόνοιαν· ἔτι δὲ γελοιότερος ὁ Ἀπόλλων, εἰ
χρυσῶν κρασπέδων καὶ ἀμίδων κάθηται θεμιστε
καὶ περὶ προσκομμάτων ἀπολύσεως.

XXXI. Ἔτι δὲ μᾶλλον τῇ ἀποδείξει τὸ ἐναν
μα ποιοῦσι φανερώτερον. ᾧ γάρ ἐστιν εὖ χρήσασ
καὶ κακῶς, τοῦτό φασι μήτ' ἀγαθὸν εἶναι, μ
κακόν. πλούτῳ δὲ καὶ ὑγιείᾳ καὶ ῥώμῃ σώματος
κῶς χρῶνται πάντες οἱ ἀνόητοι· διόπερ οὐδὲν
τούτων ἀγαθόν. εἴπερ οὖν ὁ Θεὸς ἀρετὴν μὲ
δίδωσιν ἀνθρώποις, ἀλλὰ τὸ καλὸν αὐθαίρετόν
πλοῦτον δὲ καὶ ὑγίειαν χωρὶς ἀρετῆς δίδωσιν,
εὖ χρησομένοις δίδωσιν, ἀλλὰ κακῶς, τουτέστι
βερῶς καὶ αἰσχρῶς καὶ ὀλεθρίως. καίτοι εἰ μὲν
νανται τὴν ἀρετὴν παρέχειν οἱ θεοί, οὐκ εἰσὶ χρη
μὴ παρέχοντες· εἰ δὲ μὴ δύνανται ποιεῖν ἀγαθ
οὐδ' ὠφελεῖν δύνανται, μηδενός γε τῶν ἄλλων ὄ
ἀγαθοῦ, μηδ' ὠφελίμου. τὸ δὲ τοὺς ἄλλως γεν
νους ἀγαθοὺς κρίνειν κατ' ἀρετὴν ἢ ἰσχύν, οὐδέν ἧ
καὶ γὰρ τοὺς θεοὺς οἱ ἀγαθοὶ κρίνουσι κατ' ἀρ
καὶ ἰσχύν· ὥστε μηδὲν μᾶλλον ὠφελεῖν ἢ ὠφ
σθαι τοὺς θεοὺς ὑπὸ τῶν ἀνθρώπων. καὶ μὴν

ὑτὸν ὁ Χρύσιππος ἀποφαίνει σπουδαῖον, οὔτε τινὰ ὧν αὐτοῦ γνωρίμων ἢ καθηγεμόνων. τί οὖν περὶ ὧν ἄλλων φρονοῦσιν, ἢ ταῦτα, ἅπερ λέγουσι; μαίνεσθαι πάντας, ἀφραίνειν, ἀνοσίους εἶναι, παραλήμους, ἐπ' ἄκρον ἥκειν δυστυχίας, κακοδαιμονίας πάσης· εἶτα προνοίᾳ θεῶν διοικεῖσθαι τὰ καθ' ἡμᾶς οὕτως ἀθλίως πράττοντας; εἰ γοῦν οἱ θεοὶ μεταβαλλόμενοι βλάπτειν ἐθέλοιεν ἡμᾶς καὶ κακοῦν, εἰ διαστρέφειν καὶ προσπεριβρίειν, οὐκ ἂν δύναιντο ἀθεεῖναι χεῖρον ἢ νῦν ἔχομεν, ὡς Χρύσιππος ἀποφαίνει, μήτε κακίας ὑπερβολὴν ἀπολείπειν, μήτε κακοδαιμονίας τὸν βίον· ὥστ', εἰ λάβοι φωνὴν, εἰπεῖν ἂν αὐτὸν τὰ τοῦ Ἡρακλέους·

Γέμω κακῶν δὴ, καὶ οὐκ ἔχω ὅπου τεθῶ.

νας οὖν ἄν τις εὕροι μαχομένας μᾶλλον ἀλλήλαις οφάσεις τῆς περὶ θεῶν Χρυσίππου, καὶ τῆς περὶ ρώπων; τοὺς μέν, ὡς ἔνι βέλτιστα προνοεῖν, ς δὲ ὡς ἔνι χείριστα πράττειν λέγοντος.

XXXII. Ἐγκαλοῦσιν αὐτῷ τινὲς τῶν Πυθαγορείων ἐν τοῖς περὶ Δικαιοσύνης γράφοντι περὶ τῶν τρυόνων, ὅτι χρησίμως γεγόνασι· ἐπεγείρουσι ἡμᾶς, καὶ τοὺς σκορπίους ἐκλέγουσι, καὶ κατὰ άχας ἐπιστρέφουσι, ζῆλόν τινα πρὸς ἀλκὴν ἐμντες· ὅμως δὲ δεῖ κατεσθίειν καὶ τούτους, ἵνα χρείαν ὑπερβάλῃ τὸ πλῆθος τῶν νεοττῶν. ὁ ω καταγελᾷ τῶν ἐπὶ τούτοις ἐγκαλούντων, ερὶ τοῦ Διὸς, τοῦ σωτῆρος καὶ γενέτορος καὶ δίκης καὶ εὐνομίας καὶ εἰρήνης, ταῦτα γράτῳ τρίτῳ περὶ θεῶν. Ὡς δὲ αἱ πόλεις πλεο-

νάσασαι εἰς ἀποικίας ἀπαίρουσι τὰ πλήθη, καὶ πολέμους ἐνίστανται πρός τινας, οὕτως ὁ Θεὸς φθορὰς ἀρχὰς δίδωσι· καὶ τὸν Εὐριπίδην μάρτυρα καὶ τοὺς ἄλλους προσάγεται, τοὺς λέγοντας, ὡς ὁ Τρωϊκὸς πόλεμος ὑπὸ τῶν Θεῶν ἀπαντλήσεως ἕνεκα τοῦ πλήθους τῶν ἀνθρώπων γένοιτο. τούτων δὲ τὰς μὲν ἄλλας ἀτοπίας ἄφες· οὐ γὰρ εἴ τι μὴ καλῶς, ἀλλ' ὅσα πρὸς ἑαυτοὺς διαφόρως λέγουσιν, ἐξετάσαι μόνον πρόκειται· σκόπει δὲ, ὅτι τῷ Θεῷ καλὰς μὲν ἐπικλήσεις καὶ φιλανθρώπους ἀεὶ, ἄγρια δ' ἔργα καὶ βάρβαρα καὶ Γαλατικὰ προστίθησιν. οὐ γὰρ ἀποικίαις ἐοίκασιν αἱ τοσαῦται φθοραὶ καὶ πανωλεθρίαι τῶν ἀνθρώπων, οἵας ὁ Τρωϊκὸς εἰργάσατο πόλεμος, καὶ πάλιν ὁ Μηδικὸς καὶ Πελοποννησιακὸς, εἰ μή τινας ἐν ᾅδου καὶ ὑπὸ γῆς ἴσασιν οὗτοι κτιζομένας πόλεις· ἀλλὰ τῷ Γαλάτῃ Δηϊοτάρῳ ποιεῖ Χρύσιππος ὅμοιον τὸν Θεὸν, ὃς, πλειόνων αὐτῷ παίδων γεγονότων, ἐνὶ βουλόμενος τὴν ἀρχὴν ἀπολιπεῖν καὶ τὸν οἶκον, ἅπαντας ἐκείνους ἀπέσφαξεν, ὥσπερ ἀμπέλου βλαστοὺς ἀποτεμὼν καὶ κολούσας, ἵνα εἷς ὁ λειφθεὶς ἰσχυρὸς γένηται καὶ μέγας. καίτοι γε ὁ μὲν ἀμπελουργὸς, ἔτι μικρῶν ὄντων καὶ ἀσθενῶν τοῦτο ποιεῖ τῶν κλημάτων, καὶ ἡμεῖς νεογνῶν καὶ τυφλῶν ὄντων σκυλακίων ὑφαιροῦμεν τὰ πολλὰ φειδόμενοι τῆς κυνός· ὁ δὲ Ζεὺς, οὐ μόνον ἐάσας καὶ περιϊδὼν ἐν ἡλικίᾳ γενομένους, ἀλλὰ καὶ φύσας αὐτὸς καὶ αὐξήσας, ἀποτυμπανίζει, φθορᾶς καὶ ὀλέθρου μηχανώμενος προφάσεις· δέον αἰτίας καὶ ἀργὰς γενέσεως μὴ παρασχεῖν.

XXXIII. Τοῦτο μὲν οὖν ἔλαττόν ἐστι, κἀκεῖνο δὲ μεῖζον· οὐδεὶς γὰρ φύεται ἀνθρώποις πόλεμος ἄνευ κακίας· ἀλλὰ τὸν μὲν φιληδονία, τὸν δὲ πλεονεξία, τὸν δὲ φιλοδοξία τις ἢ φιλαρχία συῤῥήγνυσιν. οὐκοῦν εἰ πολέμους ὁ θεὸς ἐνεργάζεται, καὶ κακίας, παροξύνων καὶ διαστρέφων τοὺς ἀνθρώπους. καίτοι λέγει αὐτὸς ἐν τῷ περὶ τοῦ Δικάζειν, καὶ πάλιν ἐν τῷ δευτέρῳ περὶ Θεῶν, ὡς τῶν αἰσχρῶν τὸ θεῖον παραίτιον γίνεσθαι οὐκ εὔλογόν ἐστιν· ὃν τρόπον γὰρ οὔτε νόμος τοῦ παρανομεῖν παραίτιος ἂν γένοιτο, οὔτε οἱ θεοὶ, τοῦ ἀσεβεῖν· οὕτως εὔλογον, μηδ' αἰσχροῦ μηδενὸς εἶναι παραιτίους. τί οὖν αἴσχιον ἀνθρώποις φθορᾶς ὑπ' ἀλλήλων γινομένης; ἧς φησι Χρύσιππος ἐνδιδόναι τὰς ἀρχὰς τὸν θεόν. ἀλλὰ νὴ Δία φήσει τις ἐπαινεῖν πάλιν τοῦ Εὐριπίδου λέγοντος·

Εἰ θεοί τι δρῶσιν αἰσχρόν, οὐκ εἰσὶν θεοί·

καί·

Τὸ ῥᾷστον εἶπας, αἰτιάσασθαι θεούς.

ὥσπερ ἡμῶν ἄλλο τι νῦν πραττόντων, ἢ τὰς ἐναντίας αὐτοῦ φωνὰς καὶ ὑπολήψεις παρατιθεμένων.

XXXIV. Οὐ μὴν ἀλλ' αὐτό γε τοῦτο τὸ νῦν ἐπαινούμενον, οὐχ ἅπαξ, οὐδὲ δὶς, οὐδὲ τρὶς, ἀλλὰ μυριάκις ἔσται πρὸς Χρύσιππον εἰπεῖν·

Τὸ ῥᾷστον εἶπας, αἰτιάσασθαι θεούς.

πρῶτον γὰρ ἐν τῷ πρώτῳ περὶ Φύσεως τὸ ἀΐδιον τῆς κινήσεως κυκεῶνι παρεικάσας, ἄλλα ἄλλως στρέφοντι καὶ ταράσσοντι τῶν γινομένων, ταῦτ' εἴρηκεν· Οὕτω δὲ τῆς τῶν ὅλων οἰκονομίας προαγούσης, ἀναγκαῖον

κατὰ ταὐτην, ὡς ἄν ποτ' ἔχωμεν, ἔχειν ἡμᾶς, εἴτι παρὰ φύσιν τὴν ἰδίαν νοσοῦντες, εἴτε πεπηρωμένοι, εἴτε γραμματικοὶ γεγονότες, ἢ μουσικοί. καὶ πάλιν μετ' ὀλίγον· Κατὰ τοῦτον δὲ τὸν λόγον τὰ παραπλήσια ἐροῦμεν καὶ περὶ τῆς ἀρετῆς ἡμῶν καὶ κακίας, καὶ τὸ ὕλον τῶν τεχνῶν καὶ τῶν ἀτεχνιῶν, ὡς ἔφην. καὶ μετ' ὀλίγον ἅπασαν ἀναιρῶν ἀμφιβολίαν· Οὐθὲν γάρ ἐστιν ἄλλως τῶν κατὰ μέρος γενέσθαι, οὐδὲ τοὐλάχιστον, ἢ κατὰ τὴν κοινὴν φύσιν καὶ κατὰ τὸν ἐκείνης λόγον. ὅτι δ' ἡ κοινὴ φύσις καὶ ὁ κοινὸς τῆς φύσεως λόγος, εἱμαρμένη καὶ πρόνοια καὶ Ζεύς ἐστιν, οὐδὲ τοὺς ἀντίποδας λέληθε· παντα χοῦ γὰρ ταῦτα θρυλλεῖται ὑπ' αὐτῶν· καί·

Διὸς δ' ἐτελείετο βουλή,

τὸν Ὅμηρον εἰρηκέναι, φησὶν, ὀρθῶς, ἐπὶ τὴν εἱμαρμένην ἀναφέροντα, καὶ τὴν τῶν ὅλων φύσιν, καθ' ἣν πάντα διοικεῖται. πῶς οὖν ἅμα μὲν οὐδενὸς αἰσχροῦ παραίτιος ὁ Θεὸς, ἅμα δ' οὐδὲ τοὐλάχιστον ἐνδέχεται γίγνεσθαι ἄλλως, ἢ κατὰ τὴν κοινὴν φύσιν, καὶ τὸν ἐκείνης λόγον; ἐν γὰρ πᾶσι τοῖς γινομένοις καὶ τὰ αἰσχρὰ δή που Θεῶν ἐστιν. καίτοι ὁ μὲν Ἐπίκουρος ἀμωσγέπως στρέφεται καὶ φιλοτεχνεῖ, τῆς ἀϊδίου κινήσεως μηχανώμενος ἐλευθερῶσαι καὶ ἀπολῦσαι τὸ ἑκούσιον, ὑπὲρ τοῦ μὴ καταλιπεῖν ἀνέγκλητον τὴν κακίαν· ὁ δὲ Χρύσιππος ἀναπεπταμένην παρῄρησίαν αὐτῇ δίδωσιν, ὡς οὐ μόνον ἐξ ἀνάγκης, οὐδὲ καθ' εἱμαρμένην, ἀλλὰ καὶ κατὰ λόγον Θεοῦ καὶ κατὰ φύσιν πεποιημένῃ τὴν ἀρίστην. ἔτι δὲ καὶ ταῦτα ὁρᾶται κατὰ λέξιν οὕτως ἔχοντα· Τῆς γὰρ

κοινῆς φύσεως εἰς πάντα διατεινούσης, δεήσει πᾶν τὸ ὁπωσοῦν γινόμενον ἐν τῷ λόγῳ, καὶ τῶν μορίων ὁτιῳοῦν, κατ' ἐκείνην γενέσθαι καὶ τὸν ἐκείνης λόγον, κατὰ τὸ ἑξῆς ἀκωλύτως· διὰ τὸ μήτ' ἔξωθεν εἶναι τὸ ἐνσεσημασμένον τῇ οἰκονομίᾳ, μήτε τῶν μερῶν μηδὲν ἔχειν, ὅπως κινηθήσεται ἢ σχήσει ἄλλως ἢ κατὰ τὴν κοινὴν φύσιν. τίνες οὖν αἱ τῶν μερῶν σχέσεις εἰσὶ καὶ κινήσεις; δῆλον μέν, ὅτι σχέσεις αἱ κακίαι καὶ τὰ νοσήματα, φιλαργυρίαι, φιληδονίαι, φιλοδοξίαι, δειλίαι, ἀδικίαι· κινήσεις δὲ, μοιχεῖαι, κλοπαὶ, προδοσίαι, ἀνδροφονίαι, πατροκτονίαι. τούτων οἴεται Χρύσιππος οὔτε μικρὸν οὔτε μέγα παρὰ τὸν τοῦ Διὸς λόγον εἶναι, καὶ νόμιον, καὶ δίκην, καὶ πρόνοιαν· ὥστε μὴ γίνεσθαι παρὰ τὸν νόμον τὸ παρανομεῖν· μηδὲ παρὰ τὴν δίκην τὸ ἀδικεῖν· μήτε παρὰ τὴν πρόνοιαν τὸ κακοποιεῖν.

XXXV. Ἀλλὰ μὴν τὸν θεὸν κολάζειν, φησὶ, τὴν κακίαν, καὶ πολλὰ ποιεῖν ἐπὶ κολάσει τῶν πονηρῶν· ὥσπερ ἐν τῷ δευτέρῳ περὶ Θεῶν, ποτὲ μὲν τὰ δύσχρηστα συμβαίνειν, φησὶ, τοῖς ἀγαθοῖς, οὐχ ὥσπερ τοῖς φαύλοις κολάσεως χάριν, ἀλλὰ κατ' ἄλλην οἰκονομίαν, ὥσπερ ἐν ταῖς πόλεσι. καὶ πάλιν ἐν τούτοις· Πρῶτον δὲ τῶν κακῶν παραπλησίως ἐστὶν ἀκουστέον τοῖς προειρημένοις· εἶτα ὅτι ταῦτα ἀπονέμεται κατὰ τὸν Διὸς λόγον, ἤτοι ἐπὶ κολάσει, ἢ κατ' ἄλλην ἔχουσάν πως πρὸς τὰ ὅλα οἰκονομίαν. ἔστι μὲν οὖν τοῦτο δεινόν, τὰ καὶ γίνεσθαι τὴν κακίαν καὶ κολάζεσθαι κατὰ τὸν τοῦ Διὸς λόγον· ἐπιτείνει δὲ τὴν ὑπεναντίωσιν ἐν τῷ

δευτέρῳ περὶ Φύσεως, γράφων τάδε· Ἡ δὲ κακία πρὸς τὰ δεινὰ συμπτώματα ἴδιόν τινα ἔχει λόγον· γίνεται μὲν γὰρ καὶ αὐτή πως κατὰ τὸν τῆς φύσεως λόγον, καὶ, ἵν' οὕτως εἴπω, οὐκ ἀχρήστως γίνεται πρὸς τὰ ὅλα· οὔτε γὰρ τἀγαθὰ ἦν. καὶ οὕτως ἐπιτιμᾷ τοῖς ἐπίσης πρὸς τὰ ἐναντία διαλεγομένοις, ὃς ὑπὸ τοῦ πάντως τι βούλεσθαι καὶ περὶ παντὸς εἰπεῖν ἴδιον καὶ περιττὸν, οὐκ ἀχρήστως λέγει βαλαντιοτομεῖν, συκοφαντεῖν, καὶ ἀφαιρεῖσθαι, οὐκ ἀχρήστως ἀχρήστους εἶναι, βλαβερούς, κακοδαίμονας. εἶτα ποῖός τις ὁ Ζεὺς, λέγω δὲ τὸν Χρυσίππου, κολάζων πρᾶγμα, μήτ' ἀφ' αὑτοῦ, μήτ' ἀχρήστως γινόμενον; ἡ μὲν γὰρ κακία πάντως ἀνέγκλητός ἐστι κατὰ τὸν τοῦ Χρυσίππου λόγον· ὁ δὲ Ζεὺς ἐγκλητέος, εἴτ' ἄχρηστον οὖσαν τὴν κακίαν πεποίηκεν, εἴτε ποιήσας οὐκ ἀχρήστως, κολάζει.

XXXVI. Πάλιν ἐν τῷ πρώτῳ περὶ Δικαιοσύνης εἰπὼν περὶ τῶν Θεῶν, ὡς ἐνισταμένων ἑνίοις ἀδικήμασι· Κακίαν δὲ, φησὶ, καθόλου ἆραι οὔτε δυνατόν ἐστιν, οὔτ' ἔχει καλῶς ἀρθῆναι. τὴν ἀνομίαν, τὴν ἀδικίαν, τὴν ἀβελτηρίαν οὐ τοῦ παρόντος ἐστὶ λόγου τὸ ζητεῖν· αὐτὸς δὲ τὴν κακίαν, ὅσον ἐφ' ἑαυτῷ, διὰ τοῦ φιλοσοφεῖν ἀναιρῶν, ἣν οὐκ ἔχει καλῶς ἀναιρεῖν, μαχόμενόν τι ποιεῖ καὶ τῷ λόγῳ καὶ τῷ Θεῷ· πρὸς δὲ τούτοις λέγων ἑνίοις ἀδικήμασιν ἐνίστασθαι τὸν Θεὸν, ἔμφασιν πάλιν τῆς τῶν ἁμαρτημάτων δίδωσιν ἀνοσιότητος.

XXXVII. Ἔτι περὶ τοῦ μηδὲν ἐγκλητὸν εἶναι μηδὲ μεμπτὸν κόσμῳ, κατὰ τὴν ἀρίστην φύσιν

ἁπάντων περαινομένων, πολλάκις γεγραφὼς, ἔστιν ὅπου πάλιν ἐγκλητάς τινας ἀμελείας οὐ περὶ μικρὰ καὶ φαῦλα καταλείπει. ἐν γοῦν τῷ τρίτῳ περὶ Οὐσίας, μνησθεὶς, ὅτι συμβαίνει τινὰ τοῖς καλοῖς καὶ ἀγαθοῖς τοιαῦτα· Πότερον, φησὶν, ἀμελουμένων τινῶν, καθάπερ ἐν οἰκίαις μείζοσι παραπίπτει τινὰ πίτυρα, καὶ πυροί τινες, τῶν ὅλων εὖ οἰκονομουμένων· ἢ διὰ τὸ καθίστασθαι ἐπὶ τῶν τοιούτων δαιμόνια φαῦλα, ἐν οἷς τῷ ὄντι γίνονται καὶ ἐγκλητέαι ἀμέλειαι; φησὶ δὲ πολὺ καὶ τὸ τῆς ἀνάγκης μεμίχθαι. τὸ μὲν οὖν τὰ τοιαῦτα συμπτώματα τῶν καλῶν κἀγαθῶν ἀνδρῶν, οἷον ἡ Σωκράτους καταδίκη, καὶ ὁ Πυθαγόρου ζῶντος ἐμπρησμὸς ὑπὸ τῶν Κυλωνείων, καὶ Ζήνωνος ὑπὸ Δημύλου τοῦ τυράννου, καὶ Ἀντιφῶντος ὑπὸ Διονυσίου, στρεβλουμένων ἀναιρέσεις, πιτύροις παραπίπτουσιν ἀπεικάζειν, ὅσης ἐστὶν εὐχερείας, ἐῶ· τὸ δὲ φαύλους δαίμονας ἐκ προνοίας ἐπὶ τὰς τοιαύτας ἐπιστασίας καθίστασθαι, πῶς οὐκ ἔστιν ἔγκλημα τοῦ Θεοῦ, καθάπερ βασιλέως κακοῖς καὶ ἐμπλήκτοις σατράπαις καὶ στρατηγοῖς διοικήσεις ἐπιτρέποντος, καὶ περιορῶντος ὑπὸ τούτων ἀμελουμένους καὶ παροινουμένους τοὺς ἀρίστους; καὶ μὴν εἰ πολὺ τὸ τῆς ἀνάγκης μέμικται τοῖς πράγμασιν, οὔτε κρατεῖ πάντων ὁ Θεὸς, οὔτε πάντα κατὰ τὸν ἐκείνου λόγον διοικεῖται.

XXXVIII. Πρὸς τὸν Ἐπίκουρον μάλιστα μάχεται, καὶ πρὸς τοὺς ἀναιροῦντας τὴν πρόνοιαν, ἐκ τῶν ἐννοιῶν, ἃς ἔχομεν περὶ Θεῶν, εὐεργετικοὺς καὶ

φιλανθρώπους ἐπινοοῦντες. καὶ τούτων πολλαχοῦ γραφομένων καὶ λεγομένων παρ' αὐτοῖς οὐδὲν ἔθει λέξεις παρατίθεσθαι. καίτοι χρηστοὺς οὐ πάντας εἶναι τοὺς θεοὺς προλαμβάνειν. ὅρα γάρ, οἷα Ἰουδαῖοι καὶ Σύροι περὶ θεῶν φρονοῦσιν· ὅρα τὰ τῶν ποιητῶν, πόσης ἐμπέπλησται δεισιδαιμονίας. φθαρτὸν δὲ καὶ γεννητὸν οὐδεὶς, ὡς ἔπος εἰπεῖν, διανοεῖται θεόν. ὧν ἵνα τοὺς ἄλλους ἀφῶ πάντας, Ἀντίπατρος ὁ Ταρσεὺς ἐν τῷ περὶ θεῶν γράφει ταῦτα κατὰ λέξιν· Πρὸ δὲ τοῦ σύμπαντος λόγου τὴν ἐνέργειαν, ἣν ἔχομεν περὶ θεοῦ, διὰ βραχέων ἐπιλογιούμεθα. θεὸν τοίνυν νοοῦμεν ζῶον μακάριον καὶ ἄφθαρτον, καὶ εὐποιητικὸν ἀνθρώπων. εἶτα τούτων ἕκαστον ἀφηγούμενος, φησὶν οὕτω· Καὶ μὴν ἀφθάρτους αὐτοὺς ἡγοῦνται πάντες. οὐδεὶς οὖν ἐστι τῶν πάντων ὁ Χρύσιππος κατ' Ἀντίπατρον· οὐδένα γὰρ οἴεται, πλὴν τοῦ πυρὸς, ἄφθαρτον εἶναι τῶν θεῶν, ἀλλὰ πάντας ὁμαλῶς καὶ γεγονότας καὶ φθαρησομένους. ταῦτα δὲ πανταχοῦ, ὡς ἔπος εἰπεῖν, ὑπ' αὐτοῦ λέγεται. παραθήσομαι δὲ λέξιν ἐκ τοῦ τρίτου περὶ θεῶν· καθ' ἕτερον λόγον, οἱ μὲν γὰρ γεννητοί εἰσι καὶ φθαρτοὶ, οἱ δ' ἀγέννητοι· καὶ ταῦτ' ἀπ' ἀρχῆς ὑποδείκνυσθαι φυσικώτερον. ἥλιος μὲν γὰρ καὶ σελήνη, καὶ οἱ ἄλλοι θεοὶ παραπλήσιον ἔχοντες λόγον, γεννητοί εἰσιν· ὁ δὲ Ζεὺς, ἀΐδιός ἐστιν. καὶ πάλιν προελθών· Ὅμοια δὲ καὶ περὶ τοῦ φθαρῆναι καὶ περὶ τοῦ γενέσθαι ῥηθήσεται, περί τε τῶν ἄλλων θεῶν καὶ τοῦ Διός· οἱ μὲν γὰρ φθαρτοί εἰσι, τοῦ δὲ τὰ

μέρη ἄφθαρτα. τούτοις ἔτι βούλομαι παραβαλεῖν μικρὰ τῶν ὑπὸ τοῦ Ἀντιπάτρου λεγομένων· Ὅσοι δὲ περιαιροῦνται τὸ εὔποιητικὸν ἐκ τῶν Θεῶν, ἀπὸ μέρους προβάλλουσι τῇ τούτων προλήψει· κατὰ τὸν αὐτὸν λόγον καὶ οἱ νομίζοντες, αὐτοὺς γενέσεώς τε καὶ φθορᾶς κοινωνεῖν. εἴπερ οὖν ἐπίσης ἄτοπος ὁ φθαρτοὺς ἡγούμενος τοὺς Θεούς, τῷ μὴ νομίζοντι, τρονοητικοὺς εἶναι καὶ φιλανθρώπους, ἐπίσης διαπέπτωκεν Ἐπικούρῳ Χρύσιππος· ὁ μὲν γὰρ τὸ εὐποιητικόν, ὁ δὲ τὸ ἄφθαρτον ἀφαιρεῖται τῶν Θεῶν.

XXXIX. Καὶ μὴν ἐν τῷ τρίτῳ περὶ Θεῶν ὁ Χρύσιππος περὶ τοῦ τρέφεσθαι τοὺς ἄλλους Θεοὺς ταῦδε λέγει· Τροφῇ τε οἱ μὲν ἄλλοι Θεοὶ χρῶνται, παραπλησίως συνεχόμενοι δι' αὐτήν· ὁ δὲ Ζεὺς καὶ ὁ κόσμος καθ' ἕτερον τρόπον ἀναλισκομένων καὶ ἐκ πυρὸς γενομένων. ἐνταῦθα μὲν ἀποφαίνεται, πάντας τοὺς ἄλλους Θεοὺς τρέφεσθαι, πλὴν τοῦ κόσμου καὶ τοῦ Διός· ἐν δὲ τῷ πρώτῳ περὶ Προνοίας, τὸν Δία, φησὶν, αὔξεσθαι, μέχρις ἂν εἰς αὐτὸν ἅπαντα καταναλώσῃ. Ἐπεὶ γὰρ ὁ θάνατος μέν ἐστι ψυχῆς χωρισμὸς ἀπὸ τοῦ σώματος, ἡ δὲ τοῦ κόσμου ψυχὴ οὐ χωρίζεται μὲν, αὔξεται δὲ συνεχῶς, μέχρις ἂν εἰς αὐτὴν ἐξαναλώσῃ τὴν ὕλην, οὐ ῥητέον ἀποθνήσκειν τὸν κόσμον. τίς ἂν οὖν ἐναντιώτερα λέγων αὐτῷ φανείη τοῦ τὸν αὐτὸν Θεὸν νῦν μὲν αὔξεσθαι, νῦν δὲ μὴ τρέφεσθαι λέγοντος. καὶ τοῦτ' οὐ δεῖ συλλογίζεσθαι· σαφῶς γὰρ αὐτὸς ἐν τῷ αὐτῷ γέγραφεν· Αὐτάρκης δ' εἶναι λέγεται μόνος ὁ κόσμος, διὰ τὸ μόνος ἐν αὐτῷ πάντα ἔχειν, ὧν δεῖται· καὶ τρέφεται

ἐξ αὑτοῦ καὶ αὔξεται, τῶν ἄλλων μορίων εἰς ἄλληλα κατατατταμένων. οὐ μόνον οὖν ἐν ἐκείνοις τοὺς ἄλλους θεοὺς ἀποφαίνων τρεφομένους, πλὴν τοῦ κόσμου καὶ τοῦ Διός, ἐν τούτοις δὲ καὶ τὸν κόσμον λέγων τρέφεσθαι, μάχεται πρὸς αὑτόν· ἀλλ' ἔτι μᾶλλον, ὅτι τὸν κόσμον αὔξεσθαι φησὶν ἐξ αὑτοῦ τρεφόμενον. τοὐναντίον δ' εἰκὸς ἦν, τοῦτον μόνον μὴ αὔξεσθαι τὴν αὑτοῦ φθίσιν ἔχοντα τροφήν· τοῖς δ' ἄλλοις θεοῖς, ἔξωθεν τρεφομένοις, ἐπίδοσιν γίνεσθαι καὶ αὔξησιν, καὶ μᾶλλον εἰς τούτους καταναλίσκεσθαι τὸν κόσμον, εἶτ' ἐκείνῳ μὲν ἐξ αὑτοῦ, τούτοις δ' ἀπ' ἐκείνου λαμβάνειν ἀεί τι καὶ τρέφεσθαι συμβέβηκε.

XL. Δεύτερον τοίνυν ἡ τῶν θεῶν ἔννοια περιέχει τὸ εὔδαιμον καὶ μακάριον καὶ αὐτοτελές. διὸ καὶ τὸν Εὐριπίδην ἐπαινοῦσιν, εἰπόντα·

Δεῖται γὰρ ὁ θεὸς, εἴπερ ἔστ' ὄντως θεός,
Οἴδε οὐδενὸς ἀοιδῶν δύστηνοι λόγοι.

ἀλλ' ὅ γε Χρύσιππος, ἐν οἷς παρεθέμην, αὐτάρκη μόνον εἶναι τὸν κόσμον φησὶ, διὰ τὸ μόνον ἐν αὑτῷ πάντα ἔχειν, ὧν δεῖται. τί οὖν ἔπεται τῷ μόνον αὐτάρκη τὸν κόσμον εἶναι; τὸ μήτε τὸν ἥλιον αὐτάρκη μήτε τὴν σελήνην εἶναι, μήτ' ἄλλον τινὰ τῶν θεῶν. αὐτάρκεις δὲ μὴ ὄντες, οὐκ ἂν εἶεν εὐδαίμονες οὐδὲ μακάριοι.

XLI. Τὸ βρέφος ἐν τῇ γαστρὶ φύσει τρέφεσθαι, νομίζει, καθάπερ φυτόν· ὅταν δὲ τεχθῇ, ψυχούμενον ὑπὸ τοῦ ἀέρος καὶ στομούμενον τὸ πνεῦμα μεταβάλλειν, καὶ γίνεσθαι ζῶον· ὅθεν οὐκ ἄπο τρό-

που τὴν ψυχὴν ὠνομάσθαι παρὰ τὴν φύξιν. αὐτὸς δὲ πάλιν, τὴν ψυχὴν ἀραιότερον πνεῦμα τῆς φύσεως καὶ λεπτομερέστερον ἡγεῖται, μαχόμενος αὐτῷ. πῶς γὰρ οἷόν τε, λεπτομερὲς ἐκ παχυμεροῦς καὶ ἀραιὸν γενέσθαι κατὰ περίψυξιν καὶ πύκνωσιν; ὃ δὲ μεῖζόν ἐστι, πῶς περιψύξει γίνεσθαι τὸ ἔμψυχον ἀποφαινόμενος, ἔμψυχον ἡγεῖται τὸν ἥλιον, πύρινον ὄντα, καὶ γεγενημένον ἐκ τῆς ἀναθυμιάσεως εἰς πῦρ μεταβαλούσης; λέγει γὰρ ἐν τῷ τρίτῳ περὶ Φύσεως· Ἡ δὲ πυρὸς μεταβολή ἐστι τοιαύτη· διὶ ἀέρος εἰς ὕδωρ τρέπεται· κἀκ τούτου, γῆς ὑφιστημένης, ἀὴρ ἀναθυμιᾶται· λεπτυνομένου δὲ τοῦ ἀέρος, ὁ αἰθὴρ περιέχεται κύκλῳ· οἱ δ' ἀστέρες ἐκ θαλάσσης μετὰ τοῦ ἡλίου ἀνάπτονται. τί οὖν ἀνάψει περιψύξεως ἐναντιώτερον, ἢ διαχύσει πυκνώσεως; τὰ μὲν ὕδωρ καὶ γῆν ἐκ πυρὸς καὶ ἀέρος ποιεῖ, τὰ δ' εἰς πῦρ καὶ ἀέρα τρέπει τὸ ὑγρὸν καὶ γεῶδες. ἀλλ' ὅμως, ὅπου μὲν τὴν ἄναψιν, ὅπου δὲ τὴν περίψυξιν, ἀρχὴν ἐμψυχίας ποιεῖ. καὶ μὴν ὅταν ἐκπύρωσις γένηται, διόλου ζῇν καὶ ζῶον εἶναί φησι· σβεννύμενον δ' αὖθις καὶ παχυνόμενον, εἰς ὕδωρ καὶ γῆν καὶ τὸ σωματοειδὲς τρέπεσθαι. λέγει δ' ἐν τῷ πρώτῳ περὶ Προνοίας· Διόλου μὲν γὰρ ὢν ὁ κόσμος πυρώδης, εὐθὺς καὶ ψυχή ἐστιν ἑαυτοῦ καὶ ἡγεμονικόν· ὅτε δὲ μεταβαλὼν εἰς τε τὸ ὑγρὸν καὶ τὴν ἐναπολειφθεῖσαν ψυχήν, τρόπον τινὰ εἰς σῶμα καὶ ψυχὴν μεταβάλλων, ὥστε συνεστάναι ἐκ τούτων, ἄλλον τινὰ ἔχει λόγον. ἐνταῦθα δήπου σαφῶς τῇ μὲν ἐκπυρώσει καὶ τὰ ἄψυχα τοῦ κόσμου φησὶν εἰς τὸ ἔμψυχον τρέπε-

. τῇ δὲ σβέσει πάλιν καὶ τὴν ψυχὴν ἀνίεσθαι
ἀνυγραίνεσθαι, μεταβάλλουσαν εἰς τὸ σωματο-
ς. ἄτοπος οὖν φαίνεται τῇ περιψύξει νῦν μὲν ἐξ
ισθήτων ποιῶν ἔμψυχα, νῦν δ' εἰς ἀναίσθητα
ἄψυχα μεταβάλλων τὸ πλεῖστον μέρος τῆς τοῦ
σμου ψυχῆς. ἄνευ δὲ τούτων, ὁ περὶ ψυχῆς γενέ-
ως αὐτῷ λόγος μαχομένην ἔχει πρὸς τὸ δόγμα τὴν
πόδειξιν. γίνεσθαι μὲν γάρ, φησι, τὴν ψυχήν,
ταν τὸ βρέφος ἀποτεχθῇ, καθάπερ στομώσει τῇ
περιψύξει τοῦ πνεύματος μεταβαλόντος· ἀποδείξει
δὲ χρῆται τοῦ γεγονέναι τὴν ψυχήν, καὶ μεταγενε-
στέραν εἶναι, μάλιστα τῷ καὶ τὸν τρόπον καὶ τὸ ἦθος
ἐξομοιοῦσθαι τὰ τέκνα τοῖς γονεῦσι. βλέπεται δ' ἡ
τούτων ἐναντίωσις. οὐ γὰρ οἷόν τε τὴν ψυχὴν πρὸ
τῆς ἀποκυήσεως ἠθοποιεῖσθαι, γεννωμένην μετὰ
τὴν ἀποκύησιν· ἢ συμβήσεται, πρὶν ἢ γενέσθαι
ψυχήν, ὁμοίαν εἶναι ψυχῇ, τουτέστι, καὶ εἶναι τῇ
ὁμοιότητι, καὶ μὴ εἶναι διὰ τὸ μήπω γεγονέναι. εἰ
δὲ φησί τις, ὅτι ταῖς κράσεσι τῶν σωμάτων ἐγγινο-
μένης τῆς ὁμοιότητος, αἱ ψυχαὶ γεννώμεναι μετα-
βάλλουσι, διαφθείρει τὸ τεκμήριον τοῦ γεγονέναι
τὴν ψυχήν. ἐνδέχεται γὰρ οὕτω καὶ ἀγέννητον οὖ
σαν, ὅταν ἐπεισέλθῃ, μεταβάλλειν τῇ κράσει τῇ
ὁμοιότητος.

XLII. Τὸν ἀέρα ποτὲ μὲν ἀνωφερῆ καὶ κοῦφ
εἶναί, φησι, ποτὲ δὲ μήτε βαρὺν, μήτε κοῦφον,
μὲν οὖν τῷ δευτέρῳ περὶ Κινήσεως, τό τε πῦρ ἀ
ρὲς ὄν, ἀνωφερὲς εἶναι λέγει, καὶ τοῦτῳ παράτ
σίως τὸν ἀέρα, τοῦ μὲν ὕδατος τῇ γῇ μᾶλλον π

νεμομένου, τοῦ δ' ἀέρος τῷ πυρί. ἐν δὲ ταῖς Φυσικαῖς Τέχναις, ἐπὶ τὴν ἑτέραν ῥέπει δόξαν, ὡς μήτε βάρος ἐξ αὐτοῦ, μήτε κουφότητα τοῦ ἀέρος ἔχοντος.

XLIII. Τὸν ἀέρα φύσει ζοφερὸν εἶναι λέγει, καὶ τούτῳ τεκμηρίῳ χρῆται τοῦ καὶ ψυχρὸν εἶναι πρώτως· ἀντικεῖσθαι γὰρ αὐτοῦ τὸ μὲν ζοφερὸν πρὸς τὴν λαμπρότητα, τὸ δὲ ψυχρὸν πρὸς τὴν θερμότητα, τοῦ πυρός. ταῦτα κινῶν ἐν τῷ πρώτῳ τῶν Φυσικῶν Ζητημάτων, πάλιν ἐν τοῖς περὶ Ἕξεων, οὐδὲν ἄλλο τὰς ἕξεις πλὴν ἀέρας εἶναί φησιν· ὑπὸ τούτων γὰρ συνέχεται τὰ σώματα· καὶ τοῦ ποιόν ἕκαστον εἶναι τῶν ἕξει συνεχομένων αἴτιος ὁ συνέχων ἀήρ ἐστιν, ὃν σκληρότητα μὲν ἐν σιδήρῳ, πυκνότητα δ' ἐν λίθῳ, λευκότητα δ' ἐν ἀργύρῳ καλοῦσι· πολλὴν ἀτοπίαν καὶ μάχην τούτων ἐχόντων. εἰ μὲν γὰρ μένει, ὁποῖός ἐστι φύσει, πῶς τὸ μέλαν ἐν τῷ μὴ λευκῷ λευκότης γένεται, καὶ τὸ μαλθακὸν ἐν τῷ μὴ σκληρῷ σκληρότης, καὶ τὸ μανὸν ἐν μὴ πυκνῷ πυκνότης; εἰ δὲ μιγνύμενος ἐν τούτοις ἐξίσταται καὶ συνομοιοῦται, πῶς ἕξις ἐστὶν, ἢ δύναμις, ἢ αἰτία τούτων, ὑφ' ὧν κρατεῖται; πάσχοντος γάρ ἐστιν, οὐ δρῶντος, οὐδὲ συνέχοντος, ἀλλ' ἐξασθενοῦντος, ἢ τοιαύτη μεταβολὴ, καθ' ἣν ἀπόλλυσι τὰς αὐτοῦ ποιότητας. καίτοι πανταχοῦ τὴν ὕλην ἀργὸν ἐξ ἑαυτῆς καὶ ἀκίνητον ὑποκεῖσθαι ταῖς ποιότησιν ἀποφαίνουσι, τὰς δὲ ποιότητας πνεύματα οὔσας καὶ τόνους ἀερώδεις, οἷς ἂν ἐγγένωνται μέρεσι τῆς ὕλης εἰδοποιεῖν ἕκαστα καὶ σχηματίζειν. ταῦτ' οὖν ἔνεστι λέγειν αὐτοῖς, τὸν ἀέρα φύσει τοιοῦτον ὑποτιθεμὲ

νοις· ἔξις γὰρ ὢν καὶ τόνος αὐτῷ συνεξομοιώσει τῶν σωμάτων ἕκαστον, ὥστε μέλαν εἶναι καὶ μιλθακόν. εἰ δὲ τῇ πρὸς ἐκεῖνα κράσει τὰς ἐναντίας λαμβάνει μορφὰς, ἃς ἔχειν πέφυκεν ὕλη· τρόπον τινὰ τῆς ὕλης οὐκ αἴτιον, οὐδὲ δύναμίς ἐστιν.

XLIV. Ὅτι τοῦ κόσμου κενὸν ἐκτὸς ἄπειρόν ἐστι, τὸ δ' ἄπειρον οὔτ' ἀρχὴν, οὔτε μέσον, οὔτε τελευταῖον ἔχει, πολλάκις ὑπ' αὐτοῦ λέγεται. καὶ τοῦτο μάλιστα τὴν λεγομένην ὑπ' Ἐπικούρου τῆς ἀτόμου κάτω φορὰν ἐξ αὐτῆς ἀναιροῦσιν, οὐκ οὔσης ἐν ἀπείρῳ διαφορᾶς, καθ' ἣν τὸ μὲν ἄνω, τὸ δὲ κάτω νοεῖται γινόμενον. ἀλλ' ἔν γε τῷ τετάρτῳ περὶ Δυνατῶν μέσον τινὰ τόπον καὶ μέσην χώραν ὑποθέμενος, ἐνταῦθά φησιν ἱδρύσθαι τὸν κόσμον· ἔστι δ' ἡ λέξις αὕτη· Διὸ καὶ ἐπὶ τοῦ κόσμου εἰ φθαρτέον, αὐτὸν φθαρτὸν εἶναι, λόγου οἶομαι δεῖσθαι. οὐ μὴν ἀλλὰ μᾶλλον ἐμοὶ φαίνεται οὕτως ἔχειν. σίονεὶ δ' εἰς τὴν ὥσπερ ἀφθαρσίαν πολύ τι αὐτῷ συνεργεῖ καὶ ἡ τῆς χώρας κατάληψις, οἷον διὰ τὸ ἐν μέσῳ εἶναι· ἐπεὶ, εἰ ἀλλαχῆ νοηθείη ὤν, καὶ παντελῶς ἂν αὐτῷ συνάπτοι ἡ φθορά. καὶ μετὰ μικρὸν αὖθις· Οὕτω γάρ πως καὶ ἡ οὐσία συντέτευχεν ἀϊδίως τὸν μέσον κατειληφυῖα τόπον, εὐθὺς τοιάδε τις οὖσα, ὥστε καθ' ἕτερον τρόπον, ἀλλὰ καὶ διὰ τὴν συντυχίαν μὴ ἐπιδέχεσθαι αὐτὴν φθοράν, κατὰ τοῦτ' εἶναι ἀΐδιον. ταῦτα μίαν μὲν ἔχει καταφατῆ καὶ βλεπομένην ἐναντίωσιν, ἐν ἀπείρῳ μέσον τινὰ τόπον, καὶ μέσην χώραν ἀπολείποντος· δευτέραν δ' ἀϋληλοτέραν μὲν, ἀλογωτέραν δὲ ταύτης. οἰόμενος

ρ, οὐκ ἂν ἄφθαρτον διαμένειν τὸν κόσμον, εἰ
τ᾽ ἄλλο μέρος αὐτῷ τοῦ κενοῦ συντέτευχε γενέσθαι
ν ἴδρυσιν, δῆλός ἐστι δεδιὼς, μὴ, τῶν μερῶν τῆς
σίας ἐπὶ τὸ μέσον φερομένων, διάλυσις καὶ φθορὰ
ῦ κόσμου γένοιτο. ταῦτα δ᾽ οὐκ ἂν ἐφοβεῖτο, μὴ
σει τὰ σώματα φέρεσθαι πανταχόθεν ἐπὶ τὸ μέσον
ούμενος, οὐ τῆς οὐσίας, ἀλλὰ τῆς περιεχούσης τὴν
σίαν χώρας· περὶ οὗ καὶ πολλάκις εἴρηκεν, ὡς ἄδυ-
του καὶ παρὰ φύσιν ὄντος· οὐ γὰρ ὑπάρχειν ἐν
κενῷ διαφορὰν, ἢ τὰ σώματα δευρὶ μᾶλλον ἢ
υρὶ προσάγεται· τὴν δὲ τοῦ κόσμου σύνταξιν,
τίαν εἶναι τῆς κινήσεως ἐπὶ τὸ κέντρον, καὶ τὸ μέ-
ν αὐτοῦ, νευόντων καὶ φερομένων πανταχόθεν.
κεῖ δ᾽ εἰς τοῦτο παραθέσθαι λέξιν ἐκ τοῦ δευτέρου
ρὶ Κινήσεως. ὑπειπὼν γὰρ, ὅτι τέλειον μὲν ὁ κό-
ος σῶμά ἐστιν, οὐ τέλεα δὲ τὰ τοῦ κόσμου μέρη,
πρὸς τὸ ὅλον πως ἔχειν, καὶ μὴ καθ᾽ αὑτὰ εἶναι·
περὶ τῆς κινήσεως αὐτοῦ διελθὼν, ὡς ἐπὶ τὴν
μμονὴν καὶ τὴν συνοχὴν τὴν ἑαυτοῦ κινεῖσθαι διὰ
ν μερῶν πάντων πεφυκότος, οὐκ ἐπὶ τὴν διάλυσιν
ὶ τὴν θρύψιν, ταῦτ᾽ εἴρηκεν· Οὕτω δὲ τοῦ ὅλου
νομένου εἰς ταυτὸ, καὶ κινουμένου, καὶ τῶν μο-
ων ταύτην τὴν κίνησιν ἐχόντων ἐκ τῆς τοῦ σώμα-
ς φύσεως, πιθανὸν, πᾶσι τοῖς σώμασιν εἶναι τὴν
ώτην κατὰ φύσιν κίνησιν πρὸς τὸ τοῦ κόσμου μέ-
ν, τῷ μὲν κόσμῳ οὕτωσὶ κινουμένῳ πρὸς αὐτὸν,
ῖς δὲ μέρεσιν, ὡς ἂν μέρεσιν οὖσιν. εἶτα, φήσαι
ἂν, ὦ ἄνθρωπε, τί παθὼν ἐπελάθου τῶν λόγων
ύτων, ὥστε τὸν κόσμον, εἰ μὴ τὴν μέσην χώραν

ἐκ τύχης κατειλήφει, διάλυτον καὶ φθαρτὸν ἀποφαίνειν; εἰ γὰρ αὐτός γε νεύειν ἐπὶ τὸ αὑτοῦ μέσον ἀεὶ πέφυκε, καὶ τὰ μέρη πρὸς τοῦτο κατατείνειν παντα-χόθεν, ὅποι ποτ' ἂν τοῦ κενοῦ μετατεθῇ, συνέχων ἑαυτὸν οὕτω καὶ περιστέλλων, ἄφθαρτος καὶ ἄθρυπτος διαμένει· τὰ γὰρ θρυπτόμενα καὶ σκεδαννύμενα τοῦτο πάσχει διακρίσει τῶν μερῶν ἑκάστου καὶ διαλύσει πρὸς τὸν οἰκεῖον τόπον ἐκ τοῦ παρὰ φύσιν ἀπυῤῥέοντος. σὺ δ', εἰ κατ' ἄλλο τοῦ κενοῦ τεθείη ὁ κόσμος, οἰόμενος οὕτω παντελῆ συνάπτεσθαι φθοράν, καὶ λέγων οὕτω, καὶ διὰ τοῦτο μέσον ἐν τῷ μηδὲν ἔχειν πεφυκότι μέσον τῇ τῶν ἀπείρῳ, τὰς μὲν τάσεις καὶ συνοχὰς καὶ νεύσεις ἐκείνας, ὡς οὐδὲν ἐχέγγυον εἰς σωτηρίαν ἐχούσας, ἄφηκας, τῇ δὲ καταλήψει τοῦ τόπου τὴν σύμπασαν αἰτίαν τῆς διαμονῆς ἀνέθηκας. καίτοι τοῖς προειρημένοις ταυτὶ συνάπτειες, ὥσπερ αὐτὸς σεαυτὸν ἐξελέγξαι φιλοτιμούμενος. Ὃν τρόπον δὲ κινεῖται ἕκαστον τῶν μορίων, συμφυὲς ὂν τῷ λοιπῷ, εὔλογον οὕτω καὶ καθ' αὑτὸ κινεῖσθαι· καὶ εἰ λόγου χάριν νοήσαιμεν αὐτὸ καὶ ὑποθοίμεθα εἶναι ἐν κενῷ τινι τοῦ κόσμου τούτου· ὡς γὰρ ἂν συνεχόμενον πάντοθεν ἐκινεῖτο ἐπὶ τὸ μέσον, μένει ἐν τῇ κινήσει ταύτῃ, κἂν λόγου χάριν ἐξαίφνης περὶ αὐτὸ γένηται κενόν. εἶτα μέρος μὲν ὅτιοῦν ὑπὸ κενοῦ περιληφθὲν οὐκ ἀποβάλλει τὴν ἐπὶ τὸ τοῦ κόσμου μέσον ἄγουσαν ῥοπήν· αὐτὸς δ' ὁ κόσμος, ἂν μὴ τὴν μέσην παρασκευάσῃ χώραν αὐτῷ τὸ αὐτόματον, ἀπολεῖ τὸν συνεκτικὸν τόνον, ἄλλοις ἀλλαχόσε τῆς οὐσίας αὐτοῦ μέρεσι φερομένοις.

XLV. Καὶ ταῦτα μὲν ἔχει μεγάλας ὑπεναντιώσεις πρὸς τὸν φυσικὸν λόγον· ἐκεῖνο δ' ἤδη καὶ πρὸς ὃν περὶ θεοῦ καὶ προνοίας, τὸ τὰ μικρότατα τῶν αἰτίων τούτοις ἀνατιθέντα, τὸ κυριώτατον ἀφαιρεῖσθαι καὶ μέγιστον. τί γάρ ἐστι κυριώτερον τῆς τοῦ ὅσμου διαμονῆς, ἢ τὸ τὴν οὐσίαν ἡνωμένην τοῖς ἄρεσι συνέχεσθαι πρὸς αὑτήν; ἀλλὰ τοῦτό γε συμπέπτωκεν αὐτομάτως κατὰ Χρύσιππον. εἰ γὰρ ἡ τοῦ ὅπου κατάληψις αἰτία τῆς ἀφθαρσίας ἐστὶν, αὕτη δὲ συντυχίᾳ γέγονεν, δῆλον, ὅτι συντυχίας ἔργον ἡ σωτηρία τῶν ὅλων ἐστὶν, οὐχ εἱμαρμένης καὶ προνοίας.

XLVI. Ὁ δὲ τῶν Δυνατῶν λόγος πρὸς τὸν τῆς εἱμαρμένης λόγον αὐτῷ πῶς οὐ μαχόμενός ἐστιν; εἰ γὰρ οὐκ ἔστι δυνατὸν, ὅπερ ἢ ἔστιν ἀληθὲς, ἢ ἔσται, κατὰ Διόδωρον, ἀλλὰ πᾶν τὸ ἐπιδεκτικὸν τοῦ γενέσθαι, κἂν μὴ μέλλῃ γενήσεσθαι, δυνατόν ἐστιν, πάντα δυνατὰ πολλὰ τῶν μὴ καθ' εἱμαρμένην ἀνίκητον καὶ ἀνεκβίαστον καὶ περιγενητικὴν ἁπάντων, ἢ εἱμαρμένην δύναμιν ἀπόλλυσιν, ἢ ταύτης, οἵαν ἔφασκε Χρύσιππος, οὔσης, τὸ ἐπιδεκτικὸν τοῦ γενέσθαι πολλάκις εἰς τὸ ἀδύνατον ἐμπεσεῖται· καὶ πᾶν ἐν ἀληθὲς ἀναγκαῖον ἔσται τῇ κυριωτάτῃ πασῶν ἀνάγκῃ πατειλημμένον· πᾶν δὲ ψεῦδος ἀδύνατον, ἣν μεγίστην ἔχον αἰτίαν ἀντιπίπτουσαν αὐτῷ πρὸς τὸ ἀληθὲς γενέσθαι. ᾧ γὰρ ἐν θαλάσσῃ πεπρωμένον ἦν μὴ ἀποθανεῖν, πῶς οἷόν τε τοῦτον ἐπιδεκτικὸν εἶναι τοῦ ἐν γῇ ἀποθανεῖν; τί δὲ τὸν Μεγαρεῖ δυνατόν ἐστιν ἐλθεῖν εἰς Ἀθήνας, ὑπὸ τῆς εἱμαρμένης κωλυόμενον;

XLVII. Ἀλλὰ μὴν καὶ τὰ περὶ τῶν φαντα
λεγόμενα νεανικῶς, πρὸς τὴν εἱμαρμένην ἐναντι
ται. τὴν γὰρ φαντασίαν βουλόμενος οὐκ οὖσαν
τοτελῆ τῆς συγκαταθέσεως αἰτίαν ἀποδεικνύειν,
ρηκεν, ὅτι βλάψουσιν οἱ σοφοὶ ψευδεῖς φαντα
ἐμποιοῦντες, ἂν αἱ φαντασίαι ποιῶσιν αὐτοτελῆ
συγκαταθέσεις· πολλάκις γὰρ οἱ σοφοὶ ψεύδει χ
ται πρὸς τοὺς φαύλους, καὶ φαντασίαν παρισ
πιθανὴν, οὐ μὴν αἰτίαν τῆς συγκαταθέσεως·
καὶ τῆς ὑπολήψεως αἰτία τῆς ψευδοῦς ἔσται καὶ
ἀπάτης. ταῦτ' οὖν ἄν τις ἀπὸ τοῦ σοφοῦ μετ
ρων ἐπὶ τὴν εἱμαρμένην, λέγῃ, μὴ διὰ τὴν εἱμα
νην γίνεσθαι τὰς συγκαταθέσεις· ἐπεὶ διὰ τὴ
μαρμένην ἔσονται καὶ ψευδεῖς συγκαταθέσεις,
ὑπολήψεις, καὶ ἀπάται, καὶ βλαβήσονται διὰ
εἱμαρμενην· ὁ τοῦ βλάπτειν τὸν σοφὸν ἐξαιρο
νος λόγος, ἅμα καὶ τὸ μὴ πάντων αἰτίαν εἶναι
εἱμαρμένην ἀποδείκνυσιν. εἰ γὰρ μήτε δοξάζο
μήτε βλάπτονται διὰ τὴν εἱμαρμένην δῆλον,
οὐδὲ κατορθοῦσιν, οὐδὲ φρονοῦσιν, οὐδὲ ὑπο
βάνουσι βεβαίως, οὐδ' ὠφελοῦνται διὰ τὴν εἱ
μένην· ἀλλ' οἴχεται τὸ πάντων αἰτίαν εἶναι τὴ
μαρμένην. ὁ δὲ λέγων, ὅτι Χρύσιππος οὐκ αὐτο
τούτων αἰτίαν, ἀλλὰ προκαταρκτικὴν μόνον ἐπο
τὴν εἱμαρμένην, ἐκεῖ πάλιν αὐτὸν ἀποδείξει μ
μενον πρὸς αὐτὸν, ὅπου τὸν μὲν Ὅμηρον ὑπερ
ἐπαινεῖ περὶ τοῦ Διὸς λέγοντα·

Τῷ ἔχεθ', ὅττι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκά
Ἢ ἀγαθόν.

καὶ τὸν Εὐριπίδην·

Ὦ Ζεῦ, τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς
Φρονεῖν λέγοιμ' ἄν; σοῦ γὰρ ἐξηρτήμεθα,
Δρῶμέν τε τοιάδ', ἃ σὺ τυγχάνεις φρονῶν.

αὐτὸς δὲ πολλὰ τούτοις ὁμολογούμενα γράφει, τέλος δέ φησι μηδὲν ἴσχεσθαι μηδὲ κινεῖσθαι μηδὲ τοὐλάχιστον, ἄλλως ἢ κατὰ τὸν τοῦ Διὸς λόγον· ὃν τῇ εἱμαρμένῃ τὸν αὐτὸν εἶναι. ἔτι τοίνυν, τὸ μὲν προκαταρκτικὸν αἴτιον ἀσθενέστερόν ἐστι τοῦ αὐτοτελοῦς, καὶ οὐκ ἐξικνεῖται κρατούμενον ὑπ' ἄλλων ἐξανισταμένων· τὴν δ' εἱμαρμένην αἰτίαν ἀνίκητον καὶ ἀκώλυτον καὶ ἄτρεπτον ἀποφαίνων, αὐτὸς Ἄτροπον καλεῖ καὶ Ἀδράστειαν καὶ Ἀνάγκην καὶ Πεπρωμένην, ὡς πέρας ἅπασιν ἐπιτιθεῖσαν. πότερον οὖν τὰς συγκαταθέσεις μὴ λέγομεν ἐφ' ἡμῖν εἶναι, μηδὲ τὰς ἀρετάς, μηδὲ τὰς κακίας, μηδὲ τὸ κατορθοῦν, μηδὲ τὸ ἁμαρτάνειν, ἢ τὴν εἱμαρμένην λέγωμεν ἐλλείπουσαν εἶναι, καὶ τὴν πεπρωμένην ἀπεράτωτον, καὶ τὰς τοῦ Διὸς κινήσεις καὶ σχέσεις ἀσυντελέστους; τούτων γὰρ ἕπεται τὰ μὲν τῷ αὐτοτελῆ, τὰ δὲ τῷ προκαταρκτικὴν μόνον αἰτίαν εἶναι, τὴν εἱμαρμένην. αὐτοτελὴς μὲν γὰρ αἰτία πάντων οὖσα, τὸ ἐφ' ἡμῖν καὶ τὸ ἑκούσιον ἀναιρεῖ· προκαταρκτικὴ δέ, τὸ ἀκώλυτος εἶναι καὶ τελεσιουργός, ἀπόλλυσιν. οὐδὲ γὰρ ἅπαξ ἡ δίς, ἀλλὰ πανταχοῦ, μᾶλλον δ' ἐν πᾶσι τοῖς Φυσικοῖς γέγραφε, ταῖς μὲν κατὰ μέρος φύσεσι καὶ κινήσεσιν ἐνστήματα πολλὰ γίνεσθαι καὶ κωλύματα, τῇ δὲ τῶν ὅλων, μηδέν. καὶ πῶς εἰς τὰς κατὰ μέρος ἡ τῶν ὅλων διατείνουσα κίνησιν, ἐμποδιζομένων καὶ

κωλυομένων ἐκείνων, ἀνεμπόδιστος αὐτὴ καὶ ἀκώλυτός ἐστιν; οὐδὲ γὰρ ἡ τοῦ ἀνθρώπου φύσις ἀνεμπόδιστος, εἰ μηδὲ ἡ τοῦ ποδὸς ἢ τῆς χειρός· οὐδ' ἡ τῆς νεὼς κίνησις ἀκώλυτος ἂν εἴη, εἰ αἱ περὶ τὸ ἱστίον ἢ τὴν εἰρεσίαν ἐνέργειαι κωλύσεις τινὰς ἔχουσιν. ἄνευ δὲ τούτων, εἰ μὲν αἱ φαντασίαι μὴ γίνονται κατ' εἱμαρμένην τῶν συγκαταθέσεων· εἰ δ' ὅτι ποιᾶς φαντασίας ἀγωγοὺς ἐπὶ τὴν συγκατάθεσιν, κατ' εἱμαρμένην αἱ συγκαταθέσεις γίνεσθαι λέγονται, πῶς οὐ μάχεται πρὸς ἑαυτὴν πολλάκις ἐν τοῖς μεγίστοις διαφόρους ποιοῦσα φαντασίας, καὶ περισπῶσας ἐπὶ ταὐναντία τὴν διάνοιαν; ὅτε τοὺς προστιθεμένους τῇ ἑτέρᾳ καὶ μὴ ἐπέχοντας, ἁμαρτάνειν λέγουσιν· ἂν μὲν ἀδήλοις εἴκωσι, προσπίπτοντας· ἂν δὲ ψευδέσι, διαψευδομένους· ἂν δὲ κοινῶς ἀκαταλήπτοις, δοξάζοντας. καίτοι δὴ τριῶν ὄντων, ἢ μὴ πᾶσαν εἶναι φαντασίαν εἱμαρμένης ἔργον, ἢ πᾶσαν παραδοχὴν καὶ συγκατάθεσιν φαντασίας ἀναμάρτητον, ἢ μηδ' αὐτὴν τὴν εἱμαρμένην ἀνεπίληπτον· οὐκ οἶδα γὰρ, ὅπως ἀνέγκλητός ἐστι, τοιαύτας ποιοῦσα φαντασίας, αἷς τὸ μὴ μάχεσθαι μηδ' ἀντιβαίνειν, ἀλλ' ἕπεσθαι καὶ εἴκειν, ἔγκλητόν ἐστι. καὶ μὴν ἔν γε τοῖς πρὸς τοὺς Ἀκαδημαϊκοὺς ἀγῶσιν ὁ πλεῖστος αὐτῷ τε Χρυσίππῳ καὶ Ἀντιπάτρῳ πόνος γέγονε περὶ τοῦ μήτε πράττειν μήτε ὁρμᾶν ἀσυγκαταθέτως, ἀλλὰ πλάσματα λέγειν καὶ κενὰς ὑποθέσεις, τοὺς ἀξιοῦντας, οἰκείας φαντασίας γενομένης, εὐθὺς ὁρμᾶν μὴ εἴξαντας μηδὲ συγκαταθεμένους. αὖθις δέ φησι Χρύσιππος, καὶ τὸν θεὸν ψευδεῖς ἐμποιεῖν φαντα-

ς καὶ τὸν σοφὸν, οὐ συγκατατιθεμένων, οὐδ' εἰ-
των δεομένους ἡμῶν, ἀλλὰ πραττόντων μόνον,
ὁρμώντων ἐπὶ τὸ φαινόμενον· ἡμᾶς δὲ φαύλους
ας, ὑπ' ἀσθενείας συγκατατίθεσθαι ταῖς τοιαύ-
ς φαντασίαις. ἡ δὲ τούτων τῶν λόγων ταραχὴ καὶ
φορὰ πρὸς αὐτοὺς, οὐ πάνυ δυσθεώρητός ἐστιν.
ἀρ' οὐ δεόμενος συγκατατιθεμένων, ἀλλὰ πραττ-
των μόνον, οἷς ἐνδίδωσι τὰς φαντασίας, εἴτε
ς, εἴτε σοφὸς, οἶδεν, ὅτι πρὸς τὸ πράττειν ἀρ-
σιν αἱ φαντασίαι, καὶ παρέλκουσιν αἱ συγκατα-
ιεις· ὡς εἴ γε γινώσκων, ὅτι πρακτικὴν ὁρμὴν οὐ
ρίστησι φαντασία δίχα συγκαταθέσεως, ψευδεῖς
ργάζεται καὶ πιθανὰς φαντασίας, ἑκὼν αἴτιός
ι τοῦ προσπίπτειν καὶ ἁμαρτάνειν ἀκαταλήπτοις
κατατιθεμένους.

ΣΥΝΟΨΙΣ

ΟΤΙ ΠΑΡΑΔΟΞΟΤΕΡΑ ΟΙ ΣΤΩΙΚΟΙ ΤΩΝ ΠΟΙΗΤΩΝ ΛΕΓΟΥΣΙΝ.

Πινδάρου Καινεὺς εὐθύναν ὑπεῖχεν, ἀπιθάνως
ηκτος οἰδήρῳ καὶ ἀπαθὴς τὸ σῶμα πλασσόμενος,
κατασὺς ἄτρωτος ὑπὸ γῆν,

Σχίσας ὁρθῷ ποδὶ γᾶν.

ὁ δὲ Στωϊκὸς Λαπίθης, ὥσπερ ἐξ ἀδαμαντίνης ὕλης αὐτῶν τῆς ἀπαθείας κεχαλκευμένος, οὐκ ἄτρωτός στιν οὐδ' ἄνοσος, οὐδ' ἀναλγής, ἄφοβος δὲ μένει ἄλυπος καὶ ἀήττητος, καὶ ἀβίαστος, τιτρωσκόμε ἀλγῶν, στρεβλούμενος, ἐν κατασκαφαῖς πατρίδος πάθεσι τοιούτοις. καὶ ὁ μὲν Πινδάρου Καινεὺς βα μενος οὐ τιτρώσκεται· ὁ δὲ τῶν Στωϊκῶν σοφὸς ἐγκλ μενος οὐ κωλύεται, καὶ κατακρημνιζόμενος οὐκ ἀνα ζεται, καὶ στρεβλούμενος οὐ βασανίζεται, καὶ πη μενος οὐ βλάπτεται, καὶ πίπτων ἐν τῷ παλαίειν τητός ἐστι, καὶ περιτειχιζόμενος ἀπολιόρκητος, πωλούμενος ὑπὸ τῶν πολεμίων ἀνάλωτος· οὐθὲν πλοίων διαφέρων, οἷς ἐπιγέγραπται μὲν Εὔπλ καὶ Πρόνοια Σώζουσα, καὶ Θεραπεία, χειμάζετα καὶ συντρίβεται καὶ ἀνατρέπεται.

II. *Ὁ Εὐριπίδου Ἰόλαος ἐξ ἀδρανοῦς καὶ πε λικος εὐχῇ τινι νέος καὶ ἰσχυρὸς ἐπὶ τὴν μάχην ἄ γέγονεν· ὁ δὲ τῶν Στωϊκῶν σοφός, χθὲς μὲν ἦν ἔ στος ἅμα καὶ κάκιστος, τήμερον δ' ἄφνω μετ βλεπεν εἰς ἀρετήν, καὶ γέγονεν ἐκ ῥυσσοῦ καὶ ὠχ καὶ κατ' Αἰσχύλον, ἐξ*

Ὀσφυαλγοῦς καὶ ὀδυνοσπάδος λυγροῦ
Γέροντος,

εὐπρεπὴς, θεοειδὴς, καλλίμορφος.

III. *Καὶ τοῦ Ὀδυσσέως ἡ Ἀθηνᾶ τὴν ῥυσσό καὶ φαλακρότητα καὶ ἀμορφίαν ἀφῄρηκεν, ὅπως νείη καλός· ὁ δὲ τούτων σοφός, οὐκ ἀπολείπο τὸ σῶμα τοῦ γήρως, ἀλλὰ καὶ προσεπιθέντος*

προσεπιχώσαντος, μένων κυρτὸς, ἂν οὕτω τύχῃ, νωδὸς, ἑτερόφθαλμος, οὔτ' αἰσχρὸς, οὔτε δύσμορφος, οὔτε κακοπρόσωπός ἐστιν· ὁ γὰρ Στωϊκὸς ἔρως, ὥσπερ οἱ κάνθαροι λέγονται τὸ μὲν μύρον ἀπολιπεῖν, τὰ δὲ δυσώδη διώκειν· οὕτως τοῖς αἰσχίστοις καὶ ἀμορφοτάτοις ὁμιλῶν, ὅταν εἰς εὐμορφίαν καὶ κάλλος ὑπὸ σοφίας μεταβάλωσιν, ἀποτρέπεται.

IV. Ὁ παρὰ τοῖς Στωϊκοῖς κάκιστος, ἂν οὕτω τύχῃ, πρωΐ, δείλης ἄριστος· καὶ καταδαρθὼν ἔμπληκτος καὶ ἀμαθὴς καὶ ἄδικος καὶ ἀκόλαστος καὶ, ναὶ μὰ Δία, δοῦλος καὶ πένης καὶ ἄπορος, αὐθημερὸν ἀνίσταται καὶ βασιλεὺς καὶ πλούσιος καὶ ὄλβιος γεγονὼς, σώφρων τε καὶ δίκαιος καὶ βέβαιος καὶ ἀδόξαστος· οὐ γένεια φύσας, οὐδ' ἥβην ἐν σώματι νέῳ καὶ ἁπαλῷ, ἀλλ' ἐν ἀσθενεῖ καὶ ἁπαλῇ ψυχῇ καὶ ἀνάνδρῳ καὶ ἀβεβαίῳ, νοῦν τέλειον, ἄκραν φρόνησιν, ἰσόθεον διάθεσιν, ἀδόξαστον ἐπιστήμην καὶ ἀμετάπτωτον ἕξιν ἐσχηκώς, οὐδὲν ἐνδούσης πρότερον ὑτῷ τῆς μοχθηρίας, ἀλλ' ἐξαίφνης, ὀλίγου δέω εἰπεῖν, ἥρως τις ἢ δαίμων ἢ θεὸς ἐκ θηρίου τοῦ κακίστου γενόμενος. Ἐκ τῆς Στοᾶς γὰρ λαβύντα τὴν ἀρετὴν, ἔστιν εἰπεῖν,

Εὖξαι εἴ τι βούλει, πάντα σοι γενήσεται·

πλοῦτον φέρει, βασιλείαν ἔχει, τύχην δίδωσιν, εὐπότμους ποιεῖ καὶ ἀπροσδεεῖς καὶ αὐτάρκεις, μίαν οἴκοθεν δραχμὴν οὐκ ἔχοντας.

V. Ὁ μὲν γὰρ ποιητικὸς μῦθος τὸ κατὰ λόγον φυλάττων, οὐδαμοῦ προλείπει τὸν Ἡρακλέα τῶν ἀναγκαίων δεδεμένον, ἀλλ' ὥσπερ ἐκ πηγῆς ἐπιῤῥεῖ αὐτῷ

καὶ τοῖς συνοῦσιν· ὁ δὲ τὴν Στωϊκὴν λαβὼν Ἀμ
θειαν, πλούσιος μὲν γέγονεν, ἐρανίζεται δὲ τρο
παρ' ἑτέρων· καὶ βασιλεὺς μέν ἐστι, μισθοῦ δὲ ἐ
λύει συλλογισμούς· καὶ πάντα μὲν ἔχει μόνος, ὁ
κιον δὲ τελεῖ· καὶ ἅλφιτα ὠνεῖται, πολλάκις δα
ζόμενος, ἢ μεταιτῶν παρὰ τῶν οὐδὲν ἐχόντων.

VI. Καὶ ὁ μὲν Ἰθακησίων βασιλεὺς προσα
λανθάνειν ὃς ἐστι βουλόμενος, καὶ ποιῶν ἑαυτὸν
ἀλιστα

Πτωχῷ λευγαλέῳ ἐναλίγκιον· —

ὁ δὲ ἐκ τῆς Στοᾶς βοῶν μέγα καὶ κεκραγὼς· Ἰ
μόνος εἰμὶ βασιλεύς, ἐγὼ μόνος εἰμὶ πλούσιος, ὁ
ται πολλάκις ἐπ' ἀλλοτρίαις θύραις λέγων·

Δὸς χλαῖναν Ἱππώνακτι· κάρτα γὰρ ῥιγῶ
Καὶ βαμβακύζω.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ ΤΩΝ ΚΟΙΝΩΝ ΕΝΝΟΙΩΝ ΠΡ ΤΟΥΣ ΣΤΩΙΚΟΥΣ.

I. ΛΑΜΠΡΙΑΣ. Σοὶ μὲν εἰκὸς, ὦ Διαδούμ
μὴ πάνυ μέλειν, εἴ τινι δοκεῖτε παρὰ τὰς κοινὰ
λοσοφεῖν ἐννοίας· ὁμολογοῦντί γε καὶ τῶν ε

σεων περιφρονεῖν· ἀφ' ὧν σχεδὸν αἱ πλεῖσται γεγόνασιν ἔννοιαι, τήν γε περὶ τὰ φαινόμενα πίστιν ἔδραν ἔχουσαι καὶ ἀσφάλειαν. ἐμὲ δὲ πολλῆς, ὥς γ' ἐμαυτῷ φαίνομαι, καὶ ἀτόπου μεστὸν ἥκοντα ταραχῆς, εἴτε τισὶ λόγοις, εἴτ' ἐπῳδαῖς, εἴτ' ἄλλον ἐπίστασαι τρόπον παρηγορίας, οὐκ ἂν φθάνοις ἰατρεύων; οὕτω σοι διασέσεισμαι καὶ γέγονα μετέωρος ὑπὸ Στωϊκῶν ἀνδρῶν, τὰ μὲν ἄλλα βελτίστων, καὶ νὴ Δία συνήθων καὶ φίλων, πικρῶς δ' ἄγαν ἐγκειμένων τῇ Ἀκαδημίᾳ καὶ ἀπεχθῶς· οἵ γε πρὸς μικρὰ καὶ μετ' αἰδοῦς τὰ παρ' ἐμοῦ λεχθέντα σεμνῶς, οὐ γὰρ ψεύσομαι, οὐ πράως ἠτιάσαντο· τοὺς δὲ πρεσβυτέρους μετ' ὀργῆς σοφιστὰς καὶ λυμεῶνας τῶν ἐν φιλοσοφίᾳ, καὶ δογμάτων ὁδῷ βαδιζόντων ἀνατροπέας, καὶ πολλὰ τούτων ἀτοπώτερα λέγοντες καὶ νομίζοντες, τέλος ἐπὶ τὰς ἐννοίας ἐρρύησαν, ὡς δή τινα σύγχυσιν καὶ ἀναδασμὸν αὐταῖς ἐπάγοντας τοὺς ἐκ τῆς Ἀκαδημίας. εἰτά τις εἶπεν αὐτῶν, ὡς οὐκ ἀπὸ τύχης, ἀλλ' ἐκ προνοίας θεῶν, νομίζοι μετ' Ἀρκεσίλαον καὶ πρὸ Καρνεάδου γεγονέναι Χρύσιππον, ὧν ὁ μὲν ὑπῆρξε τῆς εἰς τὴν συνήθειαν ὕβρεως καὶ παρανομίας, ὁ δ' ἤνθησε μάλιστα τῶν Ἀκαδημαϊκῶν. Χρύσιππος οὖν ἐν μέσῳ γενόμενος, ταῖς πρὸς Ἀρκεσίλαον ἀντιγραφαῖς καὶ τὴν Καρνεάδου δεινότητα ἐνέφραξε, πολλὰ μὲν τῇ αἰσθήσει καταλιπών, ὥσπερ εἰς πολιορκίαν βοηθήματα, τὸν δὲ περὶ τὰς προλήψεις καὶ τὰς ἐννοίας τάραχον ἀφελὼν παντάπασι, καὶ διορθώσας ἑκάστην, καὶ θέμενος εἰς τὸ οἰκεῖον· ὥστε καὶ τοὺς αὖθις ἐκπρούειν τὰ πράγματα καὶ παρα-

καὶ τοῖς συνοῦσιν· ὁ δὲ τὴν Στωϊκὴν λαβὼν Ἀμάθειαν, πλούσιος μὲν γέγονεν, ἐρανίζεται δὲ τροφὴν παρ' ἑτέρων· καὶ βασιλεὺς μέν ἐστι, μισθοῦ δὲ ἐναλύει συλλογισμούς· καὶ πάντα μὲν ἔχει μόνος, ἐναίκιον δὲ τελεῖ· καὶ ἄλφιτα ὠνεῖται, πολλάκις δανιζόμενος, ἢ μεταιτῶν παρὰ τῶν οὐδὲν ἐχόντων.

VI. Καὶ ὁ μὲν Ἰθακησίων βασιλεὺς προσαιτῶ λανθάνειν ὅς ἐστι βουλόμενος, καὶ ποιῶν ἑαυτὸν ὡ ·άλιστα

Πτωχῷ λευγαλέῳ ἐναλίγκιον· —

ὁ δὲ ἐκ τῆς Στοᾶς βοῶν μέγα καὶ κεκραγώς· Ἐγὼ μόνος εἰμὶ βασιλεὺς, ἐγὼ μόνος εἰμὶ πλούσιος, ὑφῶται πολλάκις ἐπ' ἀλλοτρίαις Θύραις λέγων·

Δὸς χλαῖναν Ἱππώνακτι· κάρτα γὰρ ῥιγῶ
Καὶ βαμβακύζω.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ ΤΩΝ ΚΟΙΝΩΝ ΕΝΝΟΙΩΝ ΠΡΟΣ ΤΟΥΣ ΣΤΩΙΚΟΥΣ.

I. ΛΑΜΠΡΙΑΣ. Σοὶ μὲν εἰκὸς, ὦ Διαδούμενε μὴ πάνυ μέλειν, εἴ τινι δοκεῖτε παρὰ τὰς κοινὰς φιλοσοφεῖν ἐννοίας· ὁμολογοῦντί γε καὶ τῶν αἰσθή-

τεων περιφρονεῖν· ἀφ' ὧν σχεδὸν αἱ πλεῖσται γεγό-
νασιν ἔννοιαι, τήν γε περὶ τὰ φαινόμενα πίστιν ἔδραν
ἔχουσαι καὶ ἀσφάλειαν. ἐμὲ δὲ πολλῆς, ὡς γ' ἐμαυτῷ
φαίνομαι, καὶ ἀτόπου μεστὸν ἥκοντα ταραχῆς, εἴτε
τισὶ λόγοις, εἴτ' ἐπῳδαῖς, εἴτ' ἄλλον ἐπίστασαι τρό-
πον παρηγορίας, οὐκ ἂν φθάνοις ἰατρεύων; οὕτω
γοι διασέσεισμαι καὶ γέγονα μετέωρος ὑπὸ Στωϊκῶν
ἐνδρῶν, τὰ μὲν ἄλλα βελτίστων, καὶ νὴ Δία συνή-
θων καὶ φίλων, πικρῶς δ' ἄγαν ἐγκειμένων τῇ Ἀκα-
δημίᾳ καὶ ἀπεχθῶς· οἵ γε πρὸς μικρὰ καὶ μετ' αἰ-
σθοῦς τὰ παρ' ἐμοῦ λεχθέντα σεμνῶς, οὐ γὰρ ψεύσο-
μαι, οὐ πράως ἠτιάσαντο· τοὺς δὲ πρεσβυτέρους
ἔτ' ὀργῆς σοφιστὰς καὶ λυμεῶνας τῶν ἐν φιλοσο-
φίᾳ, καὶ δογμάτων ὁδῷ βαδιζόντων ἀνατροπέας, καὶ
πολλὰ τούτων ἀτοπώτερα λέγοντες καὶ νομίζοντες,
τέλος ἐπὶ τὰς ἐννοίας ἐρρύησαν, ὡς δή τινα σύγχυ-
σιν καὶ ἀναδασμὸν αὐταῖς ἐπάγοντας τοὺς ἐκ τῆς
Ἀκαδημίας. εἶτά τις εἶπεν αὐτῶν, ὡς οὐκ ἀπὸ τύ-
χης, ἀλλ' ἐκ προνοίας θεῶν, νομίζοι μετ' Ἀρκεσίλαον
καὶ πρὸ Καρνεάδου γεγονέναι Χρύσιππον, ὧν ὁ μὲν
ὑπῆρξε τῆς εἰς τὴν συνήθειαν ὕβρεως καὶ πυρανο-
μίας, ὁ δ' ἤνθησε μάλιστα τῶν Ἀκαδημαϊκῶν. Χρύ-
σιππος οὖν ἐν μέσῳ γενόμενος, ταῖς πρὸς Ἀρκεσίλαον
ἐντυγραφαῖς καὶ τὴν Καρνεάδου δεινότητα ἐνέφραξε,
πολλὰ μὲν τῇ αἰσθήσει καταλιπών, ὥσπερ εἰς πο-
λιορκίαν βοηθήματα, τὸν δὲ περὶ τὰς προλήψεις καὶ
τὰς ἐννοίας τάραχον ἀφελὼν παντάπασι, καὶ διορ-
θώσας ἑκάστην, καὶ θέμενος εἰς τὸ οἰκεῖον· ὥστε
καὶ τοὺς αὖθις ἐκπρούειν τὰ πράγματα καὶ παρα-

καὶ τοῖς συνοῦσιν· ὁ δὲ τὴν Στωϊκὴν λαβὼν Ἀμάλθειαν, πλούσιος μὲν γέγονεν, ἐρανίζεται δὲ τροφὴν παρ' ἑτέρων· καὶ βασιλεὺς μέν ἐστι, μισθοῦ δὲ ἀναλύει συλλογισμούς· καὶ πάντα μὲν ἔχει μόνος, ἐνοίκιον δὲ τελεῖ· καὶ ἄλφιτα ὠνεῖται, πολλάκις δανειζόμενος, ἢ μεταιτῶν παρὰ τῶν οὐδὲν ἐχόντων.

VI. Καὶ ὁ μὲν Ἰθακησίων βασιλεὺς προσαιτεῖ λανθάνειν ὃς ἐστι βουλόμενος, καὶ ποιῶν ἑαυτὸν ὡς ἀλιστα

Πτωχῷ λευγαλέῳ ἐναλίγκιον· —

ὁ δὲ ἐκ τῆς Στοᾶς βοῶν μέγα καὶ κεκραγώς· Ἐγὼ μόνος εἰμὶ βασιλεὺς, ἐγὼ μόνος εἰμὶ πλούσιος, ὁρᾶται πολλάκις ἐπ' ἀλλοτρίαις θύραις λέγων·

Δὸς χλαῖναν Ἱππώνακτι· κάρτα γὰρ ῥιγῶ
Καὶ βαμβακύζω.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ ΤΩΝ ΚΟΙΝΩΝ ΕΝΝΟΙΩΝ ΠΡΟΣ ΤΟΥΣ ΣΤΩΙΚΟΥΣ.

I. ΛΑΜΠΡΙΑΣ. Σοὶ μὲν εἰκὸς, ὦ Διαδούμενε μὴ πάνυ μέλειν, εἴ τινι δοκεῖτε παρὰ τὰς κοινὰς φιλοσοφεῖν ἐννοίας· ὁμολογοῦντί γε καὶ τῶν αἰσθη-

σεων περιφρονεῖν· ἀφ᾽ ὧν σχεδὸν αἱ πλεῖσται γεγόνασιν ἔννοιαι, τήν γε περὶ τὰ φαινόμενα πίστιν ἕδραν ἔχουσαι καὶ ἀσφάλειαν. ἐμὲ δὲ πολλῆς, ὥς γ᾽ ἐμαυτῷ φαίνομαι, καὶ ἀτόπου μεστὸν ἥκοντα ταραχῆς, εἴτε τισὶ λόγοις, εἴτ᾽ ἐπῳδαῖς, εἴτ᾽ ἄλλον ἐπίστασαι τρόπον παρηγορίας, οὐκ ἂν φθάνοις ἰατρεύων; οὕτω σοι διασέσεισμαι καὶ γέγονα μετέωρος ὑπὸ Στωϊκῶν ἀνδρῶν, τὰ μὲν ἄλλα βελτίστων, καὶ νὴ Δία συνήθων καὶ φίλων, πικρῶς δ᾽ ἄγαν ἐγκειμένων τῇ Ἀκαδημίᾳ καὶ ἀπεχθῶς· οἵ γε πρὸς μικρὰ καὶ μετ᾽ αἰδοῦς τὰ παρ᾽ ἐμοῦ λεχθέντα σεμνῶς, οὐ γὰρ ψεύσομαι, οὐ πράως ἠτιάσαντο· τοὺς δὲ πρεσβυτέρους μετ᾽ ὀργῆς σοφιστὰς καὶ λυμεῶνας τῶν ἐν φιλοσοφίᾳ, καὶ δογμάτων ὁδῷ βαδιζόντων ἀνατροπέας, καὶ πολλὰ τούτων ἀτοπώτερα λέγοντες καὶ νομίζοντες, τέλος ἐπὶ τὰς ἐννοίας ἐρρύησαν, ὡς δή τινα σύγχυσιν καὶ ἀναδασμὸν αὐταῖς ἐπάγοντας τοὺς ἐκ τῆς Ἀκαδημίας. εἰτά τις εἶπεν αὐτῶν, ὡς οὐκ ἀπὸ τύχης, ἀλλ᾽ ἐκ προνοίας θεῶν, νομίζοι μετ᾽ Ἀρκεσίλαον καὶ πρὸ Καρνεάδου γεγονέναι Χρύσιππον, ὧν ὁ μὲν ὑπῆρξε τῆς εἰς τὴν συνήθειαν ὕβρεως καὶ πωρανομίας, ὁ δ᾽ ἤνθησε μάλιστα τῶν Ἀκαδημαϊκῶν. Χρύσιππος οὖν ἐν μέσῳ γενόμενος, ταῖς πρὸς Ἀρκεσίλαον ἀντιγραφαῖς καὶ τὴν Καρνεάδου δεινότητα ἐνέφραξε, πολλὰ μὲν τῇ αἰσθήσει καταλιπών, ὥσπερ εἰς πολιορκίαν βοηθήματα, τὸν δὲ περὶ τὰς προλήψεις καὶ τὰς ἐννοίας τάραχον ἀφελὼν παντάπασι, καὶ διορθώσας ἑκάστην, καὶ θέμενος εἰς τὸ οἰκεῖον· ὥστε καὶ τοὺς αὖθις ἐκπρούειν τὰ πράγματα καὶ παρα-

βιάζεσθαι βουλομένους μηδὲν περαίνειν, ἀλλ' ἐλέγχεσθαι κακουργοῦντας καὶ σοφιζομένους. ὑπὸ τοιούτων ἐγὼ λόγων διακεκαυμένος ἔωθεν σβεστήρων δέομαι, καθάπερ τινὰ φλεγμονὴν ἀφαιρούντων τὴν ἀπορίαν τῆς ψυχῆς.

II. ΔΙΑΛΟΥΜΕΝΟΣ. Ὅμοια πολλοῖς ἴσως πεπονθώς. εἰ δὲ οἱ ποιηταί σε πείθουσι, λέγοντες, ὡς ἐκ θεῶν προνοίας ἀνατροπὴν ἔσχεν ἡ παλαιὰ Σίπυλος τὸν Τάνταλον κολαζόντων, πείθου τοῖς ἀπὸ τῆς Στοᾶς ἑταίροις, ὅτι καὶ Χρύσιππον οὐκ ἀπὸ τύχης, ἀλλ' ἐκ προνοίας, ἡ φύσις ἤνεγκεν, ἄνω τὰ κάτω καὶ τοὔμπαλιν ἀνατρέψαι δεομένη τὸν βίον· ὡς οὐ γέγονε πρὸς τοῦτο τῶν ὄντων οὐδὲις εὐφυέστερος, ἀλλ' ὥσπερ ὁ Κάτων ἔλεγε περὶ Καίσαρος ἐκείνου, μηδένα νήφοντα, μηδὲ φρονοῦντα ἐπὶ συγχύσει τῆς πολιτείας τοῖς δημοσίοις προσελθεῖν πράγμασιν· οὕτως ἐμοὶ δοκεῖ μετὰ πλείστης ἐπιμελείας καὶ δεινότητος οὗτος ὁ ἀνὴρ ἀνατρέπειν καὶ καταβάλλειν τὴν συνήθειαν, ὡς ἔνι γοῦν. καίτοι μαρτυροῦσιν οἱ τὸν ἄνδρα σεμνύνοντες, ὅταν αὐτῷ περὶ τοῦ ψευδομένου μάχωνται. τὸ γάρ, ὦ ἄριστε, συμπεπερασμένον τι δι' ἀντικειμένων, μὴ φάναι ψεῦδος εὐπόρως εἶναι· λόγους δὲ πάλιν αὖ φάναι τινὰς ἀληθῆ τὰ λήμματα καὶ τὰς ἀγωγὰς ὑγιεῖς ἔχοντας, ἔτι καὶ τὰ ἀντικείμενα τῶν συμπερασμάτων ἔχειν ἀληθῆ, ποίαν ἔννοιαν ἀποδείξεως, ἢ τίνα πίστεως οὐκ ἀνατρέπει πρόληψιν; τὸν μέν γε πολύποδα φασὶ τὰς πλεκτάνας αὐτοῦ περιβιβρώσκειν ὥρᾳ χειμῶνος· ἡ δὲ Χρυσίππου διαλεκτικὴ τὰ κυριώτατα μέρη καὶ τὰς ἀρχὰς

αὐτῆς ἀναιροῦσα καὶ περικόπτουσα, τίνα τῶν ἄλλων ἐννοιῶν ἀπολέλοιπεν ἀνύποπτον; οὐ γὰρ οἷόν τε δήπου, καὶ τὰ ἐποικοδομούμενα, μὴ βέβαια κεῖσθαι καὶ πάγια, τῶν πρώτων μὴ μενόντων, ἀπορίας δὲ καὶ τοραχὰς ἐχόντων τηλικαύτας. ἀλλ' ὥσπερ οἱ πηλὸν ἢ κονιορτὸν ἐπὶ τοῦ σώματος ἔχοντες, τὸν ἁπτόμενον αὐτῶν καὶ προσαναχρωννύμενον, οὐ κινεῖν ἀλλὰ προσβάλλειν τὸ τραχύνον δοκοῦσιν· οὕτως ἔνιοι τοὺς Ἀκαδημαϊκοὺς αἰτιῶνται, καὶ νομίζουσι τὰς αἰτίας παρέχειν, ὧν ἀναπεπλησμένους ἀποδεικνύουσιν αὐτούς. ἐπεὶ τάς γε κοινὰς ἐννοίας τίνες μᾶλλον διαστρέφουσιν; εἰ δὲ βούλει, τὸ κατηγορεῖν ἐκείνων ἀφέντες, ὑπὲρ ὧν ἐγκαλοῦσιν ἡμῖν, ἀπολογησόμεθα.

III. *ΛΑΜΠΡ.* Ἐγώ μοι δοκῶ τήμερον, ὦ Διαδούμενε, ποικίλος τις ἄνθρωπος γεγονέναι καὶ παντοδαπός· ἄρτι μὲν γὰρ ἀπολογίας δεόμενος προσήειν ταπεινὸς καὶ τεθορυβημένος· νῦν δὲ μεταβάλλομαι πρὸς τὴν κατηγορίαν, καὶ βούλομαι ἀπολαῦσαι τῆς ἀμύνης, ἐλεγχομένους εἰς ταὐτὸν τοὺς ἄνδρας ἐπιδὼν τῷ παρὰ τὰς ἐννοίας καὶ τὰς προλήψεις τὰς κοινὰς φιλοσοφεῖν, ἀφ' ὧν μάλιστα τὴν αἵρεσιν, ὥσπερ ἐπὶ τῶν ἀνα * δοκοῦσι, καὶ μόνην ὁμολογεῖν τῇ φύσει λέγουσιν.

ΔΙΑΔΟΤΜ. Ἆρ' οὖν ἐπὶ τὰ κοινὰ πρῶτα καὶ περιβόητα βαδιστέον, ἃ δὴ παράδοξα καὶ αὐτοὶ, μετ' εὐκολίας δεχόμενοι τὴν ἀτοπίαν, ἐπονομάζουσι, τοὺς μόνους βασιλεῖς, καὶ μόνους πλουσίους, καὶ καλοὺς αὐτῶν, καὶ πολίτας καὶ δικαστὰς μόνους. ἢ

ταυτὶ μὲν εἰς τὴν τῶν ἑώλων καὶ ψυχρῶν ἀγορὰν βούλει πιπρᾶμεν, ἐν δὲ τοῖς ὡς ἔνι μάλιστα πραγματικοῖς καὶ μετὰ σπουδῆς λεγομένοις ποιησώμεθα τοῦ λόγου τὸν ἐξετασμόν;

ΛΑΜΠΡ. Ἐμοὶ γοῦν ἥδιον οὕτως· τῶν γὰρ πρὸς ἐκεῖνα γενομένων ἐλέγχων τίς οὐκ ἤδη διέπλεώς ἐστιν;

IV. *ΛΙΑΔΟΥΜ.* Ἤδη τοίνυν αὐτὸ τοῦτο σκόπει πρῶτον, εἰ κατὰ τὰς κοινὰς ἐστιν ἐννοίας, ὁμολογεῖν τῇ φύσει τοὺς τὰ κατὰ φύσιν ἀδιάφορα νομίζοντας, καὶ μήτε ὑγείαν, μήτ' εὐεξίαν, μήτε κάλλος, μήτ' ἰσχὺν ἡγουμένους αἱρετά, μηδ' ὠφέλιμα, μηδὲ λυσιτελῆ, μηδὲ συμπληρωτικὰ τῆς κατὰ φύσιν τελειότητος· μήτε τἀναντία, φευκτὰ καὶ βλαβερά, πηρώσεις, ἀλγηδόνας, αἴσχη, νόσους· ὧν αὐτοὶ λέγουσι πρὸς ἃ μὲν ἀλλοτριοῦν, πρὸς ἃ δ' οἰκειοῦν ἡμᾶς τὴν φύσιν· εἶ μάλα καὶ τούτου παρὰ τὴν κοινὴν ἔννοιαν ὄντος, οἰκειοῦν πρὸς τὰ μὴ συμφέροντα, μηδ' ἀγαθὰ τὴν φύσιν, καὶ ἀλλοτριοῦν πρὸς τὰ μὴ κακά, μηδὲ βλάπτοντα· καὶ ὃ μεῖζόν ἐστιν, οἰκειοῦν ἐπὶ τοσοῦτο, καὶ ἀλλοτριοῦν, ὥστε τῶν μὲν μὴ τυγχάνοντας, τοῖς δὲ περιπίπτοντας, εὐλόγως ἐξάγειν τοῦ ζῆν ἑαυτούς, καὶ τὸν βίον ἀπολέγεσθαι.

V. Νομίζω δ' ἐγὼ, κἀκεῖνα παρὰ τὴν ἔννοιαν λέγεσθαι, τὸ τὴν μὲν φύσιν αὐτὴν ἀδιάφορον εἶναι, τὸ δὲ τῇ φύσει ὁμολογεῖν ἀγαθὸν μέγιστον. οὐδὲ γὰρ τῷ νόμῳ κατακολουθεῖν, οὐδὲ τῷ λόγῳ πείθεσθαι σπουδαῖον, εἰ μὴ σπουδαῖος εἴη καὶ ἀστεῖος ὁ νόμος καὶ ὁ λόγος· καὶ τοῦτο μὲν ἔλαττον. εἰ δὲ, ὡς

Χρύσιππος ἐν τῷ πρώτῳ περὶ τοῦ Προτρέπεσθαι γέγραφεν, ἐν τῷ κατ' ἀρετὴν βιοῦν μόνον ἐστὶ τὸ εὐδαιμόνως, τῶν ἄλλων, φησὶν, οὐδὲν ὄντων πρὸς ἡμᾶς, οὐδ' εἰς τοῦτο συνεργούντων· οὐ μόνον οὐκ ἔστιν ἀδιάφορος ἡ φύσις, ἀλλ' ἀνόητος καὶ ἀπόπληκτος, οἰκειοῦσα ἡμᾶς πρὸς τὰ μηδὲν πρὸς ἡμᾶς. ἀνόητοι δὲ καὶ ἡμεῖς, εὐδαιμονίαν ἡγούμενοι τὸ τῇ φύσει ὁμολογεῖν ἀγούσῃ πρὸς τὰ μηδὲν συνεργοῦντα πρὸς εὐδαιμονίαν. καίτοι τί μᾶλλόν ἐστι κατὰ τὴν κοινὴν ἔννοιαν, ἢ καθάπερ τὰ αἱρετὰ πρὸς τὸ ὠφελίμως, οὕτω τὰ κατὰ φύσιν πρὸς τὸ ζῆν κατὰ φύσιν; οἳ δ' οὐχ οὕτω λέγουσιν, ἀλλὰ τὸ ζῆν κατὰ φύσιν, τέλος εἶναι τιθέμενοι, τὰ κατὰ φύσιν, ἀδιάφορα εἶναι νομίζουσιν.

VI. Οὐχ ἧττον δὲ τούτου παρὰ τὴν κοινὴν ἔννοιάν ἐστι, τὸ ἔννουν καὶ φρόνιμον ἄνδρα πρὸς τὰ ἴσα τῶν ἀγαθῶν μὴ ἐπίσης ἔχειν, ἀλλὰ τὰ μὲν ἐν μηδενὶ λόγῳ τίθεσθαι, τῶν δὲ ἕνεκα πᾶν ὅτιοῦν ἂν ὑπομεῖναι καὶ παθεῖν, μηδὲν ἀλλήλων μικρότητι καὶ μεγέθει διαφερόντων· ταυτὶ δὲ λέγουσιν αὐτοί· ταὐτὸ τὸ σωφρόνως δυσθανατῶσαν ἀποτρίψασθαι πρεσβύτην· ὁμοίως γὰρ ἀμφότεροι κατορθοῦσιν. ἀλλὰ δὲ ἐκεῖνα μὲν ὡς λαμπρὰ καὶ μεγάλα, κἂν ἀποθάνωσιν· ἐπὶ τούτοις δὲ σεμνύνειν ἑαυτὸν αἰσχύνη καὶ γέλως. λέγει δὲ καὶ Χρύσιππος ἐν τῷ περὶ τοῦ Διὸς συγγράμματι, καὶ τῷ τρίτῳ περὶ Θεῶν, ψυχρὸν εἶναι καὶ ἄτοπον καὶ ἀλλότριον, τὰ τοιαῦτα τῶν ἀπ' ἀρετῆς συμβαινόντων ἐπαινεῖν, ὅτι δῆγμα μυίας ἀνδρείως ὑπέμεινε, καὶ δυσθανατώσης γραὸς

ἀπέσχετο σωφρόνως. ἆρ' οὖν παρὰ τὴν κοινὴν φιλοσοφοῦσιν ἔννοιαν, ἃς αἰσχύνονται πράξεις ἐπαινεῖν, μηδὲν τούτων κάλλιον ὁμολογοῦντες; ποῦ γὰρ αἱρετὸν, ἢ πῶς ἀποδεκτὸν, ὃ μήτ' ἐπαινεῖν μήτε θαυμάζειν ἄξιόν ἐστιν, ἀλλὰ καὶ τοὺς ἐπαινοῦντας ἢ θαυμάζοντας ἀτόπους καὶ ψυχροὺς νομίζουσιν.

VII. Ἔτι δὲ μᾶλλον, οἶμαι, φανεῖταί σοι παρὰ τὴν κοινὴν ἔννοιαν, εἰ τῶν μεγίστων ἀγαθῶν ὁ φρόνιμος, μήτ' ἀπόντων, μήτε εἰ πάρεισιν αὐτῷ, φροντίζων, ἀλλ' οἷός ἐστιν ἐν τοῖς ἀδιαφόροις καὶ τῇ περὶ ταῦτα πραγματείᾳ καὶ οἰκονομίᾳ, τοιοῦτος ἂν εἴη καὶ τούτοις εἴη. πάντες γὰρ δήπουθεν

Εὑρυέδους ὅσοι καρπὸν ἐδώμεθα χθονός,

οὗ μὲν καὶ παρόντος ὄνησίς ἐστι, καὶ μὴ παρόντος ὥσπερ ἔνδεια καὶ ὄρεξις, αἱρετὸν καὶ ἀγαθὸν καὶ ὠφέλιμον νοοῦμεν· ἐφ' ᾧ δ' οὐδὲν ἂν τις πραγματεύσαιτο, μὴ παιδιᾶς ἕνεκεν μηδὲ ῥαστώνης, τοῦτο ἀδιάφορον. ἄλλῳ γὰρ οὐδενὶ τοῦ φιλοπόνου τὸν κενόσπουδον ἀφορίζομεν ἐν τοῖς ἔργοις ὄντα πολλάκις, ἢ τῷ τὸν μὲν εἰς ἀνωφελῆ πονεῖν καὶ ἀδιαφόρως, τὸν δὲ ἕνεκά του τῶν συμφερόντων καὶ λυσιτελῶν. ἀλλ' οὗτοί γε τοὐναντίον. ὁ γὰρ σοφὸς αὐτοῖς καὶ φρόνιμος ἐν πολλαῖς καταλήψεσι καὶ μνήμαις καταλήψεων γεγονὼς, ὀλίγας πρὸς αὐτὸν ἡγεῖται· τῶν τ' ἄλλων οὐ πεφροντικὼς, οὐδ' ἔλαττον ἔχειν οὐδὲ πλέον οἴεται, μνημονεύων, ὅτι πέρυσι κατάληψιν ἔλαβε, παρνυμένου Λίωνος, ἢ σφαιρίζοντος Θέωνος. καίτοι πᾶσα κατάληψις ἐν τῷ σοφῷ καὶ μνήμη τὸ ἀσφαλὲς ἔχουσα καὶ βέβαιον, εὐθὺς ἐστὶν ἐπιστήμη, καὶ

ἀγαθὸν μεγα καὶ μέγιστον. ἆρ' οὖν ὁμοίως ὑγείας ἐπιλιπούσης, αἰσθητηρίου καμόντος, οὐσίας ἀπολλυμένης, ἀφρόντιστός ἐστι, καὶ πρὸς αὐτὸν οὐδὲν ἡγούμενος τούτων ὁ σοφός; ἢ νοσῶν μὲν ἰατροῖς τελεῖ μισθοὺς, χρημάτων δὲ ἕνεκα πρὸς Λεύκωνα πλεῖ, τὸν ἐν Βοσπόρῳ δυνάστην, καὶ πρὸς Ἰνδάθυρσον ἀποδημεῖ, τὸν Σκύθην; ὡς φησι Χρύσιππος· τῶν δ' αἰσθήσεων ἔστιν ἃς ἀποβαλὼν, οὐδὲ ζῆν ὑπομένει; πῶς οὖν οὐχ ὁμολογοῦσι παρὰ τὰς ἐννοίας φιλοσοφεῖν, ἐπὶ τοῖς ἀδιαφόροις τοσαῦτα πραγματευόμενοι καὶ σπουδάζοντες, ἀγαθῶν δὲ μεγάλων καὶ παρόντων καὶ μὴ παρόντων, ἀδιαφόρως ἔχοντες.

VIII. Ἀλλὰ κἀκεῖνο παρὰ τὰς κοινὰς ἐννοίας ἐστὶν, ἄνθρωπον ὄντα, μὴ χαίρειν ἐκ τῶν μεγίστων κακῶν ἐν τοῖς μεγίστοις ἀγαθοῖς γενόμενον· τοῦτο δὲ πέπονθεν ὁ τούτων σοφός. ἐκ γὰρ τῆς ἄκρας κακίας μεταβαλὼν εἰς τὴν ἄκραν ἀρετὴν, καὶ τὸν ἀθλιώτατον βίον διαφυγὼν ἅμα, καὶ κτησάμενος τὸν μακαριώτατον, οὐδὲν ἐπίδηλον εἰς χαρὰν ἔσχεν, οὐδ' ἐπῆρεν αὐτὸν, οὐδ' ἐκίνησεν ἡ τοσαύτη μεταβολὴ, κακοδαιμονίας ἀπαλλαγέντα καὶ μοχθηρίας ἁπάσης, εἰς δ' ἀσφαλῆ τινα καὶ βεβαίαν παντέλειαν ἀγαθῶν ἐξικόμενον. ἔτι παρὰ τὴν ἔννοιάν ἐστιν, ἀγαθῶν μὲν εἶναι μέγιστον τὸ ἀμετάπτωτον ἐν ταῖς κρίσεσι καὶ βεβαιώσεσι, μὴ δεῖσθαι δὲ τούτου τὸν ἐπ' ἄκρον προκόπτοντα, μηδὲ φροντίζειν παραγενομένου· πολλάκις δὲ μηδὲ τὸν δάκτυλον προτείνειν, ταύτης γε ἕνεκα τῆς ἀσφαλείας καὶ βεβαιότητος, ἣ τέλειον ἀγαθὸν καὶ μέγα νομίζουσιν. οὐ μόνον οὖν ταῦτα λὲ

ἀπέσχετο σωφρόνως. ἆρ' οὖν παρὰ τὴν κοινὴν φι
σοφοῦσιν ἔννοιαν, ἃς αἰσχύνονται πράξεις ἐπαινεῖ
μηδὲν τούτων κάλλιον ὁμολογοῦντες; ποῦ γὰρ αἱ
τὸν, ἢ πῶς ἀποδεκτόν, ὃ μήτ' ἐπαινεῖν μήτε θα
μάζειν ἄξιόν ἐστιν, ἀλλὰ καὶ τοὺς ἐπαινοῦντας
θαυμάζοντας ἀτόπους καὶ ψυχροὺς νομίζουσιν.

VII. Ἔτι δὲ μᾶλλον, οἶμαι, φανεῖταί σοι πα
τὴν κοινὴν ἔννοιαν, εἰ τῶν μεγίστων ἀγαθῶν ὁ φι
νιμος, μήτ' ἀπόντων, μήτε εἰ πάρεισιν αὐτῷ, φρο
τίζων, ἀλλ' οἷός ἐστιν ἐν τοῖς ἀδιαφόροις καὶ τῇ π
ταῦτα πραγματείᾳ καὶ οἰκονομίᾳ, τοιοῦτος ἂν ἡ
τούτοις εἴη. πάντες γὰρ δήπουθεν

Εὑρυέδους ὅσοι καρπὸν ἐδόμεθα χθονός,

οὗ μὲν καὶ παρόντος ὄνησίς ἐστι, καὶ μὴ παρόν
ὥσπερ ἔνδεια καὶ ὄρεξις, αἱρετὸν καὶ ἀγαθὸν ν
ὠφέλιμον νοοῦμεν· ἐφ' ᾧ δ' οὐδὲν ἂν τις πραγμ
τεύσαιτο, μὴ παιδιᾶς ἕνεκεν μηδὲ ῥᾳστώνης, τοῦ
ἀδιάφορον. ἄλλῳ γὰρ οὐδενὶ τοῦ φιλοπόνου τὸν
νόσπουδον ἀφορίζομεν ἐν τοῖς ἔργοις ὄντα πολλὰ
ἢ τῷ τὸν μὲν εἰς ἀνωφελῆ πονεῖν καὶ ἀδιαφόρως, τ
δὲ ἕνεκά του τῶν συμφερόντων καὶ λυσιτελῶν. ἀ
οὗτοί γε τοὐναντίον. ὁ γὰρ σοφὸς αὐτοῖς καὶ φρ
νιμος ἐν πολλαῖς καταλήψεσι καὶ μνήμαις καταλ
ψεων γεγονὼς, ὀλίγας πρὸς αὑτὸν ἡγεῖται· τῶν
ἄλλων οὐ πεφροντικὼς, οὐδ' ἔλαττον ἔχειν οὐδὲ πλέ
οἴεται, μνημονεύων, ὅτι πέρυσι κατάληψιν ἔλαβ
πταρνυμένου Λίωνος, ἢ σφαιρίζοντος Θέωνος. κα
τοι πᾶσα κατάληψις ἐν τῷ σοφῷ καὶ μνήμη τὸ ἄσα
λὲς ἔχουσα καὶ βέβαιον, εὐθὺς ἐστιν ἐπιστήμη,

ἀγαθὸν μεγα καὶ μέγιστον. ἆρ' οὖν ὁμοίως ὑγείας ἐπιλιποῦσης, αἰσθητηρίου καμόντος, οὐσίας ἀπολλυμένης, ἀφρόντιστός ἐστι, καὶ πρὸς αὐτὸν οὐδὲν ἡγούμενος τούτων ὁ σοφός; ἢ νοσῶν μὲν ἰατροῖς τελεῖ μισθοὺς, χρημάτων δὲ ἕνεκα πρὸς Λεύκωνα πλεῖ, τὸν ἐν Βοστόρῳ δυνάστην, καὶ πρὸς Ἰνδάθυρσον ἀποδημεῖ, τὸν Σκύθην; ὡς φησι Χρύσιππος· τῶν δ' αἰσθήσεων ἔστιν ὡς ἀποβαλὼν, οὐδὲ ζῆν ὑπομένει; πῶς οὖν οὐχ ὁμολογοῦσι παρὰ τὰς ἐννοίας φιλοσοφεῖν, ἐπὶ τοῖς ἀδιαφόροις τοσαῦτα πραγματευόμενοι καὶ σπουδάζοντες, ἀγαθῶν δὲ μεγάλων καὶ παρόντων καὶ μὴ παρόντων, ἀδιαφόρως ἔχοντες.

VIII. Ἀλλὰ κἀκεῖνο παρὰ τὰς κοινὰς ἐννοίας ἐστὶν, ἄνθρωπον ὄντα, μὴ χαίρειν ἐκ τῶν μεγίστων κακῶν ἐν τοῖς μεγίστοις ἀγαθοῖς γενόμενον· τοῦτο δὲ πέπονθεν ὁ τούτων σοφός. ἐκ γὰρ τῆς ἄκρας κακίας μεταβαλὼν εἰς τὴν ἄκραν ἀρετὴν, καὶ τὸν ἀθλιώτατον βίον διαφυγὼν ἅμα, καὶ κτησάμενος τὸν μακαριώτατον, οὐδὲν ἐπίδηλον εἰς χαρὰν ἔσχεν, οὐδ' ἐπῆρεν αὐτὸν, οὐδ' ἐκίνησεν ἡ τοσαύτη μεταβολὴ, κακοδαιμονίας ἀπαλλαγέντα καὶ μοχθηρίας ἁπάσης, εἰς δ' ἀσφαλῆ τινα καὶ βεβαίαν παντέλειαν ἀγαθῶν ἐξικόμενον. ἔτι παρὰ τὴν ἔννοιάν ἐστιν, ἀγαθῶν μὲν εἶναι μέγιστον τὸ ἀμετάπτωτον ἐν ταῖς κρίσεσι καὶ βεβαιώσεσι, μὴ δεῖσθαι δὲ τούτου τὸν ἐπ' ἄκρον προκόπτοντα, μηδὲ φροντίζειν παραγενομένου· πολλάκις δὲ μηδὲ τὸν δάκτυλον προτεῖναι, ταύτης γε ἕνεκα τῆς ἀσφαλείας καὶ βεβαιότητος, ἣ τέλειον ἀγαθὸν καὶ μέγα νομίζουσιν. οὐ μόνον οὖν ταῦτα λέ

γουσιν οἱ ἄνδρες, ἀλλὰ κἀκεῖνα πρὸς τούτοις, ὅτι ἄγαθὸν ὁ χρόνος οὐκ αὔξει προσγινόμενος, ἀλλὰ κἂν ἄκαρές τις ὥρας γένηται φρόνιμος, οὐδενὶ πρὸς εὐδαιμονίαν ἀπολειφθήσεται τοῦ τὸν αἰῶνα χρωμένου τῇ ἀρετῇ, καὶ μακαρίως ἐν αὐτῇ καταβιοῦντος. ταῦτα δὲ οὕτω νεανικῶς ἀπισχυρισάμενοι, πάλιν, οὐδὲν εἶναί, φασιν, ἀρετῆς ὄφελος ὀλιγοχρονίου. τι γὰρ ἂν μέλλοντι ναυαγεῖν εὐθὺς ἢ κατακρημνίζεσθαι φρόνησις ἐπιγένηται; τί δ' ἂν ὁ Λίχας, ὑπὸ τοῦ Ἡρακλέους ἀποσφενδονώμενος, εἰς ἀρετὴν ἐκ κακίας μεταβάλῃ; ταῦτ' οὖν οὐ μόνον παρὰ τὰς κοινὰς ἐννοίας ἐστὶ φιλοσοφούντων, ἀλλὰ καὶ τὰς ἰδίας κινώντων, εἰ τὸ βραχὺν χρόνον κτήσασθαι τὴν ἀρετὴν, οὐθὲν ἀπολείπεσθαι τῆς ἄκρας εὐδαιμονίας ἅμα καὶ μηδενὸς ὅλως ἄξιον νομίζουσι.

IX. Τοῦτο δ' οὐκ ἂν μάλιστα θαυμάσας αὐτῶν ἀλλ' ὅτι, τῆς ἀρετῆς καὶ τῆς εὐδαιμονίας παραγινο μένης, πολλάκις οὐδ' αἰσθάνεσθαι τὸν κτησάμεν οἴονται, διαλεληθέναι δ' αὐτὸν, ὅτι μικρῷ πρόσθ ἀθλιώτατος ὢν καὶ ἀφρονέστατος, νῦν ὁμοῦ φρό μος καὶ μακάριος γέγονεν. οὐ γὰρ μόνον ἔχοντά τ τὴν φρόνησιν, τοῦτο μόνον μὴ φρονεῖν, ὅτι φρο μηδὲ γινώσκειν, ὅτι τὸ ἀγνοεῖν διαπέφευγεν, εὐ πελόν ἐστιν· ἀλλὰ καὶ ὅλως εἰπεῖν, τὸ ἀγαθὸ ῥεπὲς ποιοῦσι καὶ ἀμαυρὸν, εἰ μηδ' αἴσθησιν ποιεῖ παραγενόμενον. φύσει γὰρ ἀνεπαίσθητο ἔστι κατ' αὐτούς· ἀλλὰ καὶ λέγει διαῤῥήδην σιππος ἐν τοῖς περὶ Τέλους, αἰσθητὸν εἶναι Θόν· ὡς δ' οἴεται, καὶ ἀποδείκνυσι. λεπ

νυν, ἀσθενείᾳ καὶ μικρότητι διαφεύγειν αὐτὸ τὴν αἴσθησιν, ὁπόταν παρὸν ἀγνοῆται καὶ διαλανθάνῃ τοὺς ἔχοντας. ἔτι τοίνυν ἄτοπον μέν ἐστι, τὴν τῶν ἀτρέμας λευκῶν καὶ μέσων αἰσθανομένην ὄψιν ἐκφεύγειν τὰ ἐπ' ἄκρον λευκά, καὶ τὴν τὰ μαλακῶς καὶ ἀνειμένως θερμὰ καταλαμβάνουσαν ἁφὴν ἀναισθητεῖν τῶν σφόδρα θερμῶν· ἀτοπώτερον δέ, εἴ τις τὸ κοινῶς κατὰ φύσιν, οἷόν ἐστιν ὑγεία καὶ εὐεξία, καταλαμβάνων, τὴν ἀρετὴν ἀγνοεῖ παροῦσαν, ἣν μάλιστα καὶ ἄκρως κατὰ φύσιν εἶναι τίθενται. πῶς γὰρ οὐ παρὰ τὴν ἔννοιάν ἐστιν, ὑγείας καὶ νόσου διαφορὰν καταλαμβάνειν, καὶ ἀφροσύνης, ἀλλὰ τὴν μὲν ἀπηλλαγμένην οἴεσθαι παρεῖναι, τὴν δὲ κεκτημένον ἀγνοεῖν, ὅτι πάρεστιν; ἑπεὶ δ' ἐκ τῆς ἄκρας προκοπῆς μεταβάλλουσιν εἰς εὐδαιμονίαν καὶ ἀρετὴν, δυοῖν ἀνάγκη θάτερον, ἢ τὴν προκοπὴν κακίαν μὴ εἶναι μηδὲ κακοδαιμονίαν, ἢ τὴν ἀρετὴν τῆς κακίας μὴ πολλῷ παραλλάττειν, μηδὲ τῆς κακοδαιμονίας τὴν εὐδαιμονίαν, ἀλλὰ μικρὰν καὶ ἀνεπαίσθητον εἶναι τὴν πρὸς τὰ κακὰ τῶν ἀγαθῶν διαφοράν· οὐ γὰρ ἂν ἑαυτοὺς διελάνθανον ἀντ' ἐκείνων ταῦτα ἔχοντες.

X. Ὅταν μὲν οὖν μηδενὸς ἐκστῆναι τῶν μαχομένων, ἀλλὰ πάντα ὁμολογεῖν καὶ τιθέναι θέλωσι, τὸ τοὺς προκόπτοντας ἀνοήτους καὶ κακοὺς εἶναι, τὸ φρονίμους καὶ ἀγαθοὺς γενομένους διαλανθάνειν ἑαυτούς, τὸ μεγάλην διαφορὰν τῆς φρονήσεως πρὸς τὴν ἀφροσύνην ὑπάρχειν· ὅπου σοι δοκοῦσι θαυμασίως ἐν τοῖς δόγμασι τὴν ὁμολογίαν βεβαιοῦν, ἔτι δὲ μᾶλλον ἐν τοῖς πράγμασιν, ὅταν πάντας

ἐπίσης κακοὺς καὶ ἀδίκους καὶ ἀπίστους καὶ ἄφρονας τοὺς μὴ σοφοὺς ἀποφαίνοντες, εἶτα πάλιν τοὺς μὲν αὐτῶν ἐκτρέπωνται καὶ βδελύττωνται, τοὺς δ' ἁπαντῶντες μηδὲ προσαγορεύωσι· τοῖς δὲ χρήματα πιστεύωσιν, ἀρχὰς ἐγχειρίζωσιν, ἐκδιδῶσι θυγατέρας. ταῦτα γὰρ εἰ μὲν παίζοντες λέγουσι, καταθέσθωσαν τὰς ὀφρῦς· εἰ δ' ἀπὸ σπουδῆς καὶ φιλοσοφοῦντες, παρὰ τὰς κοινὰς ἐστιν ἐννοίας, ψέγειν μὲν ὁμοίως καὶ κακίζειν πάντας ἀνθρώπους, χρῆσθαι δὲ τοῖς μὲν ὡς μετρίοις, τοῖς δὲ ὡς κακίστοις· καὶ Χρύσιππον μὲν ὑπερεκπεπλῆχθαι, καταγελᾶν δ' Ἀλεξίνου. μηδὲν δὲ μᾶλλον οἴεσθαι μηδὲ ἧττον ἀλλήλων ἁφραίνειν τοὺς ἄνδρας. ναὶ, φασὶν· ἀλλὰ ὥσπερ ὁ πῆχυν ἀπέχων ἐν θαλάττῃ τῆς ἐπιφανείας, οὐδὲν ἧττον πίνεται τοῦ καταδεδυκότος ὀργυιὰς πεντακοσίας, οὕτως οὐδὲ οἱ πελάζοντες ἀρετῇ, τῶν μακρὰν ὄντων ἧττόν εἰσιν ἐν κακίᾳ· καὶ καθάπερ οἱ τυφλοὶ, τυφλοί εἰσι, κἂν ὀλίγον ὕστερον ἀναβλέπειν μέλλωσιν, οὕτως οἱ προκόπτοντες, ἄχρις οὗ τὴν ἀρετὴν ἀναλάβωσιν, ἀνόητοι καὶ μοχθηροὶ διαμένουσιν. ὅτι μὲν οὖν οὔτε τυφλοῖς ἐοίκασιν οἱ προκόπτοντες, ἀλλὰ ἧττον ὀξυδορκοῦσιν, οὔτε πνιγομένοις, ἀλλὰ νηχομένοις, καὶ ταῦτα πλησίον λιμένος, αὐτοὶ διὰ τῶν πραγμάτων μαρτυροῦσιν. οὐ γὰρ ἂν ἐχρῶντο συμβούλοις καὶ στρατηγοῖς καὶ νομοθέταις, ὥσπερ τυφλοὶ χειραγωγοῖς, οὐδ' ἂν ἐζήλουν ἔργα καὶ πράξεις, καὶ λόγους καὶ βίους ἐνίων, εἰ πάντας ὡσαύτως πνιγομένους ὑπὸ τῆς ἀφροσύνης καὶ μοχθηρίας ἑώρων. ἀφεὶς δὲ τοῦτο, θαυμάσον ἐκείνῃ τοὺς

ἄνδρας, εἰ μηδὲ τοῖς ἑαυτῶν διδάσκονται παραδείγμασι προέσθαι διαλεληθότας ἐκείνους σοφοὺς, καὶ μὴ συνιέντας μηδ' αἰσθανομένους, ὅτι πνιγόμενοι πέπαυνται, καὶ φῶς ὁρῶσι, καὶ τῆς κακίας ἐπάνω γεγονότες ἀναπεπνεύκασι.

XI. Καὶ παρὰ τὴν ἔννοιάν ἐστιν, ἄνθρωπον, ᾧ πάντα τἀγαθὰ πάρεστι, καὶ μηδὲν ἐνδεῖ πρὸς εὐδαιμονίαν καὶ τὸ μακάριον, τοῦτῳ καθήκειν ἐξάγειν ἑαυτόν· ἔτι δὲ μᾶλλον, ᾧ μηθὲν ἀγαθόν ἐστι, μηδ' ἔσται, τὰ δεινὰ δὲ πάντα καὶ τὰ δυσχερῆ καὶ κακὰ πάρεστι καὶ παρέσται διὰ τέλους, τοῦτῳ μὴ καθηκειν ἀπολέγεσθαι τὸν βίον, ἂν μή τι διὰ τῶν ἀδιαφόρων αὐτῷ προσγένηται. ταῦτα τοίνυν ἐν τῇ Στοᾷ νομοθετεῖται, καὶ πολλοὺς μὲν ἐξάγουσι τῶν σοφῶν, ὡς ἄμεινον εὐδαιμονοῦντας πεπαῦσθαι. πολλοὺς δὲ κατέχουσι τῶν φαύλων, ὡς καθήκοντος αὐτοῖς ζῆν κακοδαιμονοῦντας. καίτοι ὁ μὲν σοφὸς, ὄλβιος, μακάριος, πανευδαίμων, ἀσφαλὴς, ἀκίνδυνος· ὁ δὲ φαῦλος καὶ ἀνόητος, οἷος εἰπεῖν,

Γέμων κακουργιῶν, καὶ οὐκ ἔσθ' ὅπη τεθῇ.

ἀλλὰ καὶ τούτοις μονὴν οἴονται καθήκουσαν εἶναι, κἀκείνοις ἐξαγωγήν. εἰκότως δέ, φησι Χρύσιππος· οὐ γὰρ ἀγαθοῖς καὶ κακοῖς δεῖ παραμετρεῖσθαι τὸν βίον, ἀλλὰ τοῖς κατὰ φύσιν καὶ παρὰ φύσιν. οὕτως ἀνθρώποις σώζουσι τὴν συνήθειαν, καὶ πρὸς τὰς κοινὰς ἐννοίας φιλοσοφοῦσι. τί λέγεις; οὐ δεῖ σκοπεῖν,

Ὅστις ἐν μεγάροισι κακόν τ' ἀγαθόν τι τέτυκται,

ὁν περὶ βίου καὶ θανάτου σκοπούμενον; οὐδὲ ὧσ-

περ ἐπὶ ζυγοῦ τὰ πρὸς εὐδαιμονίαν καὶ κακοὶ
νίαν ἐξετάζειν ἐπίσημα μᾶλλον ὠφελ * ἀλλ' ἐ
μήτ' ὠφελούντων, μήτε βλαπτόντων τοὺς * βι
ἢ μὴ ποιεῖσθαι λογισμοὺς, οὐ μέλλει πρὸς τα
αὐτας ὑποθέσεις καὶ ἀρχὰς καθηκόντως αἱρε
τε τὸν βίον, ᾧ τῶν φευκτῶν οὐδὲν ἄπεστι, κα
γειν, ᾧ πάντα τὰ αἱρετὰ πάρεστι; καίτοι πα
γον μὲν, ὦ ἑταῖρε, καὶ τὸ φεύγειν τὸν βίον,
δενὶ κακῷ γενομένους· παραλογώτερον δὲ,
τυγχάνων τις τοῦ ἀδιαφόρου, τὸ ἀγαθὸν ἀφ
ὅπερ οὗτοι ποιοῦσι, τὴν εὐδαιμονίαν προῖ
καὶ τὴν ἀρετὴν παροῦσαν, ἀνθ' ὑγείας καὶ ὁ
ρίας, ὧν οὐ τυγχάνουσιν.

Ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο
ὅτι χρύσεια χαλκείων, ἑκατόμβοια ἐννεαβοίων
διαμείψεσθαι. καίτοι τὰ μὲν χάλκεα τῶν ὅπλ
ἧττον ἢ τὰ χρυσᾶ παρεῖχε χρείαν μαχομένοις·
πεια δὲ σώματος καὶ ὑγεία τοῖς Στωϊκοῖς οὔτε
οὔτ' ὄνησίν τινα φέρει πρὸς εὐδαιμονίαν· ἀλλ'
οὗτοι τῆς φρονήσεως ἀντικαταλλάττονται τὴν ὑ
καὶ γὰρ Ἡρακλείτῳ, φασὶ, καὶ Φερεκύδῃ κα
ἂν, εἴπερ ἠδύναντο, τὴν ἀρετὴν ἀφεῖναι κ
φρόνησιν, ὥστε παύσασθαι φθειριῶντας καὶ
πιῶντας· καὶ τῆς Κίρκης ἐγχεούσης δύο φάρ
τὸ μὲν, ποιοῦν ἄφρονας ἐκ φρονίμων, τὸ δὲ,
νίμους ἐξ ἀφρόνων, τὸ δὲ, ὁ * τὸν Ὀδυσσέα
τὸ τῆς ἀφροσύνης μᾶλλον, ἢ μεταβαλεῖν εἰς θ
μορφὴν τὸ εἶδος, ἔχοντα τὴν φρόνησιν, κα
τῆς φρονήσεως δηλονότι τὴν εὐδαιμονίαν. καὶ

φασιν, αὐτὴν ὑφηγεῖσθαι καὶ παρακελεύεσθαι τὴν φρόνησιν· ἄφες με καὶ καταφρόνησον ἀπολλυμένης ἐμοῦ καὶ διαφθειρομένης εἰς ὄνου πρόσωπον. ἀλλ' ὄνου γε, φήσει τις, ἡ τοιαῦτα παραγγέλλουσα φρόνησίς ἐστιν. εἰ τὸ μὲν φρονεῖν καὶ εὐδαιμονεῖν ἀγαθόν ἐστι, τὸ δὲ * περιφέρειν πρόσωπον ἀδιάφορον. ἔθνος εἶναί, φασιν, Αἰθιόπων, ὅπου κύων βασιλεύει, καὶ βασιλεὺς προσαγορεύεται, καὶ ἱερὰ καὶ τιμὰς ἔχει βασιλέων, ἄνδρες δὲ πράσσουσιν, ἅπερ ἡγεμόσι πόλεων προσήκει καὶ ἄρχουσιν. ἆρ' οὖν παρὰ τοῖς Στωϊκοῖς ὁμοίως τὸ μὲν ὄνομα καὶ τὸ σχῆμα τοῦ ἀγαθοῦ πάρεστι τῇ ἀρετῇ, καὶ μόνην ταύτην αἱρετὸν καὶ ὠφέλιμον καὶ συμφέρον καλοῦσι, πράττουσι δὲ ταῦτα καὶ φιλοσοφοῦσι, καὶ ζῶσι καὶ ἀποθνήσκουσιν, ὥσπερ ἀπὸ προστάγματος τῶν ἀδιαφόρων; καίτοι τὸν κύνα μὲν ἐκεῖνον οὐδεὶς Αἰθιόπων ἀποκτίννυσιν, ἀλλὰ σεμνῶς κάθηται προσκυνούμενος· οὗτοι δὲ τὴν ἀρετὴν ἀπολλύουσιν ἑαυτῶν, καὶ διαφθείρουσι, τῆς ὑγείας περιεχόμενοι καὶ τῆς ἀπονίας.

XII. Ἔοικε δὲ ἡμᾶς ἀπαλλάττειν τοῦ περὶ τούτων ἔτι πλείονα λέγειν ὁ κολοφὼν αὐτός, ὃν ὁ Χρύσιππος τοῖς δόγμασιν ἐπιτέθεικεν. ὄντων γὰρ ἐν τῇ φύσει τῶν μὲν, ἀγαθῶν, τῶν δὲ, κακῶν, τῶν δὲ, καὶ μεταξὺ, καὶ καλουμένων ἀδιαφόρων, οὐδείς ἐστιν ἄνθρώπων, ὃς οὐ βούλεται τὸ ἀγαθὸν ἔχειν μᾶλλον, ἢ τὸ ἀδιάφορον, καὶ τὸ ἀδιάφορον, ἢ τὸ κακόν. ἀλλά καὶ τοὺς θεοὺς ἤδη ποιούμεθα μάρτυρας, αἰτούμενοι παῖς εὐχαῖς παρ' αὐτῶν μάλιστα μὲν πλῆ-

σιν ἀγαθῶν, εἰ δὲ μή, κακῶν ἀποφυγήν, τὸ δὲ μήτ' ἀγαθὸν μήτε κακὸν ἀντὶ μὲν τοῦ ἀγαθοῦ μὴ θέλοντες ἔχειν, ἀντὶ δὲ τοῦ κακοῦ θέλοντες. ὁ δὲ τὴν φύσιν ἐναλλάττων, καὶ τὴν τάξιν ἀναστρέφων, ἐκ τῆς μέσης χώρας τὸ μέσον εἰς τὴν ἐσχάτην μετατίθησι, τὸ δ' ἔσχατον εἰς τὴν μέσην ἐπανάγει καὶ μετοικίζει, καθάπερ οἱ τύραννοι τοῖς κακοῖς προεδρίαν διδοῦσι· καὶ νομοθετῶν πρῶτον διώκειν τὸ ἀγαθὸν, δεύτερον δὲ τὸ κακὸν, ἔσχατον δὲ καὶ χείριστον ἡγεῖθαι τὸ μήτ' ἀγαθὸν, μήτε κακόν· ὥσπερ εἴ τις μετὰ τὰ οὐράνια τὰ ἐν ἅδου τιθείη, τὴν δὲ γῆν καὶ τὰ περὶ γῆν εἰς τὸν τάρταρον ἀπώσειε,

Τῆδε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι δέρεθρον,

εἰπὼν οὖν ἐν τῷ τρίτῳ περὶ Φύσεως, ὅτι λυσιτελεῖ ζῆν ἄφρονα, ἢ μὴ βιοῦν, κἂν μηδέποτε μέλλῃ φρονήσειν, ἐπιφέρει κατὰ λέξιν· Τοιαῦτα γὰρ τὰ ἀγαθά ἐστι τοῖς ἀνθρώποις, ὥστε τρόπον τινὰ καὶ τὰ κακὰ τῶν ἄλλων ἀνὰ μέσον προτερεῖν· ἔστι δ' οὐ ταῦτα προτερούντα, ἀλλ' ὁ λόγος, μεθ' οὗ βιοῦν ἐπιβάλλει μᾶλλον, εἰ καὶ ἄφρονες ἐσόμεθα. δῆλον οὖν, εἰ καὶ ἄδικοι καὶ παράνομοι, καὶ θεοῖς ἐχθροὶ, καὶ εἰ κακοδαίμονες· οὐθὲν γὰρ ἧττον τούτων τοῖς ἀφρόνως βιοῦσιν. ἐπιβάλλει τοίνυν κακοδαιμονεῖν μᾶλλον ἢ μὴ κακοδαιμονεῖν, καὶ βλάπτεσθαι μᾶλλον ἢ μὴ βλάπτεσθαι, καὶ ἀδικεῖν ἢ μὴ ἀδικεῖν, καὶ παρανομεῖν ἢ μὴ παρανομεῖν; τουτέστι, ἐπιβάλλει τὰ ἐπιβάλλοντα ποιεῖν, καὶ καθήκει ζῆν καὶ παρὰ τὸ μὴ καθῆκον; ναί· χεῖρον γάρ ἐστι τὸ ἄλογον καὶ

τὸ ἀναίσθητον εἶναι, τοῦ ἀφραίνειν. εἶτα τί παθόντες οὐχ ὁμολογοῦσιν εἶναι κακόν, ὃ τοῦ κακοῦ χεῖρόν ἐστι; διὰ τί φευκτὸν ἀποφαίνουσι μόνον τὴν ἀφροσύνην, εἰ οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἐπιβάλλον ἐστὶ φεύγειν τὴν μὴ δεχομένην τὸ ἀφραίνειν διάθεσιν.

XIII. Ἀλλὰ τί ἂν τις ἐπὶ τούτοις δυσχεραίνοι, μεμνημένος, ὧν ἐν τῷ δευτέρῳ περὶ Φύσεως γέγραφεν, ἀποφαίνων οὐκ ἀχρήστως τὴν κακίαν πρὸς τὰ ὅλα γεγενημένην; ἄξιον δ' ἀναλαβεῖν τὸ δόγμα ταῖς ἐκείνου λέξεσιν, ἵνα καὶ μάθῃς, οἱ τοῦ Ξενοκράτους καὶ Σπευσίππου κατηγοροῦντες ἐπὶ τῷ μὴ τὴν ὑγείαν ἀδιάφορον ἡγεῖσθαι, μηδὲ τὸν πλοῦτον ἀνωφελές, ἐν τίνι τόπῳ τὴν κακίαν αὐτοὶ τίθενται, καὶ τίνας λόγους περὶ αὐτῆς διεξίασιν· Ἡ δὲ κακία πρὸς τὰ λοιπὰ συμπτώματα ἔχει ὅρον. γίνεται γὰρ αὐτή πως κατὰ τὸν τῆς φύσεως λόγον· καὶ, ἵνα οὕτως εἴπω, οὐκ ἀχρήστως γίνεται πρὸς τὰ ὅλα· οὐδὲ γὰρ ἂν τἀγαθὸν ἦν. οὐκοῦν ἐν θεοῖς ἀγαθὸν οὐδέν ἐστιν, ἐπεὶ μηδὲ κακόν· οὐδὲ ὅταν ὁ Ζεὺς εἰς ἑαυτὸν ἀναλύσας τὴν ὕλην ἅπασαν, εἷς γένηται, καὶ τὰς ἄλλας ἀνελῇ διαφοράς, οὐδέν ἐστιν ἀγαθὸν τηνικαῦτα, μηδενός γε κακοῦ παρόντος· ἀλλὰ χορτοῦ μέν ἐστιν ἐμμέλεια, μηδενὸς ἀπᾴδοντος ἐν αὐτῷ· καὶ σώματος ὑγεία, μηδενὸς μορίου νοσοῦντος· ἀρετὴ δ' ἄνευ κακίας οὐκ ἔχει γένεσιν, ἀλλ' ὥσπερ ἐνίαις τῶν ἰατρικῶν δυνάμεων ἰὸς ὄφεως, καὶ χολὴ ὑαίνης, οὕτως ἀναγκαῖόν ἐστιν ἐπιτηδειότης ἑτέρα τῇ Μελίτου μοχθηρίᾳ πρὸς τὴν Σωκράτους δικαιοσύνην, καὶ τῇ

οὐράνια καὶ θεῖα, φήσει. γελοῖον γὰρ, εἰ, μὴ γενομένης ἐν ἀνθρώποις, μηδ' οὔσης κακίας καὶ ἀπληστίας καὶ ψευδολογίας, μηδ' ἀλλήλους ἡμῶν ἀγόντων καὶ φερόντων καὶ συκοφαντούντων καὶ φονευόντων, οὐκ ἂν ἐβάδιζεν ὁ ἥλιος τὴν τετυγμένην πορείαν, οὐδ' ἂν ὥραις ἐχρῆτο καὶ περιόδοις καιρῶν ὁ κόσμος, οὐδὲ ἡ γῆ τὴν μέσην χώραν ἔχουσα τοῦ παντὸς, ἀρχὰς τῶν πνευμάτων ἐνεδίδου καὶ ὄμβρων. ἀπολείπεται τοίνυν, πρὸς ἡμᾶς καὶ τὰ ἡμέτερα τὴν κακίαν εὐχρήστως γεγονέναι· καὶ τοῦτο ἴσως οἱ ἄνδρες λέγουσιν. ἆρ' οὖν ὑγιαίνομεν μᾶλλον, κακοὶ ὄντες, ἔτι δὲ μᾶλλον εὐπορούμεν τῶν ἀναγκαίων; πρὸς δὲ κάλλος ἡμῖν, ἢ πρὸς ἰσχὺν εὔχρηστος ἡ κακία γέγονεν; οὔ φασιν. ἡ δὲ, τῆς γῆς ἐστιν ὄνομα μόνον, καὶ δόκημα νυκτερωπὸν ἐννύχων σοφιστῶν, οὐχ, ὥσπερ ἡ κακία, πᾶσιν ὑπερέκκειται, καὶ πᾶσιν ἐναργὴς, οὐδενὸς ὡς ἀχρήστου μεταλαβεῖν· ἥκιστα δ' ἀρετῆς, ὦ θεοὶ, δι' ἣν γεγόναμεν; εἶτ' οὐ δεινόν, εἰ γεωργῷ μὲν καὶ κυβερνήτῃ καὶ ἡνιόχῳ τὰ εὔχρηστα, φορὰ καὶ συνεργὰ πρὸς τὸ οἰκεῖόν ἐστι τέκος· τὸ δὲ ὑπὸ τοῦ θεοῦ πρὸς ἀρετὴν γεγονὸς ἀπολώλεκε τὴν ἀρετὴν καὶ διέφθαρκεν; ἀλλ' ἴσως ἤδη καιρὸς ἐπ' ἄλλο τρέπεσθαι, τοῦτο δ' ἀφεῖναι.

XVI. *ΛΑΜΠΡ.* Οὐδαμῶς, ὦ φίλος, ἐμὴν χάριν ἐπιθυμῶ γὰρ πυθέσθαι, τίνα δὴ τρόπον οἱ ἄνδρες τὰ κακὰ τῶν ἀγαθῶν, καὶ τὴν κακίαν τῆς ἀρετῆς προεισάγουσιν.

ΛΙΑΔΟΤΜ. Ἀμέλει καὶ ἄξιον, ὦ ἑταῖρε· πολὺς μέν δ' ψελλισμὸς αὐτῶν, τέλος δὲ, τὴν μὲν φρόνησιν

ἀγαθῶν καὶ κακῶν οἴσαν, * καὶ παντάπασιν ἀρεῖσθαι λέγουσιν· ὡς δ' ἀληθῶν ὄντων, μὴ καὶ ψευδῆ τινα εἶναι παραπλησίως, φήκει, ἀγαθῶν ὑπαρχόντων, καὶ κακά

ΠΡ. Ἀλλὰ τοῦτο μὲν οὐ φαύλως λέλεκται· ον οἶμαι μηδ' ἐμὲ λανθάνειν. ὁρῶ γὰρ ῆ τὸ μὲν οὐκ ἀληθὲς εὐθὺς ψεῦδός ἐστιν, ὺς κακὸν τὸ μὴ ἀγαθόν. ὅθεν ἀληθῶν υδῶν οὐθέν ἐστι μέσον, ἀγαθῶν δὲ καὶ διάφορον· καὶ οὐκ ἀνάγκη ταῦτα συνυείνοις· ἐξῆν γὰρ τὴν φύσιν ἔχειν τὸ ἀγαιακοῦ μὴ δεομένην, ἀλλὰ τὸ μήτ' ἀγαθὸν, ν ἔχουσαν. πρὸς δὲ τὸν πρότερον λόγον, κι παρ' ὑμῶν, ἀκουστέον.

ΔΙΑΔΟΤΜ. Ἀλλὰ πολλὰ μὲν λέλεκται, τοῖς ἀναγκαίοις χρηστέον. πρῶτον μὲν οὖν σθαι, φρονήσεως ἕνεκα γένεσιν κακῶν ὑιαὶ ἀγαθῶν. ὄντων γὰρ ἀγαθῶν καὶ καεται φρόνησις, ὥσπερ ἰατρικὴ νοσερῶν ν καὶ ὑγιεινῶν. οὐ γὰρ τὸ ἀγαθὸν ὑφίτὸ κακὸν, ἵνα γένηται φρόνησις, ἀλλ' ἥ καὶ τὸ κακὸν ὄντα καὶ ὑφεστῶτα κρίνοίσθη φρόνησις· ὥσπερ ὄψις ἡ λευκῶν καὶ σθησις, οὗ γενομένων, ὡς ἔχοιμεν ὄψιν λὰ μᾶλλον ἡμῶν πρὸς τὰ τοιαῦτα κρίνειν λόντων. δεύτερον, ὅταν ἐκπυρώσωσι τὸν ος, κακὸν μὲν οὐδ' ὁτιοῦν ἀπολείπεται· ρόνιμόν ἐστι τηνικαῦτα καὶ σοφόν· ἔστι

τοίνυν φρόνησις, οὐκ ὄντος κακοῦ· καὶ
κακὸν ὑπάρχειν, εἰ φρόνησις ἔνι. εἰ δὲ
δεῖ τὴν φρόνησιν ἀγαθῶν εἶναι καὶ κακῶν
τί δεινόν, εἰ τῶν κακῶν ἀναιρεθέντων οὐ
νησις; ἑτέραν τ' ἀντ' ἐκείνης ἀρετὴν ἔ
ἀγαθῶν καὶ κακῶν, ἀλλ' ἀγαθῶν μόνο
οὖσαν; ὥσπερ εἰ τῶν χρωμάτων τὸ μέλαν
παντάπασιν, εἶτά τις βιάζοιτο, καὶ τὴ
λωλέναι· λευκῶν γὰρ οὐκ εἶναι καὶ μελά
σιν· τί κωλύει φάναι πρὸς αὐτὸν, ὅτι δ
εἰ τὴν μὲν ὑπό σου λεγομένην ὄψιν οὐκ ἔ
δὲ πάρεστιν ἀντ' ἐκείνης αἴσθησις ἡμῖν κ
ἢ λευκῶν ἀντιλαμβανόμεθα καὶ μὴ λευ
των; ἐγὼ μὲν γὰρ οὔτε γεῦσιν οἶμαι φρο
νέσθαι, πικρῶν ἐπιλιπόντων, οὔτε ἀφὴ
νος ἀναιρεθείσης, οὔτε φρόνησιν, κακοῦ
τος· ἀλλ' ἐκείνας τε μένειν αἰσθήσεις
ἡδέων καὶ τῶν μὴ τοιούτων ἀντιλαμβανο
την τε τὴν φρόνησιν ἀγαθῶν καὶ μὴ ἀ
στήμην οὖσαν. οἷς δὲ μὴ δοκεῖ, τοῦνο
ἀπολιπέτωσαν ἡμῖν τὸ πρᾶγμα.

XVIII. Χωρὶς δὲ τούτων, τί ἐκώλυ
κακοῦ νόησιν εἶναι, τοῦ δ' ἀγαθοῦ κ
ὥσπερ, οἶμαι, καὶ τοῖς θεοῖς ὑγείας μέν
σία, πυρετοῦ δὲ καὶ πλευρίτιδος νόησις.
μῖν κακῶν μὲν ἀφθόνως πᾶσι παρόντω
δὲ μηδενὸς, ὡς οὗτοι λέγουσιν, ἀλλὰ τ
οὐκ ἀπολελείμμεθα τὴν φρόνησιν, τὸ ὑ
εὐδαιμονίαν. ὃ καὶ θαυμαστόν ἐστιν

ἀρετῆς μὴ παρούσης, εἰσὶν οἱ διδάσκοντες, ὁποῖόν ἐστι, καὶ καταλήψιν ἐμποιοῦντες· τῆς κακίας δὲ μὴ γενομένης, οὐ δυνατὸν ἦν κτήσασθαι νόησιν. ὅρα γὰρ, οἷα πείθουσιν ἡμᾶς οἱ κατὰ τὰς ἐννοίας φιλοσοφοῦντες, ὅτι τῇ μὲν ἀφροσύνῃ καταλαμβάνομεν τὴν φρόνησιν, ἡ δὲ φρόνησις ἄνευ τῆς ἀφροσύνης οὔτε αὐτὴν ἀφροσύνην καταλαμβάνειν πέφυκεν.

XIX. Εἰ δὲ δὴ πάντως ἐδεῖτο κακοῦ γενέσεως ἡ φύσις, ἓν ἦν δήπου παράδειγμα κακίας ἱκανὸν, ἢ δεύτερον· εἰ δὲ βούλει, δέκα φαύλους, ἢ χιλίους, ἢ μυρίους ἔδει γενέσθαι, καὶ μὴ κακίας μὲν φορὰν τοσαύτην τὸ πλῆθος, οὐ ψάμμος, ἢ κόνις, ἢ πτερὰ ποικιλοτρίχων οἰωνῶν τόσσον ἂν ψεύαιτο ἀριθμόν, ἀρετῆς δὲ μηδ' ἐνύπνιον. οἱ μὲν γὰρ ἐν Σπάρτῃ τῶν φιδιτίων ἐπιμελούμενοι δύο ἢ τρεῖς εἵλωτας ἐμπεφορημένους ἀκράτου καὶ μεθύοντας εἰς κοινὸν, ἐπιδείκνυνται τοῖς νέοις, ὁποῖόν ἐστι τὸ μεθύειν, ὅπως φυλάττωνται καὶ σωφρονῶσιν. ἐν δὲ τῷ βίῳ τὰ πολλὰ ταῦτα τῆς κακίας γέγονε παραδείγματα· νήφων γὰρ οὐδὲ εἷς ἐστι πρὸς ἀρετὴν, ἀλλὰ ῥεμβόμεθα πάντες, ἀσχημονοῦντες καὶ κακοδαιμονοῦντες· οὕτως ὁ λόγος ἡμᾶς μεθύσκει, καὶ τοσαύτης καταπίμπλησι ταραχῆς καὶ παραφροσύνης, οὐδὲν ἀπολείποντας τῶν κυνῶν, ἃς, φησιν Αἴσωπος, δερμάτων τινῶν ἐμπλεόντων ἐφιεμένας ὁρμῆσαι μὲν ἐκπίνειν τὴν θάλασσαν, ῥαγῆναι δὲ πρότερον ἢ τῶν δερμάτων λαβέσθαι· καὶ γὰρ ἡμᾶς ὁ λόγος ἐλπίζοντας εὐδοκιμήσειν δι' αὐτοῦ καὶ τῇ ἀρετῇ προσοίσεσθαι, πρὶν ἐπ' ἐκείνην ἀφικέσθαι, διέφθαρκε καὶ ἀπόλωλε, πολλῆς ἀκράτου καὶ

πικρᾶς κακίας προεμφορηθέντας· εἴγε δὴ
ἐπ' ἄκρον προκόπτουσιν, ὡς οὗτοι λέγουσ
κουφισμός, οὐκ ἄνεσίς ἐστιν, οὔτ' ἀναπν
βελτηρίας καὶ κακοδαιμονίας.

XX. Ὁ τοίνυν λέγων, οὐκ ἀχρήστως
τὴν κακίαν, ὅρα πάλιν, οἷον αὐτὴν ἀποδείκνυ
καὶ κτῆμα τοῖς ἔχουσι, γράφων ἐν τοῖς περ
θωμάτων, ὡς ὁ φαῦλος οὐδενὸς δεῖται, οὐ
χρείαν· οὐδέν ἐστιν αὐτῷ χρήσιμον, οὐθὲ
οὐδὲν ἁρμόττον. πῶς οὖν εὔχρηστος ἡ κακ
ἧς οὐδὲ ὑγεία χρήσιμον οὐδὲ πλῆθος χ
οὐδὲ προκοπή; οὐ δεῖται δέ τις, ὧν τὰ μ
γμένα καὶ ληπτὰ, καὶ νὴ Δία εὔχρηστα, τ
φύσιν, ὡς αὐτοὶ καλοῦσιν; εἶτα τούτων ο
χρείαν, ἂν μὴ γένηται σοφός. οὐδὲ τοῦ σ
γενέσθαι χρείαν ἔχει ὁ φαῦλος. οὐδὲ διψῶ
πεινῶσιν ἄνθρωποι, πρὶν σοφοὶ γενέσθαι·
οὖν, ὕδατος οὐκ ἔχουσι χρείαν, οὐδ' ἄρτ
νῶντες.

Ξένοισι μειλίχοις ἐοικότες, στέγης
Μοῦνον καὶ πυρὸς κεχρημένοις·

οὕτως οὐκ εἶχε χρείαν ὑποδοχῆς οὐδὲ χλαί
ὁ λέγων·

Δὸς χλαῖναν Ἱππώνακτι· κάρτα γὰρ ῥιγ
ἀλλὰ βούλει παράδοξον εἰπεῖν τι καὶ περ
ἴδιον; λέγε, τὸν σοφὸν μηδενὸς ἔχειν χρει
διῖσθαί τινος· ἐκεῖνος ὄλβιος, ἐκεῖνος ἀπ
ἐκεῖνος αὐτάρκης, μακάριος, τέλειος. νη
ἴλιγγος οὗτος, τὸν μὲν ἀνενδεῆ δεῖσθαι

ν δὲ φαῦλον ἐνδεῆ μὲν εἶναι πολλῶν, δεῖ-
ηδενός; τουτὶ γὰρ λέγει Χρύσιππος, ὡς
κι μὲν, ἐνδέονται δὲ οἱ φαῦλοι· πεττῶν δί-
ο καὶ κεῖ τὰς κοινὰς ἐννοίας μετατιθείς. πάν-
ίνθρωποι τὸ δεῖσθαι πρότερον εἶναι τοῦ μὴ
νομίζουσιν, ἡγούμενοι, τὸν οὐχ ἑτοίμων οὐδ'
ων δεόμενον ἐνδεῖσθαι. κεράτων γοῦν καὶ
ὐδεὶς ἐνδεὴς ἄνθρωπός ἐστιν, ὅτι μηδὲ δεῖ-
ων· ἀλλὰ ὅπλων ἐνδεεῖς λέγομεν, καὶ χρη-
καὶ ἱματίων, ὅταν ἐν χρείᾳ γενόμενοι, μὴ
ι, μηδ' ἔχωσιν. οἱ δ' οὕτως ἐπιθυμοῦσιν
ιρὰ τὰς κοινὰς ἐννοίας φαίνεσθαι λέγοντες,
λάκις ἐξίστασθαι καὶ τῶν ἰδίων, ἐπιθυμίᾳ
ίας, ὥσπερ ἐνταῦθα.

. Σκόπει δὲ, μικρὸν ἀνωτέρω ἀναγαγὼν
ἔν τι τῶν παρὰ τὰς ἐννοίας λεγομένων ἐστὶ,
α φαῦλον ὠφελεῖσθαι. καίτοι παιδευόμε-
ιλλοὶ προκόπτουσι, καὶ δουλεύοντες ἐλευθε-
καὶ πολιορκούμενοι σώζονται, καὶ πηρού-
ραγωγοῦνται, καὶ θεραπεύονται νοσοῦντες
ὠφελοῦνται τούτων τυγχάνοντες, οὐδ' εὖ
ιν, οὐδ' εὐεργέτας ἔχουσιν, οὐδ' εὐεργετῶν
ν. οὐ τοίνυν οὐδ' ἀχαριστοῦσιν οἱ φαῦλοι·
οὐδὲ οἱ νοῦν ἔχοντες. ἀνύπαρκτον οὖν ἐστι
στον· οἱ μὲν γὰρ οὐκ ἀποστεροῦσι χάρι-
ντες, οἱ δὲ χάριν λαμβάνειν οὐ πεφύκασιν.
τί πρὸς ταῦτα λέγουσιν· ὅτι ἡ χάρις εἰς τὰ
εἶνει, καὶ τὸ μὲν ὠφελεῖν καὶ ὠφελεῖσθαι
ι, χάριτος δὲ καὶ οἱ φαῦλοι τυγχάνουσιν.

εἶτα οἷς χάριτος μέτεστι, τούτοις οὐ μέτεστι χρ
ὅπου δὲ διατείνει χάρις, ἐκεῖ χρήσιμον οὐθέν ἐ
οὐδ' οἰκεῖον; ἄλλο δὲ τί ποιεῖ τὴν ὑπουργίαν χ
ἢ τὸ πρός τι χρήσιμον ὑπάρξαι τῷ δεομένῳ τὸν
ρασχόντα.

XXII. *ΛΑΜΠΡ.* Ταῦτα μὲν οὖν ἄφες. πολυτίμητος ὠφέλεια τίς ἐστιν, ἣν ὡς μέγα τι σοφοῖς ἐξαίρετον φυλάσσοντες, οὐδ' ὄνομα λείπει αὐτοῖς τοῖς σοφοῖς.

ΔΙΑΔΟΤΜ. Ἂν εἷς σοφὸς ὁπηδήποτε προ τὸν δάκτυλον φρονίμως, οἱ κατὰ τὴν οἰκουμένη φοὶ πάντες ὠφελοῦνται. τοῦτο τῆς φιλίας ἔργο τῶν· εἰς τοῦτο τοῖς κοινοῖς ὠφελήμασι τῶν σ αἱ ἀρεταὶ τελευτῶσιν. ἐλήρει δ' Ἀριστοτέλης, ἐ δὲ Ξενοκράτης, ὠφελεῖσθαι μὲν ἀνθρώπους θεῶν, ὠφελεῖσθαι δὲ ὑπὸ γονέων, ὠφελεῖσθ ὑπὸ καθηγητῶν ἀποφαινόμενοι· τὴν δὲ θαυμα ἀγνοοῦντες ὠφέλειαν, ἣν οἱ σοφοὶ κινουμένων ἀρετὴν ἀλλήλων ὠφελοῦνται, κἂν μὴ συνῶσι, γινώσκοντες τυγχάνωσι. καὶ μὴν πάντες ἄνθρ τὰς ἐκλογάς, καὶ τὰς τηρήσεις, καὶ τὰς οἰκονο ὅταν χρήσιμοι ὦσι καὶ ὠφέλιμοι, τότε χρησίμου ὠφελίμους ὑπολαμβάνουσι· καὶ κλεῖδας ὠνεῖται ἀποθήκας φυλάττει χρηματικὸς ἀνήρ,

Πλούτου διοίγων θάλαμον ἥδιστον χερί·

τὸ δ' ἐκλέγεσθαι τὰ πρὸς μηδὲν ὠφέλιμα, καὶ τ ἐπιμελῶς καὶ πολυπόνως, οὐ σεμνόν, οὐδὲ κ ἀλλὰ καταγέλαστόν ἐστιν. ὁ οὖν Ὀδυσσεὺς δεσμὸν ἐκεῖνον ἐκμαθὼν παρὰ τῆς Κίρκης,

μαίνεσθαι δι' αὐτοῦ, μὴ τὰ παρ' Ἀλκινόου δῶρα, τρίποδας καὶ λέβητας, καὶ εἵματα, καὶ χρυσὸν, ἀλλὰ συρφετόν τινα καὶ λίθους, καὶ * συναγαγὼν τὴν περὶ ταῦτα πραγματείαν, καὶ κτῆσιν αὐτῶν. καὶ τήρησιν, εὐδαιμονικὸν ἔργον ἡγεῖτο, καὶ μακάριον, τίς ἂν ἐζήλωσε τὴν ἀνόητον ταύτην πρόνοιαν, καὶ κενόσπουδον ἐπιμέλειαν; ἀλλὰ μὴν τοῦτο τῆς Στωϊκῆς ὁμολογίας τὸ καλόν ἐστι, καὶ σεμνὸν, καὶ μακάριον, ἕτερον δ' οὐθὲν, ἀλλ' ἐκλογὴ καὶ τήρησις ἀνωφελῶν πραγμάτων καὶ ἀδιαφόρων· τοιαῦτα γὰρ τὰ κατὰ φύσιν, καὶ τὰ ἐκτός ἐστι μᾶλλον· εἴ γε κρασπέδοις, καὶ ἀμίσι χρυσαῖς, καὶ νὴ Δία ληκύθοις, ὅταν ὑγιάσωσι, παραβάλλουσι τὸν μέγιστον πλοῦτον· εἶτα ὥσπερ οἱ θεῶν τινων ἢ δαιμόνων ἱερὰ δόξαντες ὑπερηφάνως καθυβρίσαι καὶ λοιδορῆσαι, μετακρούσαντες εὐθὺς ὑποπίπτουσι, καὶ κάθηνται ταπεινοὶ, κατευλογοῦντες καὶ μεγαλύνοντες τὸ θεῖον· οὕτως ἐκεῖνοι νεμέσει τινὶ τῆς μεγαλαυχίας ταύτης καὶ κενολογίας περιπεσόντες, αὖθις ἐν τούτοις ἐξετάζονται τοῖς ἀδιαφόροις καὶ μηδὲν πρὸς αὐτοὺς, μέγα βοῶντες, ὡς ἓν ἐστιν ἀγαθὸν, καὶ καλὸν, καὶ σεμνὸν, ἡ τούτων ἐκλογὴ, καὶ περὶ ταῦτα οἰκονομία, καὶ τούτων μὴ τυγχάνοντας οὐκ ἄξιόν ἐστι βιοῦν, ἀλλ' ἀποσφάττειν ἑαυτοὺς ἢ ἀποκαρτερεῖν, πολλὰ τῇ ἀρετῇ χαίρειν φάσκοντας. τὸν τοίνυν Θέογνιν αὐτοὶ παντελῶς ἀγενῆ καὶ μικρὸν ἡγοῦνται, λέγοντα·

Χρὴ πενίην φεύγοντα, καὶ ἐς μεγακήτεα πόντον
Ῥίπτειν, καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων.

τίνος ἀποδειλιῶντα πρὸς τὴν πενίαν ἀδιάφορον οὖ-

σαν· ἀλλ' αὐτοί γε ταὐτὰ πεζῷ λόγῳ παρακελεύονται, καὶ λέγουσιν, ὅτι χρὴ νόσον φεύγοντα μεγάλην καὶ ἀλγηδόνα σύντονον, ἐὰν μὴ παρῇ ξίφος ἢ κώνειον, εἰς θάλατταν ἀφεῖναι, καὶ κατὰ πετρῶν ῥίπτειν ἑαυτόν· ὧν οὐδέτερον βλαβερὸν, οὐδὲ κακὸν, οὐδ' ἀσύμφορόν ἐστιν, οὐδὲ κακοδαίμονας ποιεῖ τοὺς περιπίπτοντας.

XXIII. *Πόθεν οὖν*, φησὶν, *ἄρξομαι; καὶ τίνα λάβω τοῦ καθήκοντος ἀρχήν, καὶ ὕλην τῆς ἀρετῆς, ἀφεὶς τὴν φύσιν, καὶ τὸ κατὰ φύσιν; πόθεν δ' Ἀριστοτέλης, ὦ μακάριε, καὶ Θεόφραστος ἄρχονται; τίνας δὲ Ξενοκράτης καὶ Πολέμων λαμβάνουσιν ἀρχάς; οὐχὶ καὶ Ζήνων τούτοις ἠκολούθησεν, ὑποτιθεμένοις στοιχεῖα τῆς εὐδαιμονίας τὴν φύσιν, καὶ τὸ κατὰ φύσιν; ἀλλ' ἐκεῖνοι μὲν ἐπὶ τούτων ἔμειναν, ὡς αἱρετῶν καὶ ἀγαθῶν καὶ ὠφελίμων, καὶ τὴν ἀρετὴν προσλαβόντες αὐτοῖς ἐνεργοῦσαν, οἰκείως χρωμένην ἑκάστῳ, τέλειον ἐκ τούτων καὶ ὁλόκληρον ὤοντο συμπληροῦν βίον καὶ συμπεραίνειν, τὴν ἀληθῶς τῇ φύσει πρόσφορον καὶ συνῳδὸν ὁμολογίαν ἀποδιδόντες. οὐ γὰρ ὥσπερ οἱ τῆς γῆς ἀφαλλόμενοι, καὶ καταφερόμενοι πάλιν ἐπ' αὐτὴν, ἐταράττοντο, τὰ αὐτὰ πράγματα λῆπτὰ καὶ οὐχ αἱρετὰ, καὶ οἰκεῖα καὶ οὐκ ἀγαθὰ, καὶ ἀνωφελῆ μὲν, εὔχρηστα δὲ, καὶ οὐδὲν μὲν πρὸς ἡμᾶς, ἀρχὰς δὲ τῶν καθηκόντων ὀνομάζοντες· ἀλλὰ οἷος ὁ λόγος, τοιοῦτος ἦν ὁ βίος τῶν ἀνδρῶν ἐκείνων, ἃ ἔπραττον οἷς ἔλεγον οἰκεῖα καὶ σύμφωνα παρεχόντων.* ἡ δὲ τούτων αἵρεσις, *ὥσπερ ἡ παρ' Ἀρχιλόχῳ γυνὴ,*

Τῇ μὲν ὕδωρ δολοφρυνθουσα χειρὶ, τῇ δὲ πῦρ,
ς μὲν προσάγεται τὴν φύσιν, τοῖς δ' ἀπωθεῖται
μασι· μᾶλλον δὲ τοῖς μὲν ἔργοις καὶ τοῖς πρά-
κσιν, ὡς αἱρετῶν καὶ ἀγαθῶν ἐχονται τῶν κατὰ
τον, τοῖς δ' ὀνόμασι, καὶ τοῖς ῥήμασιν, ἀδιάφορα
ἄχρηστα καὶ ἀῤῥεπῆ πρὸς εὐδαιμονίαν ἀναίνον-
καὶ προπηλακίζουσιν.

XXIV. Ἐπεὶ δὲ καθόλου τἀγαθὸν ἅπαντες ἄν-
ωποι χαρτὸν νοοῦσιν, εὐκταῖον, εὐτυχὲς, ἀξίαν
ν τὴν μεγίστην, αὔταρκες, ἀπροσδεὲς, ὅρα τὸ
των παρατιθὲς ἀγαθὸν, ἆρά γε χαρτὸν ποιεῖ τὸ
ονίμως τὸν δάκτυλον προτεῖναι; τί δ' εὐκταῖόν
ι φρονίμη στρέβλωσις; εὐτυχεῖ δὲ ὁ κατακρημνί-
ἑαυτὸν εὐλόγως; ἀξίαν δ' ἔχει τὴν μεγίστην, ὃ
λάκις αἱρεῖ λόγος ἀντὶ τοῦ μὴ ἀγαθοῦ προέσθαι;
ειον δὲ καὶ αὔταρκές ἐστιν, οὗ παρόντος, ἂν μὴ
χάνωσι τῶν ἀδιαφόρων, οὐχ ὑπομένουσιν, οὐδὲ
λονται ζῆν; γέγονε δὲ ἕτερος λόγος, ὑφ' οὗ μᾶλ-
ἡ συνήθεια παρανενόμηται, τὰς μὲν γνησίας ὑ-
ροῦντος αὐτοῦ καὶ ἀποσπῶντος ἐννοίας, ὥσπερ
να, νόθας δὲ προσβάλλοντας ἑτέρας θηριώδεις
ἀλλοκότους, καὶ ταύτας ἀντ' ἐκείνων ἐκτιθηνεῖ-
αι καὶ στέργειν ἀναγκάζοντος· καὶ ταῦτα ἐν τοῖς
ὶ ἀγαθῶν καὶ κακῶν, αἱρετῶν τε καὶ φευκτῶν,
είων τε καὶ ἀλλοτρίων, ἃ μᾶλλον ἔδει θερμῶν τε
ψυχρῶν, λευκῶν τε καὶ μελάνων σαφεστέραν ἔχειν
ἐνάργειαν· ἐκείνων μὲν γὰρ ἔξωθέν εἰσιν αἱ φαν-
ίαι ταῖς αἰσθήσεσιν ἐπεισόδιοι, ταῦτα δ' ἐκ τῶν
ῶν τῶν ἐν ἡμῖν σύμφυτον ἔχει τὴν γένεσιν. οὐ

δὲ ὥσπερ εἰς τὸν ψευδόμενον, ἢ τὸν κυριεύοντα, μετὰ τῆς διαλεκτικῆς ἐμβάλλοντες εἰς τὸν περὶ εὐδαιμονίας τόπον, ἔλυσαν μὲν οὐδεμίαν ἀμφιβολίαν ἐν αὐτῷ, μυρίας δ' ἐποίησαν.

XXV. Καὶ μὴν ὅτι δυοῖν ἀγαθῶν, τοῦ μὲν τέλους, τοῦ δὲ πρὸς τὸ τέλος, μεῖζόν ἐστι τὸ τέλος καὶ τελειότερον, ὑπ' οὐδενὸς ἀγνοεῖται. γινώσκει δὲ καὶ Χρύσιππος τὴν διαφοράν, ὡς δῆλόν ἐστιν ἐν τῷ τρίτῳ τῷ περὶ Ἀγαθῶν· τοῖς γὰρ τέλος ἡγουμένοις τὴν ἐπιστήμην ἀνομολογεῖ, καὶ τίθησιν· ἐν δὲ τοῖς περὶ Δικαιοσύνης, εἰ μέν τις ὑπόθοιτο τὴν ἡδονὴν τέλος, οὐκ οἴεται σώζεσθαι τὸ δίκαιον· εἰ δὲ μὴ τέλος, ἀλλὰ ἁπλῶς ἀγαθόν, οἴεται· τὰς δὲ λέξεις οὐκ οἶομαί σε δεῖσθαι νῦν ἀκούειν ἐμοῦ καταλέγοντος· τὸ γὰρ τρίτον περὶ Δικαιοσύνης βιβλίον ἐστὶ πανταχόθεν λαβεῖν. ὅταν οὖν αὖθις, ὦ φίλε, μηθὲν ἀγαθὸν λέγωσι μηθενὸς ἀγαθοῦ μεῖζον εἶναι μηδ' ἔλαττον, ἀλλ' ἴσον τῷ τέλει τὸ μὴ τέλος, οὐ ταῖς κοιναῖς μόνον ἐννοίαις, ἀλλὰ καὶ τοῖς αὐτῶν λόγοις φαίνονται μαχόμενοι. καὶ πάλιν εἰ δυοῖν κακοῖν ὑφ' οὗ μὲν γινόμεθα χείρονες, ὅταν παραγένηται, τὸ δὲ βλάπτει μέν, οὐ ποιεῖ δὲ χείρονας, παρὰ τὴν ἔννοιάν ἐστι μὴ λέγειν ἐκεῖνο μεῖζον εἶναι κακόν, ὑφ' οὗ γινόμεθα χείρονες, ὅταν παραγένηται, τοῦ ὃ βλάπτει μέν, οὐ ποιεῖ δὲ χείρονας· μηδὲ κακίονα βλάβην, τὴν κακίονας ἡμᾶς ἀποτελοῦσαν. ἀλλ' ὁμολογεῖ μὲν Χρύσιππος, εἶναι τινὰς φόβους καὶ λύπας καὶ ἀπάτας, αἳ βλάπτουσι μὲν ἡμᾶς, χείρονας δ' οὐ ποιοῦσιν. ἔτυχε δὲ τῷ πρώτῳ τῶν πρὸς Πλάτωνα γεγραμμένων

περὶ Δικαιοσύνης· καὶ γὰρ ἄλλων ἕνεκα τὴν ἐκεῖ τοῦ ἀνδρὸς εὑρεσιολογίαν ἄξιον ἱστορῆσαι, πάντων ἁπλῶς πραγμάτων καὶ δογμάτων οἰκείων ὁμοῦ καὶ ἀλλοτρίων ἀφειδοῦσαν.

XXVI. Παρὰ τὴν ἔννοιάν ἐστι δύο τέλη καὶ σκοποὺς προκεῖσθαι τοῦ βίου, καὶ μὴ πάντων, ὅσα πράττομεν, ἐφ' ἕν τι γίνεσθαι τὴν ἀναφοράν· ἔτι δὲ μᾶλλόν ἐστι παρὰ τὴν ἔννοιαν, ἄλλο μὲν εἶναι τέλος, ἐπ' ἄλλα δὲ τῶν πραττομένων ἕκαστον ἀναφέρεσθαι· τούτων δ' αὐτοὺς ὑπομένειν ἀνάγκη θάτερον. εἰ γὰρ αὐτὰ μὲν πρῶτα κατὰ φύσιν ἀγαθὰ μή ἐστιν, ἡ δ' εὐλόγιστος ἐκλογὴ καὶ λῆψις αὐτῶν, καὶ τὸ πάντα τὰ παρ' ἑαυτὸν ποιεῖν ἕκαστον ἕνεκα τοῦ τυγχάνειν τῶν πρώτων κατὰ φύσιν, ἐπ' ἐκεῖνο δὲ πάντα ἔχειν τὰ πραττόμενα τὴν ἀναφοράν, τὸ τυγχάνειν τῶν πρώτων κατὰ φύσιν· εἴπερ γὰρ οἴονται, μὴ στοχαζομένους, μηδ' ἐφιεμένους τοῦ τυχεῖν ἐκείνων τὸ τέλος ἔχειν, ἄλλο οὗ δεῖ ἕνεκα ἀναφέρεσθαι τὴν τούτων ἐκλογήν, καὶ μὴ ταῦτα· τέλος μὲν γὰρ, τὸ ἐκλέγεσθαι καὶ λαμβάνειν ἐκεῖνα φρονίμως· ἐκεῖνα δ' αὐτά, καὶ τὸ τυγχάνειν αὐτῶν, οὐ τέλος, ἀλλ' ὥσπερ ὕλη τις ὑπόκειται τὴν ἐκλεκτικὴν ἀξίαν ἔχουσα· τοῦτο γὰρ οἶμαι καὶ τοὔνομα λέγειν καὶ γράφειν αὐτοὺς, ἐνδεικνυμένους τὴν διαφοράν.

ΛΑΜΠΡ. Ἀνδρικῶς μὲν ἀπομεμνημόνευκας καὶ ὃ λέγουσι, καὶ ὡς λέγουσι.

ΔΙΑΛΟΓΜ. Σκόπει δὲ, ὅτι ταυτὸ πάσχουσι τοῖς τὴν σκιὰν ὑπεραλλεσθαι τὴν ἑαυτῶν ἐφιεμένοις· οὐ γὰρ ἀπολείπουσιν, ἀλλὰ συμμεταφέρουσι τὴν ἀτο-

πίαν τῷ λόγῳ, πορρωτάτω τῶν ἐννοιῶν ἀφισταμένην. ὡς γὰρ εἰ τοξεύοντα φαίη τις οὐχὶ πάντα ποιεῖν τὰ περὶ αὐτὸν ἕνεκα τοῦ βαλεῖν τὸν σκοπόν, ἀλλ' ἕνεκα τοῦ πάντα ποιῆσαι τὰ περὶ αὐτὸν, αἰνίγμασιν ὅμοια καὶ τεράστια δόξειεν ἂν περαίνειν· οὕτως οἱ τριπέμπελοι βιαζόμενοι μὴ τὸ τυγχάνειν τῶν κατὰ φύσιν τοῦ στοχάζεσθαι τῶν κατὰ φύσιν εἶναι τέλος, ἀλλὰ τὸ λαμβάνειν, τὸ ἐκλέγεσθαι, μηδὲ τὴν ἔφεσιν τῆς ὑγείας καὶ δίωξιν εἰς τὸ ὑγιαίνειν ἑκάστῳ τελευτᾶν, ἀλλὰ τοὐναντίον τὸ ὑγιαίνειν ἐπὶ τὴν ἔφεσιν αὐτοῦ καὶ δίωξιν ἀναφέρεσθαι, περιπάτους τινὰς, καὶ ἀναφωνήσεις, καὶ τομὰς, νὴ Δία, καὶ φαρμακείας εὐλογίστους, τέλη ποιούμενοι τῆς ὑγείας, οὐχὶ τούτων ἐκείνην, ὅμοια ληροῦσι τῷ λέγοντι·

Δειπνῶμεν, ἵνα θύωμεν, ἵνα λουώμεθα.

μᾶλλον δ' ἐκεῖνος εἰωθός τι καὶ νενομισμένον ἀλλάττει, καὶ παρὰ τὴν τάξιν· ἃ δὲ οὗτοι λέγουσι, τὴν πᾶσαν ἔχει τῶν πραγμάτων ἀνατροπὴν καὶ σύγχυσιν· οὐ σπουδάζομεν εὐκαίρως περιπατεῖν ἕνεκα τοῦ πέττειν τὴν τροφὴν, ἀλλ' ἕνεκα τοῦ περιπατεῖν εὐκαίρως. ἧπου καὶ τὴν ὑγείαν ἡ φύσις τοῦ ἑλλεβόρου χάριν πεποίηκεν, οὗ τῆς ὑγείας τὸ ἑλλέβορον. τί γὰρ ἄλλο καταλείπεται αὐτοῖς εἰς ὑπερβολὴν παραδοξολογίας, ἢ τοιαῦτα ληρεῖν; τί γὰρ διαφέρει τοῦ λέγοντος, γεγονέναι τὴν ὑγείαν τῶν φαρμάκων ἕνεκα, μὴ τὰ φάρμακα τῆς ὑγείας, ὁ τὴν ἐκλογὴν τὴν περὶ τὰ φάρμακα καὶ σύνθεσιν καὶ χρῆσιν αὐτῶν αἱρετωτέραν ποιῶν τῆς ὑγείας; μᾶλλον δὲ τὴν μὲν οὐδ' ὅλως *αἱρετὸν ἡγούμενος, ἐν δὲ τῇ περὶ ἐκεῖνα πραγματείᾳ*

τὸ τέλος τιθέμενος; καὶ τὴν ἔφεσιν ἀποφαίνων τῆς τελέξεως, οὗ τῆς ἐφέσεως τὴν τεῦξιν; τῇ γὰρ ἐφέσει, νὴ Δία, τὸ εὐλογίστως καὶ τὸ φρονίμως πρόσεστι. πάνυ μὲν οὖν, φήσομεν, ἂν ὡς πρὸς τέλος ὁρᾷ τὴν τεῦξιν, ὧν διώκει, καὶ τὴν κτῆσιν· εἰ δὲ μή, τὸ εὐλόγιστον αὐτῆς ἀφαιρεῖται, πάντα ποιούσης ἕκενα τοῦ τυχεῖν, οὗ τυχεῖν οὐ σεμνὸν οὐδὲ μακάριόν ἐστι.

XXVII. * ἐνταῦθα λόγου γεγόναμεν, πᾶν φαίης μᾶλλον εἶναι παρὰ τὴν ἔννοιαν, ἢ τὸ μὴ λαβόντας ἔννοιαν ἀγαθοῦ μηδὲ σχόντας, φέεσθαι τοῦ ἀγαθοῦ καὶ διώκειν. ὁρᾷς γὰρ, ὅτι καὶ Χρύσιππος εἰς ταύτην μᾶλλον συνελαύνει τὸν Ἀρίστωνα τὴν ἀπορίαν, ὃς τῶν πραγμάτων τὴν πρὸς τὸ μήτ' ἀγαθὸν μήτε κακὸν ἀδιαφορίαν ἐπινοῆσαι, τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ μὴ προεπινοηθέντων· οὕτως γὰρ αὐτῆς φανεῖσθαι τὴν ἀδιαφορίαν προϋφισταμένην, εἰ νόησιν μὲν αὐτῆς οὐκ ἔστι λαβεῖν, μὴ πρότερον τοῦ ἀγαθοῦ νοηθέντος, ὕλλο δ' οὐθὲν, ἀλλ' αὐτὴ μόνον τὸ ἀγαθόν ἐστιν. ἴθι δὲ καὶ σκόπει τὴν ἐκ τῆς Στοᾶς ταύτην ἀρνουμένην ἀδιαφορίαν, καλουμένην δὲ ὁμολογίαν, ὅπως δὴ καὶ ὁπόθεν παρέσχεν αὐτὴν ἀγαθὸν νοηθῆναι. εἰ γὰρ τοῦ ἀγαθοῦ χωρὶς οὐκ ἔστι νοῆσαι τὴν πρὸς τὸ μὴ ἀγαθὸν ἀδιαφορίαν, ἔτι μᾶλλον ἡ τῶν ἀγαθῶν φρόνησις ἐπίνοιαν αὐτῆς οὐ δίδωσι τοῖς ἀγαθὸν μὴ προεννοήσασιν. ἀλλ' ὥσπερ ὑγιεινῶν καὶ νοσερῶν τέχνης οὐ γίνεται νόησις, οἷς μὴ πρότερον αὐτῶν ἐκείνων γέγονεν, οὕτως ἀγαθῶν καὶ κακῶν ἐπιστήμης οὐκ ἔστιν ἔννοιαν λαβεῖν μὴ τὰ ἀγαθὰ καὶ τὰ κακὰ προεννοήσαντας.

πατρον οἰόμενοι λέγεσθαι, μὴ πρὸς τὴν αἵρεσιν· ἐκεῖνον γὰρ, ὑπὸ Καρνεάδου πιεζόμενον, εἰς ταύτας καταλύεσθαι τὰς εὑρεσιολογίας.

XXVIII. Τῶν δὲ περὶ ἔρωτος φιλοσοφουμένων ἐν τῇ Στοᾷ παρὰ τὰς κοινὰς ἐννοίας, τῆς ἀτοπίας πᾶσιν αὐτοῖς μέτεσπιν. αἰσχροὺς μὲν γὰρ εἶναι τοὺς νέους, φαύλους γ' ὄντας καὶ ἀνοήτους, καλοὺς δὲ, τοὺς σοφούς· ἐκείνων δὲ τῶν καλῶν μηδένα μήτ' ἐρᾶσθαι, μήτ' ἀξιέραστον εἶναι. καὶ οὐ τοῦτό πω δεινόν· ἀλλὰ καὶ τοὺς ἐρασθέντας αἰσχρῶν, παύεσθαι λέγουσι καλῶν γενομένων. καὶ τίς ἔρωτα γινώσκει τοιοῦτον, ὃς ἅμα σώματος μοχθηρίᾳ ψυχῆς βλεπομένῃ συνέχεται καὶ γίνεται, κάλλους δὲ ἅμα φρονήσει μετὰ δικαιοσύνης καὶ σωφροσύνης ἐγγινομένου, κατασβέννυται καὶ ἀπομαραίνεται; οὓς μηδὲν οἶομαι τῶν κωνώπων διαφέρειν· χαίρουσι γὰρ λάμπῃ καὶ ὄξει, τὸν δὲ πότιμον καὶ χρηστὸν οἶνον ἀποπετόμενοι φεύγουσιν. ἦν δὲ λέγοντες καὶ ὀνομάζοντες ἔμφασιν κάλλους ἐπαγωγὸν εἶναι τοῦ ἔρωτος λέγουσι, πρῶτον μὲν οὐκ ἔχει τὸ πιθανόν· ἐν γὰρ αἰσχίστοις καὶ κακίστοις οὐκ ἂν ἔμφασις γένοιτο κάλλους· εἶπερ, ὡς λέγουσιν, ἡ μοχθηρία τοῦ ἤθους ἀναπίμπλησι τὸ εἶδος. ἐπεὶ κομιδῇ παρὰ τὴν ἔννοιάν ἐστιν ἀξιέραστον εἶναι τὸν αἰσχρὸν, ὅτι μέλλει καὶ προσδοκᾶταί ποτε κάλλος ἕξειν· κτησάμενον δὲ τοῦτο καὶ γενόμενον καλὸν καὶ ἀγαθὸν, ὑπὸ μηδενὸς ἐρᾶσθαι.

ΛΑΜΠΡ. Θήρα γάρ τις, φησὶν, ἐστὶν ὁ ἔρως, ἀγελοῦς μὲν, εὐφυοῦς δὲ μειρακίου πρὸς ἀρετήν.

ΔΙΑΛΟΓΜ. Εἶτα, ὦ βλίτιστε, πράττομεν ἄλλο νῦν, ἢ τὴν αἵρεσιν αὐτῶν ἐλέγχομεν, οὔτε πιθανοῖς πράγμασιν, οὔτε ὡμιλημένοις ὀνόμασι τὰς κοινὰς ἐκστρέφουσαν ἡμῶν καὶ παραβιαζομένην ἐννοίας; οὐδεὶς γὰρ ἦν ὁ κωλύων τὴν περὶ τοὺς νέους τῶν σοφῶν σπουδὴν, εἰ πάθος αὐτῇ μὴ πρόσεστι, θήραν ἢ φιλοπαίδειαν προσαγορευομένην· ἔρωτα δὲ καλεῖν ὃν πάντες ἄνθρωποι καὶ πᾶσαι γοοῦσι καὶ ὀνομάζουσι *.

Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι· καί·

Οὐ γὰρ πώποτέ μ' ὧδε θεᾶς ἔρος, οὐδὲ γυναικὸς,
Θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν.

XXIX. Εἰς τοιαῦτα μέντοι πράγματα τὸν ἠθικὸν λόγον ἐκβάλλοντες,

Ἑλικτὰ, καὶ οὐδὲν ὑγιὲς, ἀλλὰ πᾶν πέριξ εὐτελίζουσι καὶ διασύρουσιν, ὃς δὴ μόνοι τὴν φύσιν καὶ συνήθειαν ὀρθοῦντες, ἣ χρὴ, καὶ καθίστανται τὸν λόγον, ἀλλ' ἀποστρέφει καὶ ἐπάγει ταῖς ἐφέσεσι καὶ διώξεσι καὶ ὁρμαῖς πρὸς τὸ οἰκεῖον ἕκαστον. ἡ δὲ συνήθεια τῆς διαλεκτικῆς διεραὶ μὲν γινομένη χρηστὸν μὲν οὐδὲν οὐδὲ ὑγιὲς ἀπολέλαυκεν, ἀλλ' ὥσπερ ἡ ἀκοὴ νοσώδης ὑπὸ κενῶν ἦχων δυσηκοΐας καὶ ἀσαφείας ἐμπέπλησται· περὶ ἧς αὖθις ἑτέραν ἀρχὴν λαβόντες, εἰ βούλει, διαλεξόμεθα. νυνὶ δὲ τὸν φυσικὸν αὐτῶν λόγον, οὐχ ἧττον τοῦ περὶ τελῶν διαταράττοντα τὰς κοινὰς προλήψεις, ἐν τοῖς κυριωτάτοις καὶ πρώτοις ἐπιδρόμωμεν.

XXX. Καθόλου μὲν ἄτοπον καὶ παρὰ τὴν ἔν-

νοιάν ἐστιν, εἶναι μέντοι, μὴ ὂν δὲ, εἶναι μὲν, οὐκ ὄντα δὲ εἶναι, λεγόντων ἀτοπώτατόν ἐστι, τὸ ἐπὶ τοῦ παντὸς λεγόμενον. κενὸν γὰρ ἄπειρον ἔξωθεν τῷ κόσμῳ περιθέντες, οὔτε σῶμα τὸ πᾶν, οὔτ' ἄσωμα εἶναι λέγουσιν. ἔπεται δὲ τούτῳ τὸ μὴ ὂν εἶναι τὸ πᾶν· ὄντα γὰρ μόνα τὰ σώματα καλοῦσιν, ἐπειδὴ ὄντος τὸ ποιεῖν τι καὶ πάσχειν, τὸ δὲ πᾶν οὐκ ὄν ἐστιν· ὥστε οὔτε τι ποιήσει, οὐδέ τι πείσεται τὸ πᾶν. ἀλλ' οὐδ' ἐν τόπῳ ἔσται· σῶμα γὰρ δήπου τὸ ἐπέχον τόπον· οὐ σῶμα δὲ τὸ πᾶν. καὶ μὴν τόν γ' αὐτὸν ἐπέχειν τόπον συμβέβηκε τοῦτο τὸ μένον· ὥστ' οὐ μένει τὸ πᾶν· οὐ γὰρ ἐπέχει τόπον. ἀλλ' οὐδὲ κινεῖται· πρῶτον, ὅτι καὶ κινουμένῳ τόπου δεῖ καὶ χώρας ὑποκειμένης· ἔπειτα, ὅτι τὸ κινούμενον, ἢ αὐτὸ κινεῖν, ἢ ὑφ' ἑτέρου πάσχειν πέφυκε· τὸ μὲν οὖν ὑφ' ἑαυτοῦ κινούμενον, ἔχει τινὰς νεύσεις ἐξ ἑαυτοῦ καὶ ῥοπὰς κατὰ βάρος ἢ κουφότητα· κουφότητος δὲ καὶ βάρους ἤτοι σχέσεις τινὲς, ἢ δυνάμεις εἰσὶν, ἢ διαφοραὶ πάντως σώματος· τὸ δ' ἅπαν οὐ σῶμά ἐστιν· ὥστ' ἀνάγκη, μήτε βαρὺ, μήτε κοῦφον εἶναι τὸ πᾶν, μηδ' ἔχειν ἐξ ἑαυτοῦ κινήσεως ἀρχήν. ἀλλὰ μὴν οὐδὲ ὑφ' ἑτέρου κινήσεται τὸ πᾶν· ἕτερον γὰρ οὐδέν ἐστι τοῦ παντός· ὥστ' ἀνάγκη λέγειν αὐτοῖς, ὅπερ λέγουσι, μήτε μένον εἶναι τὸ πᾶν, μήτε κινούμενον. ὅλως δὲ, ἐπεὶ τὸ λέγειν σῶμα τὸ πᾶν, μὴ δέον ἐστὶ κατ' αὐτούς· σῶμα δ' οὐρανὸς, καὶ γῆ, καὶ ζῶα, καὶ φυτὰ, καὶ ἄνθρωποι, καὶ λίθοι τὸ μὴ ὂν σῶμα σώματα μέρη ἕξει, καὶ τοῦ μὴ ὄντος μέρη ἔσται ὄντα, καὶ τὸ μὴ βαρὺ χρήσεται βαρ

ορίοις, καὶ κούφοις τὸ μὴ κοῦφον· ὧν οὐδ' ὀνείκτα λαβεῖν μᾶλλόν ἐστι παρὰ τὰς κοινὰς ἐννοίας. κὶ μὴν οὕτως οὐδὲν ἐναργές ἐστι, καὶ τῶν κοινῶν ρόμενον ἐννοιῶν, ὡς τὸ, εἴ τι μὴ ἔμψυχόν ἐστιν, ιεῖνο ἄψυχον εἶναι· καὶ πάλιν εἴ τι μὴ ἄψυχον, ιεῖνο ἔμψυχον εἶναι· καὶ ταύτην οὖν ἀνατρέπουσι ἣν ἐνάργειαν, οὕτω τὸ πᾶν ὁμολογοῦντες μήτ' ἔμυχον εἶναι, μήτ' ἄψυχον. ἄνευ δὲ τούτων, ἀτελὲς ἐν οὐδεὶς νοεῖ τὸ πᾶν, οὗ γε δὴ μηθὲν μέρος ἄπετιν· οὗτοι δὲ τέλειον οὗ φασιν εἶναι τὸ πᾶν· ὡρικένον γάρ τι τὸ τέλειον· τὸ δὲ πᾶν ὑπ' ἀπειρίας όριστον· οὐκοῦν ἐστί τι κατ' αὐτούς, ὃ μήτ' ἀτελὲς, ήτε τέλειόν ἐστιν. ἀλλὰ μὴν οὔτε μέρος ἐστὶ τὸ πᾶν· ἴθὲν γὰρ αὐτοῦ μεῖζον· οὔτε ὅλον, ὡς αὐτοὶ λέυσι· τεταγμένου γὰρ τὸ ὅλον κατηγορεῖσθαι, τὸ πᾶν δι' ἀπειρίαν καὶ ἀόριστον εἶναι καὶ ἄτακτον. ιον τοίνυν οὔτε τοῦ παντὸς ἕτερόν ἐστι, τῷ μηθὲν ιι παρὰ τὸ πᾶν ἕτερον· οὔτ' ἄλλου τὸ πᾶν, ἀλλ' ὲ αὐτοῦ· ποιεῖν γὰρ οὐ πέφυκε· τῷ δὲ ποιεῖν τὸ ον νοεῖται. φέρε τοίνυν, πάντας ἀνθρώπους ἐρωᾶαι, τί νοοῦσι τὸ μηθὲν, καὶ τίνα τοῦ μηθενὸς ιιαν λαμβάνουσιν, ἆρ' οὐκ ἂν εἴποιεν, ὡς τὸ αἴτιον ὑπάρχον, μήτ' αἴτιον ἔχον· μήτε ὅλον, ιέρος· μήτε τέλειον, μήτ' ἀτελές· μήτ' ἔμψυχον, μήτ' ἄψυχον· μήτε κινούμενον, μήτε μένον που, πάρχον· μήτε σῶμα, μήτ' ἀσώματον; τοῦτο ι ἄλλο τι τὸ οὐθὲν ἐστιν. ὅταν οὖν ὅσα πάνπρὸ τοῦ μηθενὸς, οὗτοι μόνοι τοῦ παντὸς ὖσι, ταυτόν, ὡς ἔοικε, φαίνονται τῷ μη-

δεινὶ τὸ πᾶν ποιοῦντες. οὐθὲν οὖν ἔτι δεῖ λέγειν
χρόνον, τὸ κατηγόρημα, τὸ ἄξίωμα, τὸ συνημμέ
τὸ συμπεπλεγμένον· οἷς χρῶνται μὲν μάλιστα
φιλοσόφων, ὄντα δ' οὐ λέγουσιν εἶναι. καίτοι
ἀληθὲς ὂν μὴ εἶναι, μήτε ὑπάρχειν, ἀλλὰ κατα
βάνεσθαι, καὶ καταληπτὸν εἶναι καὶ πιστὸν, ᾧ
οὐσίας τοῦ ὄντος μὴ μέτεστι, πῶς οὖν οὐ πᾶσαν
χίαν ὑπερβέβληκεν;

XXXI. Ἀλλ', ἵνα μὴ δοκῇ ταῦτα λογικωτι
ἔχειν τὴν ἀπορίαν, ἀψώμεθα τῶν φυσικωτέρων.
τοίνυν

Ζεὺς ἀρχὴ, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυ
ὡς αὐτοὶ λέγουσι, μάλιστα μὲν ἔδει τὰς περὶ
ἐννοίας, εἴ τι ταραχῶδες ἢ πλανητὸν ἐγγέγονεν
ταῖς, ἰωμένους, ἀπευθύνειν καὶ κατορθοῦν ἐπ
βέλτιστον· εἰ δὲ μὴ, θέντας τε ἐᾶν, ὡς ἔχο
ὑπὸ τοῦ νόμου ἕκαστοι, καὶ τῆς συνηθείας πρὸ
θεῖον.

Οὐ γάρ τοι νῦν γε κἀχθὲς, ἀλλ' ἀεί ποτε
Ζῇ ταῦτα, κ' οὐδεὶς οἶδεν, ἐξ ὅτου φάνη.

οἱ δὲ ὥσπερ ἀφ' ἑστίας ἀρξάμενοι τὰ καθεστῶτι
νεῖν καὶ πάτρια τῆς περὶ θεῶν δόξης, οὐδεμίαν
ἁπλῶς εἰπεῖν, ἔννοιαν ὑγιῆ καὶ ἀκέραιον ἀπολι
πασι. τίς γάρ ἐστιν ἄλλος ἀνθρώπων ἢ γέγονεν
οὐκ ἄφθαρτον νοεῖ καὶ ἄϊδιον τὸ θεῖον; ἢ τί ἐν
κοιναῖς προλήψεσι περὶ θεῶν ὁμολογουμένως ἀν
φώνηται μᾶλλον, ἢ τὰ τοιαῦτα·

Τῷ ἕνι τέρπονται μάκαρες θεοὶ ἤματα πάντ
Ἀθανάτων τε θεῶν, χαμαὶ ἐρχομένων τ' ἀνθ

καὶ τό·

Κεῖνοι γάρ τ' ἄνοσοι καὶ ἀγήραοι,
Πόνων δὲ ἄπειροι, βαρυβόαν πορθμὸν πεφευγότες Ἀχέροντος.

καὶ ἴσως ἐντύχοι τις ἂν ἔθνεσι βαρβάροις καὶ ἀγρίοις θεὸν μὴ νοοῦσι· θεὸν δὲ νοῶν, μὴ νοῶν δ' ἄφθαρτον μηδ' ἀΐδιον, ἄνθρωπος οὐδὲ εἷς γέγονεν. οἱ γοῦν ἄθεοι προσαγορευθέντες οὗτοι, Θεόδωροι, καὶ Διαγόραι, καὶ Ἵππωνες, οὐκ ἐτόλμησαν εἰπεῖν, τὸ θεῖον ὅτι φθαρτόν ἐστιν, ἀλλ' οὐκ ἐπίστευσαν, ὡς ἔστι τι ἄφθαρτον· τοῦ μὲν ἀφθάρτου τὴν ὕπαρξιν μὴ ἀπολείποντες, τοῦ θεοῦ δὲ τὴν πρόληψιν φυλάττοντες. ἀλλὰ Χρύσιππος καὶ Κλεάνθης, ἐμπεπληκότες, ὡς ἔπος εἰπεῖν, τῷ λόγῳ θεῶν τὸν οὐρανὸν, τὴν γῆν, τὸν ἀέρα, τὴν θάλατταν, οὐδένα τῶν τοσούτων ἄφθαρτον οὐδ' ἀΐδιον ἀπολελοίπασι, πλὴν μόνου τοῦ Διός· εἰς ὃν πάντας καταναλίσκουσι τοὺς ἄλλους. ὥστε καὶ τούτῳ τὸ φθείρειν προσεῖναι τοῦ φθείρεσθαι μὴ ἐπιεικέστερον· ἀσθενείᾳ γάρ τινι καὶ τὸ μεταβάλλον εἰς ἕτερον φθείρεται, καὶ τὸ τοῖς ἄλλοις εἰς ἑαυτὸ φθειρομένοις τρεφόμενον σώζεται. ταῦτα δὲ, οὐχ ὡς ἄλλα πολλὰ τῶν ἀτόπων, συλλογιζόμενα ἔχει τὰς ὑποθέσεις αὐτῶν, καὶ τοῖς δόγμασιν ἕπεται, ἀλλ' αὐτοὶ μέγα βοῶντες ἐν τοῖς περὶ Θεῶν, καὶ Προνοίας, Εἱμαρμένης τε καὶ Φύσεως γράμμασι, διαῤῥήδην λέγουσι, τοὺς ἄλλους θεοὺς ἅπαντας εἶναι γεγονότας καὶ φθαρησομένους ὑπὸ πυρός, τηκτοὺς, κατ' αὐτοὺς, ὥσπερ κηρίνους, ἢ πεττιτερίνους, ὄντας. ἔστιν οὖν παρὰ τὴν ἔννοιαν.

ὡς τὸ ἄνθρωπον ἀθάνατον εἶναι, καὶ τὸ θεὸν θνητὸν εἶναι· μᾶλλον δ' οὐχ ὁρῶ, τίς ἔσται θεοῦ πρὸς ἄνθρωπον διαφορά, εἰ καὶ ὁ θεὸς ζῶον λογικὸν καὶ φθαρτόν ἐστιν. ἂν γὰρ αὖ τὸ σοφὸν τοῦτο καὶ καλὸν ἀντιθῶσι, θνητὸν εἶναι τὸν ἄνθρωπον, οὐ θνητὸν δὲ τὸν θεόν, ἀλλὰ φθαρτόν, ὅρα τὸ συμβαῖνον αὐτοῖς. ἢ γὰρ ἀθάνατον φήσουσιν ἅμα τὸν θεὸν καὶ φθαρτόν, ἢ μήτε θνητὸν εἶναι μήτ' ἀθάνατον. ὧν οὐκ ἔστιν οὐδὲ πλάττοντας ἑξεπίτηδες ἕτερα παρὰ τὴν κοινὴν ἔννοιαν, ὑπερβάλλειν τὴν ἀτοπίαν· λέγω δὲ τοὺς ἄλλους· ἐπεὶ τούτοις γε τῶν ἀτοπωτάτων οὐδὲν ἄῤῥητον οὐδ' ἀνεπιχείρητόν ἐστι παρειμένον. ἔτι τοίνυν ἐπαγωνιζόμενος ὁ Κλεάνθης τῇ ἐκπυρώσει, λέγει, τὴν σελήνην καὶ τὰ λοιπὰ ἄστρα τὸν ἥλιον * ἐξομοιῶσαι πάντα ἑαυτῷ, καὶ μεταβαλεῖν εἰς ἑαυτόν, ἀλλ' ὅτι * οἱ ἀστέρες θεοὶ ὄντες πρὸς τὴν ἑαυτῶν φθορὰν συνεργοῦσι τῷ ἡλίῳ, συνεργοῦντές τι πρὸς τὴν ἐκπύρωσιν, πολὺς ἂν εἴη γέλως, ἡμᾶς περὶ σωτηρίας αὐτοῖς προσεύχεσθαι, καὶ σωτῆρας ἀνθρώπων νομίζειν, οἷς κατὰ φύσιν ἐστὶ τὸ σπεύδειν ἐπὶ τὴν αὐτῶν φθορὰν καὶ ἀναίρεσιν.

XXXII. Καὶ μὴν αὐτοί τε πρὸς τὸν Ἐπίκουρον οὐδὲν ἀπολείπουσι τῶν πραγμάτων, ἰοὺ, ἰοὺ, φεῦ, φεῦ, βοῶντες, ὡς συγχέοντα τὴν τῶν θεῶν πρόληψιν, ἀναιρουμένης τῆς προνοίας· οὐ γὰρ ἀθάνατον καὶ μακάριον μόνον, ἀλλὰ καὶ φιλάνθρωπον καὶ κηδεμονικὸν καὶ ὠφέλιμον προλαμβάνεσθαι καὶ νοεῖσθαι τὸν θεόν· ὅπερ ἀληθὲς ἐστιν. εἰ δ' ἀναιροῦσι τὴν περὶ θεοῦ πρόληψιν οἱ μὴ ἀπολείποντες πρ

νοιαν, τί ποιοῦσιν οἱ προνοεῖν μὲν τοὺς θεοὺς ἡμῶν λέγοντες, μὴ ὠφελεῖν δὲ ἡμᾶς, μηδ' ἀγαθῶν εἶναι δωτῆρας, ἀλλ' ἀδιαφόρων, ἀρετὴν μὲν μὴ διδόντας, πλοῦτον δὲ καὶ ὑγείαν καὶ τέκνων γενέσεις καὶ τὰ τοιαῦτα διδόντας, ὧν οὐδὲν ὠφέλιμον, οὐδὲ λυσιτελές, οὐδὲ αἱρετόν, οὐδὲ συμφέρον ἐστίν; ἢ ἐκεῖνοι μὲν οὐκ ἀναιροῦσι τὰς περὶ θεῶν ἐννοίας· οὗτοι δὲ καὶ περιυβρίζουσι καὶ χλευάζουσιν, Ἐπικάρπιόν τινα θεὸν εἶναι λέγοντες, καὶ Γενέθλιον, καὶ Παιᾶνα, καὶ Μαντικόν; οὐκ ὄντος ἀγαθοῦ τῆς ὑγείας, καὶ τῆς γενέσεως, οὐδὲ τῆς πολυκαρπίας, ἀλλ' ἀδιαφόρων καὶ ἀνωφελῶν τοῖς λαμβάνουσι.

XXXIII. Τὸ τρίτον τοίνυν τῆς περὶ θεῶν ἐννοίας ἐστὶ, μηδενὶ τοσοῦτον τοὺς θεοὺς τῶν ἀνθρώπων διαφέρειν, ὅσον εὐδαιμονίᾳ καὶ ἀρετῇ διαφέρουσιν. ἀλλὰ, κατὰ Χρύσιππον, οὐδὲ τοῦτο περίεστιν αὐτοῖς· ἀρετῇ τε γὰρ οὐχ ὑπερέχειν τὸν Δία τοῦ Δίωνος, ὠφελεῖσθαί τε δμοίως ὑπ' ἀλλήλων τὸν Δία καὶ τὸν Δίωνα, σοφοὺς ὄντας, ὅταν ἕτερος θατέρου τυγχάνῃ κινουμένου. τοῦτο γάρ ἐστιν, ὃ καὶ παρὰ θεῶν ἀγαθὸν ἀνθρώποις ὑπάρχει, καὶ θεοῖς παρ' ἀνθρώπων, σοφῶν γενομένων, ἄλλο δὲ οὔ. ἀρετῇ δὲ μὴ ἀπολειπόμενον ἄνθρωπον, οὐδὲν ἀποδεῖν εὐδαιμονίας λέγουσιν, ἀλλ' ἐπίσης εἶναι μακάριον τῷ Διὶ τῷ σωτῆρι τὸν ἀτυχῆ, διὰ νόσους καὶ πηρώσεις σώματος ἐξάγοντα τοῦ ζῆν ἑαυτόν, εἴπερ εἴη σοφός. ἔστι δὲ οὗτος οὐδαμοῦ γῆς, οὐδὲ γέγονεν ἄπλετοι δὲ μυριάδες ἀνθρώπων κακοδαιμονοῦντες ἀ' ἄκρον, ἐν τῇ τοῦ Διὸς πολιτείᾳ καὶ ἀρχῇ τὴν

ἀρίστην ἐχούσῃ διοίκησιν. καίτοι τί μᾶλλον ἂν γένοιτο παρὰ τὴν ἔννοιαν, ἢ τοῦ Διὸς ὡς ἔνι ἄριστα διοικοῦντος, ἡμᾶς ὡς ἔνι χείριστα πράσσειν; εἰ γοῦν, ὃ μηδὲ Θέμις ἐστὶν εἰπεῖν, ἐθελήσειε μηδὲ Ζεὺς, μηδὲ Μειλίχιος εἶναι, μηδ' Ἀλεξίκακος, μηδὲ τούτων ἐναντία τῶν καλῶν τούτων προσηγοριῶν, οὐθὲν ἐστὶ προσθεῖναι τοῖς οἷσι κακὸν, οὔτ' εἰς πλῆθος, οὔτ' εἰς μέγεθος, ὡς οὗτοι λέγουσι, πάντων ἀνθρώπων ἐπ' ἄκρον ἀθλίως καὶ μοχθηρῶς βιούντων, καὶ μηδὲ τῆς κακίας ἐπίδοσιν, μηδὲ ὑπερβολὴν τῆς κακοδαιμονίας δεχομένης.

XXXIV. Οὐ μὴν ἐνταῦθα τὸ δεινότατόν ἐστιν, ἀλλὰ Μενάνδρῳ μὲν, εἰπόντι θεατρικῶς·

Ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν
Τὰ λίαν ἀγαθά·

δυσκολαίνουσι· τοῦτο γὰρ εἶναι παρὰ τὴν ἔννοιαν· αὐτοὶ δὲ τῶν κακῶν ἀρχὴν ἀγαθὸν ὄντα τὸν θεὸν τοιοῦσιν. οὐ γὰρ ἦ γε ὕλη τὸ κακὸν ἐξ ἑαυτῆς παρέσχηκεν· ἄποιος γάρ ἐστι, καὶ πάσας, ὅσας δέχεται, διαφορὰς ὑπὸ τοῦ κινοῦντος αὐτὴν καὶ σχηματίζοντος ἔσχε· κινεῖ δ' αὐτὴν ὁ λόγος ἐνυπάρχων καὶ σχηματίζει, μήτε κινεῖν ἑαυτὴν μήτε σχηματίζειν πεφυκυῖαν. ὥστ' ἀνάγκη τὸ κακὸν, εἰ μὲν δὲ οὐθὲν, ἐκ τοῦ μὴ ὄντος· εἰ δὲ διὰ τὴν κινοῦσαν ἀρχὴν, ἐκ τοῦ θεοῦ γεγονὸς ὑπάρχειν. καὶ γὰρ εἰ μὲν οἴονται, τὸν Δία μὴ κρατεῖν τῶν ἑαυτοῦ μερῶν, μηδὲ χρῆσθαι κατὰ τὸν αὐτοῦ λόγον ἑκάστῳ, παρὰ τὴν ἐπίνοιαν λέγουσι, καὶ πλάττουσι ζῷον, οὐ πολλὰ τῶν μορίων ἐκφεύγει τὴν βούλησιν, ἰδίαις ἐνεργείαις τρέ-

μενα καὶ πράξεσιν, αἷς τὸ ὅλον ὁρμὴν οὐ δίδωσιν, αὐδὲ κατάρχει κινήσεως. οὐδὲν γὰρ οὕτω κακῶς συντέτακται τῶν ψυχὴν ἐχόντων, ὥστ', ἀβουλοῦντος αὐτοῦ, προϊέναι πόδας, ἢ φθέγγεσθαι γλῶτταν, ἢ χέρας κυρίττειν, ἢ δάκνειν ὀδόντας· ὧν ἀνάγκη τὰ πλεῖστα πάσχειν τὸν θεὸν, εἰ παρὰ τὴν βούλησιν αὐτοῦ, μέρη ὄντες, οἱ φαῦλοι ψεύδονται καὶ ῥᾳδιουργοῦσι καὶ τοιχωρυχοῦσι καὶ ἀποκτιννύουσιν ἀλλήλους. εἰ δὲ, ὡς φησι Χρύσιππος, οὐδὲ τοὐλάχιστόν ἐστι τῶν μερῶν ἔχειν ἄλλως ἀλλ' ἢ κατὰ τὴν τοῦ Διὸς βούλησιν, ἀλλὰ πᾶν μὲν ἔμψυχον οὕτως ἴσχεσθαι καὶ οὕτω κινεῖσθαι πέφυκεν, ὡς ἐκεῖνος ἄγει, χἀκεῖνος ἐπιστρέφει καὶ ἴσχει καὶ διατίθησιν,

Ὅ δ' αὖτ' ἐκείνου φθόγγος ἐξωλέστερος.

μυρία γὰρ ἦν ἐπικαιρότερον ἀσθενείᾳ καὶ ἀδυναμίᾳ τοῦ Διὸς ἐκβιαζόμενα τὰ μέρη, πολλὰ δρᾷν ἄτοπα παρὰ τὴν ἐκείνου φύσιν καὶ βούλησιν· ἢ μήτ' ἀκρασίαν εἶναι, μήτε κακουργίαν, ἧς οὐκ ἔστιν ὁ Ζεὺς αἴτιος. ἀλλὰ μὴν τόν γε κόσμον εἶναι πόλιν, καὶ πολίτας τοὺς ἀστέρας, εἰ δὲ τοῦτο καὶ φυλέτας, καὶ ἄρχοντας, δῆλον, ὅτι καὶ βουλευτὴν τὸν ἥλιον, καὶ τὸν ἑσπερον πρύτανιν ἢ ἀστυνόμον, οὐκ οἶδα, μὴ τοὺς ἐλέγχοντας τὰ τοιαῦτα τῶν λεγόντων καὶ ἀποφαινομένων, ἀποδείκνυσιν ἀτοπωτέρους.

XXXV. Ἀλλὰ τῶν φυσικωτέρων λεγομένων ἆρα οὐ παρὰ τὴν ἔννοιάν ἐστι, σπέρμα πλέον εἶναι καὶ μᾶζον, ἢ τὸ γεννώμενον ἐξ αὐτοῦ; τὴν γοῦν φύσιν ἅπασιν πᾶσι ζώοις καὶ φυτοῖς καὶ ἀγρίοις ἀρχὰς τὰ

μικρα καὶ γλίσχρα, καὶ μόλις ὁρατὰ τῆς τῶν μεγίστων γενέσεως λαμβάνουσαν. οὐ γὰρ ἐκ πυροῦ στάχυν, οὐδ' ἄμπελον ἐκ γιγάρτου μόνον, ἀλλ' ἐκ πυρῆνος, ἢ βαλάνου τινὸς ὄρνεον διαφυγούσης, ὥσπερ ἐκ μικροῦ τινος σπινθῆρος ἐξάψασα, καὶ ῥιπίσασα τὴν γένεσιν, ἔρνος ἢ βάτου, ἢ δρυὸς, ἢ φοίνικος, ἢ πεύκης, περιμήκιστον ἀναδίδωσιν· ἧ καί φασιν * τὸ μὲν σπέρμα τὴν ἐπὶ μικρὸν ὄγκον ἐκ πολλοῦ σπείρασιν ὠνομάσθαι, τὴν δὲ φύσιν, ἐμφύσησιν οὖσαν, καὶ διάχυσιν τῶν ὑπ' αὐτῆς ἀνοιγομένων καὶ λυομένων λόγων καὶ ἀριθμῶν. ἀλλὰ τοῦ τε κόσμου πάλιν τὸ πῦρ, ὃ σπέρμα λέγουσιν εἶναι, καὶ μετὰ τὴν ἐκπύρωσιν, εἰς σπέρμα μετέβαλε τὸν κόσμον, ἐκ βραχυτέρου σώματος καὶ ὄγκου, φύσιν ἔχοντα πολλὴν, καὶ τοῦ κενοῦ προσεπιλαμβάνοντα χώραν ἄπλετον ἐπινεμομένην τῇ αὐξήσει, γεννωμένου δ' αὖθις ὑποχωρεῖν τὸ μέγεθος καὶ συνολισθαίνειν, δυομένης καὶ συναγομένης περὶ τὴν γένεσιν εἰς ἑαυτὴν τῆς ὕλης.

XXXVI. Ἀκοῦσαι τοίνυν ἐστὶν αὐτῶν καὶ γράμμασιν ἐντυχεῖν πολλοῖς πρὸς τοὺς Ἀκαδημαϊκοὺς διαφερομένων, καὶ βοώντων, ὡς πάντα πράγματα συγχέουσι ταῖς ἀπαραλλαξίαις, ἐπὶ δυοῖν οὐσιῶν ἕνα ποιὸν εἶναι βιαζόμενοι. καίτοι τοῦτο μὲν οὐκ ἔστιν ὅστις ἀνθρώπων οὐ διανοεῖται, καὶ τοὐναντίον οἴεται θαυμαστὸν εἶναι καὶ παράδοξον, εἰ μήτε φάττα φάττῃ, μήτε μελίττῃ μέλιττα, μήτε πυρῷ πυρὸς, ἢ σύκῳ τὸ τοῦ λόγου σῦκον, ἐν τῷ παντὶ χρόνῳ γέγονεν ἀπαράλλακτον. ἐκεῖνα δ' ὄντως παρὰ τὴν ἔννοιάν ἐστιν, ἃ λέγουσιν οὗτοι καὶ πλάττουσιν, ἐπὶ μιᾶς

ὑσίας δύο ἰδίως γενέσθαι ποιοὺς, καὶ τὴν αὐτὴν ὑσίαν ἕνα ποιὸν ἰδίως ἔχουσαν, ἐπιόντος ἑτέρου δέεσθαι καὶ διαφυλάττειν ὁμοίως ἀμφοτέρους. εἰ γὰρ ύο, καὶ τρεῖς καὶ τέτταρες ἔσονται καὶ πέντε, καὶ σους οὐκ ἄν τις εἴποι, περὶ μίαν οὐσίαν· λέγω δ' ὐκ ἐν μέρεσι διαφόροις, ἀλλὰ πάντας ὁμοίως περὶ λην τοὺς ἀπείρους. λέγει γοῦν Χρύσιππος, ἐοικέαι τῷ μὲν ἀνθρώπῳ τὸν Δία καὶ τὸν κόσμον, τῇ ὲ ψυχῇ τὴν πρόνοιαν· ὅταν οὖν ἐκπύρωσις γένηται, όνον ἄφθαρτον ὄντα τὸν Δία τῶν θεῶν, ἀναχωεῖν ἐπὶ τὴν πρόνοιαν, εἶτα ὁμοῦ γενομένους ἐπὶ ιᾶς τῆς τοῦ αἰθέρος οὐσίας διατελεῖν ἀμφοτέρους.

XXXVII. Ἀφέντες οὖν ἤδη τοὺς θεοὺς, καὶ ροσευξάμενοι κοινὰς φρένας διδόναι, καὶ κοινὸν οὖν, τὰ περὶ στοιχείων πῶς ἔχει αὐτοῖς ἴδωμεν. αρὰ τὴν ἔννοιάν ἐστι, σῶμα σώματος εἶναι τόπον, καὶ ῶμα χωρεῖν διὰ σώματος, κενὸν μηδετέρου περιέχονος, ἀλλὰ τοῦ πλήρους εἰς τὸ πλῆρες ἐνδυομένου, καὶ εχομένου τὸ ἐπιμιγνύμενον τοῦ διάστασιν οὐκ ἔοντος, ἀλλὰ τοῦ πλήρους οὐδὲ χώραν ἐν αὐτῷ διὰ ὴν συνέχειαν. οἱ δ' οὐχ ἓν εἰς ἕν, οὐδὲ δύο, οὐδὲ ρία, καὶ δέκα συνωθοῦντες, ἀλλὰ πάντα μέρη τοῦ ὅμου κατακερματισθέντος ἐμβάλλοντες εἰς ἕν, ὃ ἂν τύχωσι καὶ τοὐλάχιστον αἰσθητὸν ἐπιφάσκονς ἐπιλείψειν ἐπιόντι τῷ μεγίστῳ, νεανιεύονται, όγμα ποιούμενοι τὸν ἔλεγχον, ὡς ἐν ἄλλοις πολλοῖς, ἅτε δὴ μαχομένας ὑποθέσεις ταῖς ἐννοίαις ιμβαίνοντες. αὐτίκα γοῦν τῷ λόγῳ τούτῳ, πολλὰ ρατώδη καὶ ἀλλόκοτα προσδέχεσθαι τοὺς τὰ σώ-

ματα τοῖς σώμασιν ὅλοις ὅλα κερανννύντας. ὧν ἐστι καὶ τὸ τρία τέσσαρα εἶναι· τοῦτο γὰρ οἱ μὲν ἄλλοι λέγουσιν ἐν ὑπερβολῇ παράδειγμα τῶν ἀδιανοήτων τούτοις δὲ συμβαίνει τὸν ἕνα κύαθον τοῦ οἴνου πρὸς δύο κερανυμένου ὕδατος, εἰ μέλλει μὴ ἀπολείπειν ἀλλ' ἐξισοῦσθαι, παράγοντας ἐπὶ πᾶν καὶ διασυγχέοντας, ἕνα ὄντα δύο ποιεῖν τῇ πρὸς δύο τῆς κράσεως ἐξισώσει· τὸ γὰρ μένειν ἕνα καὶ δυοῖν παρεκτείνειν, καὶ ποιεῖν ἴσον τῷ διπλασίῳ· εἰ δὲ ὅπως ἥξεται τῇ κράσει πρὸς τοὺς δύο, δυοῖν λαμβάνειν μέτρον ἐν τῇ διαχύσει, τοῦτο μέτρον ἅμα καὶ τριῶν ἐστι καὶ τεσσάρων· τριῶν μέν, ὅτι τοῖς δύο εἷς μέμικται· τεσσάρων δέ, ὅτι δυσὶ μεμιγμένος ἴσον ἔσχηκε πλῆθος, οἷς μίγνυται. τοῦτο δὲ συμβαίνει τὸ καλὸν αὐτοῖς, ἐμβάλλουσιν εἰς σῶμα σώματα, καὶ τὸ τῆς περιοχῆς ἀδιανόητον. ἀνάγκη γὰρ, εἰς ἄλληλα χωρούντων τῷ κεράννυσθαι, μὴ θάτερον μὲν περιέχειν, περιέχεσθαι δὲ θάτερον, καὶ τὸ μὲν δέχεσθαι, τὰ δ' ἐνυπάρχειν· οὕτω γὰρ οὐ κρᾶσις, ἀφὴ δὲ καὶ ψαῦσις ἔσται τῶν ἐπιφανειῶν, τῆς μὲν ἐντὸς ὑποδυομένης, τῆς δ' ἐκτὸς περιεχούσης, τῶν δ' ἄλλων μερῶν ἀμίκτων καὶ καθαρῶν ἐνδιαφερομένων· ἀλλ' ἀνάγκη, γινομένης ὥσπερ ἀξιοῦσι τῆς ἀνακράσεως, ἐν ἀλλήλοις τὰ μιγνύμενα γενέσθαι, καὶ ταυτὸν ὁμοῦ τῷ ἐνυπάρχειν περιέχεσθαι, καὶ τῷ δέχεσθαι περιέχειν θάτερον, καὶ μηδ' ἕτερον αὐτῶν αὖ πάλιν δυνατὸν εἶναι, συμβαίνειν δ' ἀμφότερα, τῆς κράσεως δι' ἀλλήλων διϊέναι, καὶ μηδὲν ἐπιλείπεσθαι μηδενὸς μόριον, ἀλλὰ πάν-

τως ἀναπίμπλασθαι βιαζομένης. ἐνταῦθα δὴ τὸ Θρυλλούμενον ἐν ταῖς διατριβαῖς Ἀρκεσιλάου σκέλος ἥκει ταῖς ἀτοπίαις ἐπεμβαῖνον αὐτῶν μετὰ γέλωτος. εἰ γάρ εἰσιν αἱ κράσεις δι' ὅλων, τί κωλύει, τοῦ σκέλους ἀποκοπέντος καὶ κατασαπέντος καὶ ῥιφέντος εἰς τὴν θάλατταν καὶ διαχυθέντος, οὐ τὸν Ἀντιγόνου μόνον στόλον διεκπλεῖν, ὡς ἔλεγεν Ἀρκεσίλαος, ἀλλὰ τὰς Ξέρξου χιλίας καὶ διακοσίας, καὶ τὰς Ἑλληνικὰς ὁμοῦ τριακοσίας τριήρεις ἐν τῷ σκέλει ναυμαχούσας; οὐ γὰρ ἐπιλείψει δήπουθεν προϊόν, οὐδὲ παύσεται ἐν τῷ μείζονι τοὔλαττον· ἢ πέρας ἡ κράσις ἕξει, καὶ τὸ τελευταῖον αὐτῆς ἀφὴν ὅπου λήγει ποιησάμενον, εἰς ὅλον οὐ δίεισιν, ἀλλ' ἀπαγορεύει μιγνύμενον. εἰ δὲ μεμίξεται δι' ὅλων, οὐ μὰ Δία τὸ σκέλος ἐναυμαχῆσαι παρέξει τοῖς Ἕλλησιν· ἀλλὰ τοῦτο μὲν δεῖται σήψεως καὶ μεταβολῆς. εἰ δέ τις κύαθος, ἢ μία σταγὼν αὐτόθεν εἰς τὸ Αἰγαῖον ἐμπεσοῦσα πέλαγος ἢ τὸ Κρητικὸν, ἐφίξεται τοῦ Ὠκεανοῦ καὶ τῆς Ἀτλαντικῆς θαλάσσης οὐκ ἐπιπολῆς ψαύουσα τῆς ἐπιφανείας, ἀλλὰ πάντη διὰ βάθους εἰς πλάτος ὁμοῦ καὶ μῆκος ἀναχεομένη. καὶ ταῦτα προσδίκεται Χρύσιππος εὐθὺς ἐν τῷ πρώτῳ τῶν Φυσικῶν Ζητημάτων, οὐδὲν ἀπέχειν, φάμενος, οἴνου σταλαγμὸν ἕνα κεράσαι τὴν θάλατταν· καὶ ἵνα δὴ μὴ τοῦτο θαυμάζωμεν, εἰς ὅλον φησὶ τὸν κόσμον διατείνειν τῇ κράσει τὸν σταλαγμόν. ὧν οὐκ οἶδα τί ἂν ἀτοπώτερον φανείη.

XXXVIII. Καὶ μὴν παρὰ τὴν ἔννοιαν, μήτ' ἄκρον ἐν τῇ φύσει τῶν σωμάτων, μήτε πρῶτον, μήτ

ἔσχατον μηθὲν, εἰς ὃ λήγει τὸ μέγεθος τοῦ σώματος, ἀλλ' ἀεὶ τοῦ ληφθέντος ἐπέκεινα φαινόμενον εἰς ἄπειρον καὶ ἀόριστον ἐμβάλλειν τὸ ὑποκείμενον. οὔτε γὰρ μεῖζον, οὔτ' ἔλαττον ἔσται νοεῖν ἕτερον ἑτέρου μέγεθος, εἰ τὸ προϊέναι τοῖς μέρεσιν ἐπ' ἄπειρον ἀμφοτέροις (ὡς) συμβέβηκεν, ἀλλ' ἀνισότητος ἄρξεται φύσις· ἀνίσων γὰρ νοουμένων, τὸ μὲν προαπολείπεται τοῖς ἐσχάτοις μέρεσι, τὸ δὲ παραλλάττει καὶ περίεστι· μὴ οὔσης δ' ἀνισότητος, ἕπεται μὴ ἀνωμαλίαν εἶναι, μηδὲ τραχύτητα σώματος· ἀνωμαλία μὲν γάρ ἐστι μιᾶς ἐπιφανείας ἀνισότης πρὸς ἑαυτήν, τραχύτης δὲ ἀνωμαλία μετὰ σκληρότητος· ὧν οὐθὲν ἀπολείπουσιν οἱ σῶμα μηθὲν εἰς ἔσχατον μέρος παραίνοντες, ἀλλὰ πάντα πλήθει μερῶν ἐπ' ἄπειρον ἐξάγοντες. καίτοι πῶς οὐκ ἐναργές ἐστι, τὸν ἄνθρωπον ἐκ πλειόνων συνεστηκέναι μορίων, ἢ τὸν δάκτυλον τοῦ ἀνθρώπου, καὶ πάλιν τὸν κόσμον, ἢ τὸν ἄνθρωπον; αὐτὰ γὰρ ἐπίστανται, καὶ διανοοῦνται πάντες, ἂν μὴ Στωϊκοὶ γένωνται· γενόμενοι δὲ Στωϊκοὶ, τἀναντία λέγουσι καὶ δοξάζουσιν· ὡς οὐκ ἔστιν ἐκ πλειόνων μορίων ὁ ἄνθρωπος ἢ ὁ δάκτυλος, οὐδὲ ὁ κόσμος ἢ ὁ ἄνθρωπος· ἐπ' ἄπειρον γὰρ ἡ τομὴ πράττει τὰ σώματα· τῶν δ' ἀπείρων οὐθέν ἐστι πλέον, οὐδ' ἔλαττον, οὐδὲ ὅλως ὑπερβάλλει πλῆθος, ἢ παύσεται τὰ μέρη τοῦ ὑπολειπομένου μεριζόμενα καὶ παρέχοντα πλῆθος ἐξ αὐτῶν.

ΛΑΜΠΡ. Πῶς οὖν ἀμύνονται ταύτας τὰς ἀπορίας;

ΑΛΛΟΤΜ. Εὐμηχάνως κομιδῆ καὶ ἀνδρείως

λέγει γὰρ ὁ Χρύσιππος, ἐρωτωμένους ἡμᾶς, εἴ τινα
χομεν μέρη, καὶ πόσα, καὶ ἐκ τίνων συγκείμενα με-
ῶν καὶ πόσων, διαστολῇ χρήσεσθαι, τὸ μὲν ὅλοσχε-
ὲς τιθέντας, ὡς ἐκ κεφαλῆς καὶ θώρακος καὶ σκε-
ῶν συγκείμεθα· τοῦτο γὰρ ἦν πᾶν τὸ ζητούμενον
καὶ ἀπορούμενον· ἐὰν δ' ἐπὶ τὰ ἔσχατα μέρη τὸ ἐ-
ωτᾶν προάγωσιν, οὐδὲν, φησὶ, τῶν τοιούτων ἐστὶν
πολειπτέον, ἀλλὰ ῥητέον, οὔτ' ἐκ τίνων συνεστάναι,
καὶ ὁμοίως, οὔτ' ἐξ ὁπόσων, οὔτ' ἀπείρων, οὔτ' ἐκ
επερασμένων. καί μοι δοκῶ ταῖς ἐκείνου κεχρῆσθαι
λέξεσιν αὐταῖς, ὅπως συνίδῃς, ὃν τρόπον διεφύλαττε
τὰς κοινὰς ἐννοίας, κελεύων ἡμᾶς νοεῖν τῶν σωμά-
των ἕκαστον οὔτ' ἐκ τίνων, οὔτ' ἐξ ὁποσωνοῦν με-
ρῶν, οὔτ' ἐξ ἀπείρων, οὔτ' ἐκ πεπερασμένων συγκεί-
μενον. εἰ μὲν γὰρ, ὡς ἀγαθοῦ καὶ κακοῦ τὸ ἀδιά-
φορον, οὕτω πεπερασμένου τε καὶ ἀπείρου μέσον
ἐστὶν, εἰπόντα, τί τοῦτό ἐστιν, ἔδει λῦσαι τὴν ἀπο-
ίαν· εἰ δὲ, ὡς τὸ μὴ ἴσον, εὐθὺς ἄνισον, καὶ τὸ
ὴ φθαρτὸν, ἄφθαρτον, οὕτω τὸ μὴ πεπερασμένον
ἄπειρον νοοῦμεν, ὅμοιόν ἐστιν, οἶμαι, τῷ τὸ σῶμα
ἶναι μήτ' ἐκ πεπερασμένων, μήτ' ἐξ ἀπείρων, καὶ
όγον εἶναι μήτ' ἐξ ἀληθῶν λημμάτων, μήτ' ἐκ ψευ-
ῶν, μήτε*.

XXXIX. Ἐπὶ δὲ τούτοις ἐπινεανιευόμενος, φησὶ,
ῆς πυραμίδος ἐκ τριγώνων συνισταμένης τὰς πλευ-
ὰς, κατὰ τὴν συναφὴν κεκλιμένας, ἀνίσους μὲν εἶ-
αι, μὴ ὑπερέχειν δὲ, ἢ μείζονές εἰσι. οὕτως ἐτήρει τὰς
ννοίας. εἰ γάρ ἐστι τὸ μεῖζον, καὶ μὴ ὑπερέχον, ἔσται
μικρότερον καὶ μὴ ἐλλεῖπον· ὥστε καὶ ἄνισον

μήτε ὑπερέχον, μήτ' ἐλλεῖπον, τουτέστιν, ἴσον τὸ ἄνισον, καὶ οὐ μεῖζον τὸ μεῖζον, οὐδὲ μικρότερον τὸ μικρότερον. ἔτι τοίνυν ὅρα, τίνα τρόπον ἀπήντησε Δημοκρίτῳ, διαποροῦντι φυσικῶς καὶ ἐμψύχως, εἰ κῶνος τέμνοιτο παρὰ τὴν βάσιν ἐπιπέδῳ, τί χρὴ διανοεῖσθαι τὰς τῶν τμημάτων ἐπιφανείας, ἴσας ἢ ἀνίσους γινομένας; ἄνισοι μὲν γὰρ οὖσαι τὸν κῶνον ἀνώμαλον παρέξουσι, πολλὰς ἀποχαράξεις λαμβάνοντα βαθμοειδεῖς καὶ τραχύτητας· ἴσων δ' οὐσῶν, ἴσα τμήματα ἔσται, καὶ φανεῖται τὸ τοῦ κυλίνδρου πεπονθὼς ὁ κῶνος, ἐξ ἴσων συγκείμενος καὶ οὐκ ἀνίσων κύκλων, ὅπερ ἐστὶν ἀτοπώτατον. ἐνταῦθα δή, τὸν Δημόκριτον ἀποφαίνων ἀγνοοῦντα, τὰς μὲν ἐπιφανείας, φησὶ, μήτ' ἴσας εἶναι, μήτ' ἀνίσους· ἄνισα δὲ τὰ σώματα, τῷ μήτ' ἴσας εἶναι, μήτ' ἀνίσους τὰς ἐπιφανείας. τὸ μὲν δὴ νομοθετεῖν τῶν ἐπιφανειῶν μὴ ἴσων οὐσῶν, τὰ σώματα συμβαίνειν ἄνισα εἶναι, θαυμαστὴν ἐξουσίαν αὐτῷ τοῦ γράφειν, ὅ τι ἂν ἐπίῃ, διδόντος ἐστί. τοὐναντίον γὰρ ὁ λόγος μετὰ τῆς ἐναργείας νοεῖν δίδωσι, τῶν ἀνίσων σωμάτων ἀνίσους εἶναι τὰς ἐπιφανείας, καὶ μείζονα τὴν τοῦ μείζονος· εἴγε μὴ μέλλει τὴν ὑπεροχὴν, ᾗ μεῖζόν ἐστιν, ἐστερημένην ἐπιφανείας ἕξειν. εἰ γὰρ οὐχ ὑπερβάλλουσι τὰς τῶν ἐλαττόνων ἐπιφανείας αἱ τῶν μειζόνων, ἀλλὰ προαπολείπουσιν, ἔσται σώματος πέρας ἔχοντος μέρος ἄνευ πέρατος, καὶ ἀπεράτωτον. εἰ γὰρ λέγει, ὅτι διαζόμενος οὕτω * ἃς γὰρ ὑφορᾶται περὶ τὸν κῶνον ἀναχαράξεις, ἡ τῶν σωμάτων ἀνισότης σήπουθεν, οὐχ ἡ τῶν ἐπιφανειῶν, ἀπεργάζεται.

γελοῖον οὖν, τὸ τὰς ἐπιφανείας ἐξαιρούμενον, ἐν τοῖς σώμασιν ἐλεγχομένην ἀπολιπεῖν ἀνωμαλίαν. ἀλλ' ἂν μένωμεν ἐπὶ τῆς ὑποθέσεως, τί μᾶλλόν ἐστι παρὰ τὴν ἔννοιαν, ἢ τὰ τοιαῦτα πλάττειν; εἰ γὰρ ἐπιφάνειαν ἐπιφανείᾳ θήσομεν μήτ' ἴσην εἶναι, μήτ' ἄνισον, καὶ τὸ μέγεθος ἔσται μεγέθει φάναι καὶ ἀριθμὸν ἀριθμῷ μήτ' ἴσον εἶναι μήτ' ἄνισον, καὶ ταῦτα ἴσου καὶ ἀνίσου μέσον, τὸ μηδέτερον, οὐκ ἔχοντας εἰπεῖν, οὐδὲ νοῆσαι δυναμένους. ἔτι δ' οὐσῶν ἐπιφανειῶν μήτ' ἴσων μήτ' ἀνίσων, τί κωλύει καὶ κύκλους νοεῖσθαι μήτ' ἴσους μήτ' ἀνίσους; αὐταὶ γὰρ δήπουθεν ὄντων κωνικῶν τμημάτων ἐπιφάνειαι κύκλοι εἰσίν. εἰ δὲ κύκλους· καὶ διαμέτρους κύκλων θετέον μήτ' ἴσους μήτ' ἀνίσους. εἰ δὲ τοῦτο· καὶ γωνίας καὶ τρίγωνα, καὶ παραλληλόγραμμα, καὶ παραλληλεπίπεδα, καὶ σώματα. καὶ γὰρ εἰ μήκη ἐστὶ μήτ' ἴσα μήτ' ἄνισα ἀλλήλοις, καὶ βάρος ἔσται καὶ πληγὴ καὶ σώματα. εἶτα πῶς τολμῶσιν ἐπιτιμᾶν τοῖς τὰς κενότητας εἰσάγουσι, καὶ ἀμερῆ τινα καὶ μαχόμενα μήτε κινεῖσθαι, μήτε μένειν, ὑποτιθεμένοις, αὐτοὶ τὰ τοιαῦτα ἀξιώματα ψευδῆ λέγοντες εἶναι; εἴ τινα μή ἐστιν ἴσα ἀλλήλοις, ἐκεῖνα ἄνισά ἐστιν ἀλλήλοις· καὶ, οὐκ ἔστι μὲν ἴσα ταῦτα ἀλλήλοις, ἄνισα δέ ἐστι ταῦτα ἀλλήλοις. ἐπεὶ δέ φησιν, εἶναί τι μεῖζον, οὗ μὴν ὑπερέχον, ἄξιον ἀπορῆσαι, πότερον ταῦτ' ἐφαρμόσει ἀλλήλοις. εἰ μὲν γὰρ ἐφαρμόσει, πῶς μεῖζόν ἐστι θάτερον; εἰ δ' οὐκ ἐφαρμόσει, πῶς οὐκ ἀνάγκη, τὸ μὲν ὑπερέχειν, τὸ δ' ἐλλείπειν, τῷ μηδέτερον ὑπάρχειν; καὶ οὐκ ἐφαρμόσει τῷ

μείζονι, ἢ καὶ ἐφαρμόσει τὸ μεῖζον εἶναι θάτερον. ἀνάγκη γὰρ, ἐν τοιαύταις ἀπορίαις γίνεσθαι τοὺς τὰς κοινὰς ἐννοίας μὴ φυλάττοντας.

XL. Καὶ μὴν, τὸ μηθενὸς ἅπτεσθαι μηδὲν παρὰ τὴν ἔννοιάν ἐστιν. οὐχ ἧττον δὲ τοῦτο, ἅπτεσθαι μὲν ἀλλήλων τὰ σώματα, μηδενὸ δὲ ἅπτεσθαι· τοῦτο δ' ἀνάγκη προσδέχεσθαι τοῖς μὴ ἀπολείπουσιν ἐλάχιστα μέρη σώματος, ἀλλ' ἀεί τι τοῦ θιγόντος ἅπτεσθαι πρότερον λαμβάνουσι, καὶ μηδέποτε τοῦ προάγειν ἐπίκεινα πανομένους. ὃ γοῦν αὐτοὶ μάλιστα προφέρουσι τοῖς τῶν ἀμερῶν προϊστημένοις, τοῦτό ἐστι, τὸ μήτε ὅλοις ὅλων ἅφὴν εἶναι, μήτε μέρεσι μερῶν· τὸ μὲν γὰρ οὐχ ἁφὴν ἀλλὰ πρῶσιν, ποιεῖν, τὸ δ' οὐκ εἶναι δυνατὸν, μέρη τῶν ἀμερῶν οὐκ ἐχόντων. πῶς οὖν οὐκ αὐτοὶ τούτῳ περιπίπτουσι, μηδὲν μέρος ἔσχατον μηδὲ πρῶτον ἀπολιπόντες; ὅτι μὴ διαψαύειν κατὰ πέρας τὰ σώματα ὅλα ὅλων, οὐ κατὰ μέρος λέγουσι· τὸ δὲ πέρας σῶμα οὐκ ἔστιν. ἅψεται τοίνυν σῶμα σώματος ἀσωμάτῳ· καὶ οὐχ ἅψεται πάλιν, ἀσωμάτου μεταξὺ ὄντος. εἰ δὲ ἅψεται, καὶ ποιήσει τι καὶ πείσεται τῷ ἀσωμάτῳ τὸ σῶμα· ποιεῖν γάρ τι καὶ πάσχειν ὑπ' ἀλλήλων καὶ ἅπτεσθαι τὰ σώματα πέφυκεν. εἰ δὲ ἁφὴν ἴσχει τῷ ἀσωμάτῳ τὸ σῶμα, καὶ συναφὴν ἕξει, καὶ πρῶσιν καὶ συμφύαν. ἔτι γὰρ ἐν ταῖς συναφαῖς καὶ πράσεσιν ἢ μένειν ἀναγκαῖον, ἢ μὴ μένειν, ἀλλ' ἐφθάρθαι τὰ πέρατα τῶν σωμάτων· ἑκάτερον δὲ παρὰ τὴν ἔννοιάν ἐστι. φθορὰς μὲν γὰρ ἀσωμάτων καὶ γενέσεις οὐδ' αὐτοὶ καταλείπουσι· πρῶσις δὲ καὶ συνου-

σωμάτων ἰδίοις χρωμένων πέρασιν οὐκ ἂν γένοιτο· τὸ γὰρ πέρας ὁρίζει καὶ ἵστησι τὴν τοῦ σώματος φύσιν· αἱ δὲ κράσεις, εἰ μὴ μερῶν παρὰ μέρη παρατεθεῖσις εἰσὶν ἀλλήλοις, ὅλα τὰ κιρνάμενα συγχέουσιν, ὥσπερ οὗτοι λέγουσι, φθορὰς ἀποληπτέον περάτων ἐν ταῖς μίξεσιν, εἶτα γενέσεις ἐν ταῖς διαστάσεσι· ταῦτα δ' οὐδεὶς ἂν ῥᾳδίως νοήσειεν. ἀλλὰ μὴν καθ' ὅ γε ἅπτεται τὰ σώματα ἀλλήλων, κατὰ τοῦτο καὶ πιέζεται καὶ θλίβεται καὶ συντρίβεται ὑπ' ἀλλήλων· ἀσώματον δὲ ταῦτα πάσχειν ἢ ποιεῖν, οὐ δυνατόν, ἀλλ' οὐδὲ διανοητέον ἐστί· τοῦτο δὲ βιάζονται νοεῖν ἡμᾶς. εἰ γὰρ ἡ σφαῖρα τοῦ ἐπιπέδου κατὰ σημεῖον ἅπτεται, δῆλον, ὅτι καὶ σύρεται κατὰ σημεῖον διὰ τοῦ ἐπιπέδου· κἂν ᾖ μίλτῳ τὴν ἐπιφάνειαν ἀλληλιμμένη, μιλτίνην ἐνομόρξεται τῷ ἐπιπέδῳ γραμμήν· πεπυρωμένη πυρώσει τὸ ἐπίπεδον. ἀσώματον δὲ χρώζεσθαι, ἀσωμάτῳ πυροῦσθαι σῶμα, παρὰ τὴν ἔννοιάν ἐστιν. ἂν δὲ δὴ κεραμέαν ἢ κρυσταλλίνην σφαῖραν εἰς ἐπίπεδον φερομένην λίθινον ἐφ' ὕψους νοήσωμεν, ἄλογον, εἰ μὴ συντριβήσεται, πληγῆς πρὸς ἀντίτυπον γενομένης· ἀποπώτερον δὲ ἢ συντριβῆναι κατὰ πέρας καὶ σημεῖον ἀσώματον προσπεσοῦσαν. ὥστε πάντη τὰς περὶ τῶν ἀσωμάτων ἐκ σωμάτων αὐτοῖς παράττεσθαι προλήψεις, μᾶλλον δ' ἀναιρεῖσθαι, πολλὰ τῶν ἀδυνάτων παραπιπτόντος.

XLI. *Παρὰ τὴν ἔννοιάν ἐστι, χρόνον εἶναι μὴ λαβόντα καὶ παρωχημένον, ἐνεστῶτα δὲ μὴ εἶναι χρόνον· ἀλλὰ τὸ μὲν ἄρτι καὶ τὸ πρώην ὑφεστάναι, τὸ*

δὲ νῦν ὅλως μηδὲν εἶναι. καὶ μὴν τοῦτο συμβαίνει τοῖς Στωϊκοῖς, ἐλάχιστον χρόνον μὴ ἀπολείπουσι, μηδὲ τὸ νῦν ἀμερὲς εἶναι βουλομένοις, ἀλλ' ὅ τι ἂν τις ὡς ἐνεστὼς οἴηται λαβὼν διανοεῖσθαι, τούτου τὸ μὲν μέλλον, τὸ δὲ παρῳχημένον εἶναι φάσκουσιν· ὥστε μηθὲν κατὰ τὸ νῦν ὑπομένειν, μηδὲ λείπεσθαι μόριον χρόνου παρόντος, ἂν, ὃς λέγεται παρεῖναι, τούτου τὰ μὲν εἰς τὰ μέλλοντα, τὰ δ' εἰς τὰ παρῳχημένα διανέμηται. δυοῖν οὖν συμβαίνει θάτερον ἢ τὸ ἦν χρόνος, καὶ ἔσται χρόνος, τιθέντας, ἄνευ ῥεῖν τὸ, ἐστὶ χρόνος· ἢ ἐστὶ χρόνος ἐνεστηκώς, οὗ τὸ μὲν ἐνεστήκει, τὸ δ' ἐνστήσεται· καὶ λέγειν, ὃ τοῦ ὑπάρχοντος τὸ μὲν μέλλον ἐστὶ, τὸ δὲ παρῳχημένον· καὶ τοῦ νῦν, τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον· ὥστε νῦν εἶναι τὸ μηδέπω νῦν, καὶ τὸ μηκέτι νῦν· οὐκ ἔστι γὰρ νῦν τὸ παρῳχημένον, καὶ οὐδέπω νῦν τὸ μέλλον * διαιροῦσι λέγειν αὐτοῖς, ὅτι καὶ τὸ * καὶ τοῦ φωτὸς τὸ μὲν πέρυσι, τὸ δ' εἰς νέωτα· καὶ τοῦ ἅμα τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον. οὐδὲν γὰρ ἐπιεικέστερα τούτων κυκῶσι, ταυτὰ ποιοῦντες, τὸ μηδέπω καὶ τὸ ἤδη καὶ τὸ μηκέτι, καὶ τὸ νῦν καὶ τὸ μὴ νῦν· οἱ δ' ἄλλοι πάντες ἄνθρωποι καὶ τὸ ἄρτι καὶ τὸ μετὰ μικρὸν, ὡς ἕτερα τοῦ νῦν μόρια, καὶ τὸ μὲν μετὰ τὸ νῦν, τὸ δὲ πρὸ τοῦ νῦν τίθενται καὶ νοοῦσι καὶ νομίζουσι. τούτων Ἀρχίδημος μὲν ἀρχήν τινα καὶ συμβολὴν εἶναι λέγων, τοῦ παρῳχημένου καὶ τοῦ ἐπιφερομένου τὸ νῦν, λήθην αὐτὸν, ὡς ἔοικε, τὸν πάντα χρόνον ἀναιρῶν. εἰ γὰρ τὸ νῦν οὐ χρόνος ἐστὶν, ἀλλὰ πέρας χρόνου, πᾶν δὲ μόριον

χρόνου τοιοῦτον, οἷον τὸ νῦν ἐστιν, οὐδὲν φαίνεται μέρος ἔχων ὁ σύμπας χρόνος, ἀλλ' εἰς πέρατα διόλου καὶ συμβολὰς καὶ ὁρμὰς ἀναλυόμενος. Χρύσιππος δὲ βουλόμενος φιλοτεχνεῖν περὶ τὴν διαίρεσιν, ἐν μὲν τῷ περὶ τοῦ Κενοῦ καὶ ἄλλοις τισὶ, τὸ μὲν παρῳχημένον τοῦ χρόνου καὶ τὸ μέλλον οὐχ ὑπάρχειν ἀλλ' ὑφεστηκέναι, φησὶ, μόνον δὲ ὑπάρχειν τὸ ἐνεστηκός· ἐν δὲ τῷ τρίτῳ καὶ τετάρτῳ καὶ πέμπτῳ περὶ τῶν Μερῶν, τίθησι τοῦ ἐνεστηκότος χρόνου τὸ μὲν, μέλλον εἶναι, τὸ δὲ, παρεληλυθός. ὥστε συμβαίνει τὸ ὑπάρχον αὐτῷ τοῦ χρόνου διαιρεῖν εἰς τὰ μὴ ὑπάρχοντα τοῦ ὑπάρχοντος, μᾶλλον δὲ ὅλως τοῦ χρόνου μηδὲν ἀπολιπεῖν ὑπάρχον, εἰ τὸ ἐνεστηκὸς οὐδὲν ἔχει μέρος, ὃ μὴ μέλλον ἐστὶν, ἢ παρῳχημένον.

XLII. Ἡ μὲν οὖν τοῦ χρόνου νόησις αὐτοῖς, οἷον ὕδατος περίδραξις, ὅσῳ μᾶλλον πιέζεται διαῤῥέοντος καὶ διολισθαίνοντος· τὰ δὲ τῶν πράξεων καὶ κινήσεων τὴν πᾶσαν ἔχει σύγχυσιν τῆς ἐναργείας. ἀνάγκη γὰρ, εἰ τοῦ νῦν τὸ μὲν εἰς τὸ παρῳχημένον, τὸ δ' εἰς τὸ μέλλον διαιρεῖται, καὶ τοῦ κινουμένου κατὰ τὸ νῦν, τὸ μὲν κεκινῆσθαι, τὸ δὲ κινήσεσθαι, πέρας δὲ κινήσεως ἄνῃῤῆσθαι καὶ ἀρχὴν, μηδενὸς ἔργου πρῶταν γεγονέναι, μηδ' ἔσχατον ἔσεσθαι μηδὲν, τῷ χρόνῳ τῶν πράξεων συνδιανεμομένων. ὡς γὰρ τοῦ ἐνεστῶτος χρόνου τὸ μὲν παρῳχῆσθαι, τὸ δὲ μέλλειν λέγουσιν, οὕτω τοῦ πραττομένου τὸ μὲν πεπρᾶχθαι, τὸ δὲ πραχθήσεσθαι. πότε τοίνυν ἔσχεν ἀρχὴν, πότε δ' ἔξει τελευτὴν τὸ ἀριστᾶν, τὸ γράφειν, τὸ βαδίζειν; εἰ πᾶς μὲν ὁ ἀριστῶν ἠρίστησε καὶ ἀριστήσει,

πᾶς δὲ ὁ βαδίζων ἐβάδιζε καὶ βαδιεῖται. τὸ δὲ δεινῶν, φασὶ, δεινότατον, εἰ τῷ ζῶντι τὸ ἐζηκέναι καὶ ζήσεσθαι συμβέβηκεν, οὔτ' ἀρχὴν ἔσχε τὸ ζῆν, οὔτε ἕξει πέρας· ἀλλ' ἕκαστος ἡμῶν, ὡς ἔοικε, γέγονε μὴ ἀρξάμενος τοῦ ζῆν, καὶ τεθνήξεται μὴ παυσόμενος. εἰ γὰρ οὐθέν ἐστιν ἔσχατον μέρος, ἀλλ' ἀεί τι τῷ ζῶντι τοῦ παρόντος εἰς τὸ μέλλον περίεστιν, οὐδέποτε γίνεται ψεῦδος τὸ ζήσεσθαι Σωκράτη, δσάκις ἀληθὲς τὸ ζῇ Σωκράτης, ἐπὶ τοσοῦτον ψεῦδος τὸ τέθνηκε Σωκράτης· ὥστ', εἰ τὸ ζήσεται Σωκράτης ἀληθές ἐστιν ἐν ἀπείροις χρόνου μέρεσιν, ἐν οὐδενὶ χρόνου μέρει τὸ τέθνηκε Σωκράτης ἀληθὲς ἔσται. καίτοι τί πέρας ἂν ἔργου γένοιτο; ποῦ δὲ λήξει τὸ πραττόμενον, ὂν, δσάκις ἀληθές ἐστι τὸ πράττεται, τοσαυτάκις ἀληθὲς ᾖ καὶ τὸ πραχθήσεται; ψεύσεται γὰρ ὁ λέγων πέρας τοῦ γράφοντος καὶ διαλεγομένου Πλάτωνος, ὅτι παύσεταί ποτε Πλάτων διαλεγόμενος, εἰ μηδέποτε ψεῦδός ἐστι τὸ διαλεχθήσεται, περὶ τοῦ διαλεγομένου, καὶ τὸ γράψει, περὶ τοῦ γράφοντος. ἔτι τοίνυν τοῦ γενομένου μέρος οὐδέν ἐστιν, ὅπερ οὐκ ἤτοι γεγονός ἐστιν ἢ γενησόμενον καὶ παρελήλυθὸς ἢ μέλλον· γεγονότος δὲ καὶ γεγενημένου καὶ παρῳχημένου καὶ μέλλοντος αἴσθησις οὐκ ἔστιν· οὐδενὸς οὖν ἁπλῶς αἴσθησίς ἐστιν. οὔτε γὰρ ὁρῶμεν τὸ παρῳχημένον ἢ τὸ μέλλον, οὔτ' ἀκούομεν, οὔτ' ἄλλην τινὰ λαμβάνομεν αἴσθησιν τῶν γεγονότων ἢ γενησομένων· οὐδ' ἂν παρῇ τι, αἰσθητόν ἐστιν, εἰ τοῦ παρόντος ἀεὶ τὸ μὲν μέλλει,

τὸ δὲ παρῴχηκε· καὶ τὸ μὲν γεγονός ἐστι, τὸ δὲ γενησόμενον.

XLIII. Καὶ μὴν αὐτοί γε σχέτλια ποιεῖν τὸν Ἐπίκουρον λέγουσι, καὶ βιάζεσθαι τὰς ἐννοίας, ἰσοταχῶς τὰ σώματα κινοῦντα, καὶ μηδὲν ἀπολείποντα μηδενὸς ταχύτερον. πολλῷ δὲ τούτου σχετλιώτερόν ἐστι, καὶ μᾶλλον ἀπήρτηται τῶν ἐννοιῶν, τὸ μηδὲν ὑπὸ μηδενὸς περικαταλαμβάνεσθαι μηδ' εἰ χελώνην, τὸ τοῦ λόγου, φασὶ,

— *Μετόπισθε διώκοι*
Ἀδράστου ταχὺς ἵππος —.

ἀνάγκη δὲ τοῦτο συμβαίνειν, τῶν μὲν κινουμένων κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον, τῶν δὲ διαστημάτων, ἃ διεξίασιν, εἰς ἄπειρον ὄντων μεριστῶν, ὥσπερ ἀξιοῦσιν οὗτοι. εἰ γὰρ * πλέθρῳ μόνον ἡ χελώνη τὸν ἵππον, οἱ τοῦτο μὲν εἰς ἄπειρον τέμνοντες, ἑκάτερα δὲ κινοῦντες κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον, οὐδέποτε τῷ βραδυτάτῳ προσάξουσι τὸ τάχιστον, ἀεί τι διάστημα τοῦ βραδυτέρου προλαμβάνοντος εἰς ἄπειρα διαστήματα μεριζόμενον. τὸ δ', ἔκ τινος φιάλης, ἢ κύλικος, ὕδατος ἐκχεομένου, μηδέποτε πᾶν ἐκχυθήσεσθαι, πῶς οὐ παρὰ τὴν ἔννοιάν ἐστιν; ἢ πῶς οὐχ ἑπόμενον οἷς οὗτοι λέγουσι; τὴν γὰρ κατὰ τὸ πρότερον τῶν εἰς ἄπειρον μεριστῶν κίνησιν οὐκ ἄν τις νοήσειε τὸ πᾶν διανύουσαν· ἀλλ' ἀεί τι μεριστὸν ὑπολείπουσα ποιήσει πᾶσαν μὲν ἔκχυσιν, πᾶσαν δ' ὀλίσθησιν καὶ ῥύσιν ὑγροῦ, καὶ φορὰν στερεοῦ, καὶ βάρους μεθειμένου πτῶσιν ἀσυντέλεστον.

XLIV. *Παρίημι δὲ πολλὰς ἀτοπίας αὐτῶν παρὰ τὴν ἔννοιαν ἐφαπτόμενος. ὁ τοίνυν περ ξήσεως λόγος ἐστὶ μὲν ἀρχαῖος· ἠρώτηται γὰ φησι Χρύσιππος, ὑπ' Ἐπιχάρμου· τῶν δ' ἐν δημίᾳ οἰομένων, μὴ πάνυ ῥᾴδιον μηδ' αὐτόθε μον εἶναι τὴν ἀπορίαν, πολλὰ κατηγιῶσθαι κα ησαν, ὡς τὰς προλήψεις ἀναιροῦντων, καὶ τὰς ἐννοίας φυλάττουσιν, ἀλλὰ καὶ τὴν αἴσ προσδιαστρέφουσιν. ὁ μὲν γὰρ λόγος ἁπλοῦς καὶ τὰ λήμματα συγχωροῦσιν οὗτοι, τὰς μὲν ρει πάσας οὐσίας ῥεῖν καὶ φέρεσθαι, τὰ μὲν τῶν μεθιείσας, τὰ δὲ, ποθὲν ἐπιόντα προσδ νας· οἷς δὲ πρόσεισι καὶ ἄπεισιν ἀριθμοῖς ἢ θεσι, ταῦτα μὴ διαμένειν, ἄλλ' ἕτερα γίνεσθα εἰρημέναις προσόδοις, ἐξαλλαγὴν τῆς οὐσίας λ νούσης· αὐξήσεις δὲ καὶ φθίσεις οὐ κατὰ δίκη συνηθείας ἐκνενικῆσθαι τὰς μεταβολὰς ταύτας σθαι, γενέσεις δὲ καὶ φθορὰς μᾶλλον αὐτὰς ὀ ζεσθαι προσῆκον, ὅτι τοῦ καθεστῶτος εἰς ἕ ἐκβιάζουσι· τὸ δ' αὔξεσθαι καὶ τὸ μειοῦσθαι, σώματός ἐστιν ὑποκειμένου καὶ διαμένοντος.*

δέ πως τούτων λεγομένων καὶ τιθεμένων, τί σιν οἱ πρόδικοι τῆς ἐναργείας οὗτοι, καὶ κα τῶν ἐννοιῶν; ἕκαστον ἡμῶν δίδυμον εἶναι κ φυῇ καὶ διττόν· οὐχ ὥσπερ οἱ ποηταὶ τοὺς Μ νίδας, τοῖς μὲν ἡνωμένους μέρεσι, τοῖς δ' ἀποκ μένους· ἀλλὰ δύο σώματα ταυτὸν ἔχοντα χρ ταυτὸν δὲ σχῆμα, ταυτὸν δὲ βάρος καὶ τόπ ὑπὸ μηδενὸς ἀνθρώπων ὁρώμενα πρότερον

οὗτοι μόνοι εἶδον τὴν σύνθεσιν ταύτην καὶ διπλόην καὶ ἀμφιβολίαν, ὡς δύο ἡμῶν ἕκαστός ἐστιν ὑποκείμενα, τὸ μὲν οὐσία, τὸ δὲ * καὶ τὸ μὲν ἀεὶ ῥεῖ καὶ φέρεται, μήτ' αὐξόμενον, μήτε μειούμενον, μήτε ὅλως οἷόν ἐστι διαμένον, τὸ δὲ διαμένει καὶ αὐξάνεται καὶ μειοῦται, καὶ πάντα πάσχει τἀναντία θατέρῳ, συμπεφυκὸς, καὶ συνηρμοσμένον καὶ συγκεχυμένον, καὶ τῆς διαφορᾶς τῇ αἰσθήσει μηδαμοῦ παρέχον ἅψασθαι. καίτοι λέγεται μὲν ὁ Λυγκεὺς ἐκεῖνος διὰ πέτρας καὶ διὰ δρυὸς ὁρᾶν· ἑώρα δέ τις ἀπὸ σκοπῆς ἐν Σικελίᾳ καθεζόμενος τὰς Καρχηδονίων ἐκ τοῦ λιμένος ναῦς ἐκπλεούσας, ἡμέρας καὶ νυκτὸς ἀπεχούσας δρόμον· οἱ δὲ περὶ Καλλικράτη καὶ Μυρμηκίδη λέγονται δημιουργεῖν ἅρματα μυίας πτεροῖς καλυπτόμενα, καὶ διατορνεύειν ἐν σησάμῳ γράμμασιν ἔπη τῶν Ὁμήρου· ταύτην δὲ τὴν ἐν ὑμῖν ἑτερότητα καὶ φορὰν οὐδεὶς διεῖλεν, οὐδὲ διέστησεν· οὔτε ἡμεῖς ᾐσθόμεθα διττοὶ γεγονότες, καὶ τῷ μὲν ἀεὶ ῥέοντες μέρει, τῷ δ' ἀπὸ γενέσεως ἄχρι τελευτῆς οἱ αὐτοὶ διαμένοντες. ἁπλούστερον δὲ ποιοῦμαι τὸν λόγον· ἐπεὶ τέτταρά γε ποιοῦσιν ὑποκείμενα περὶ ἕκαστον, μᾶλλον δὲ τέτταρα ἕκαστον ἡμῶν. ἱκανὸν δὲ καὶ τὰ δύο πρὸς τὴν ἀτοπίαν, εἴ γε τοῦ μὲν Πενθέως ἀκούοντες ἐν τῇ τραγῳδίᾳ λέγοντος, ὡς

Δύο μὲν ἡλίους ὁρᾷ,
Διττὰς δὲ Θήβας,

οὐχ ὁρᾷν αὐτὸν, ἀλλὰ παροράν λέγομεν, ἐκτρεπόμενον καὶ παρακινοῦντα τοῖς λογισμοῖς· τούτους δ' οὐ μίαν πόλιν, ἀλλὰ πάντας ἀνθρώπους, καὶ ζῶα

καὶ δένδρα πάντα, καὶ σκεύη καὶ ὄργανα, καὶ ἱμάτια διττὰ καὶ διφυῆ τιθεμένους, οὐ χαίρειν ἔφην, ὡς παρανοεῖν ἡμᾶς μᾶλλον ἢ νοεῖν ἀναγκάζοντες· ἐνταῦθα μὲν οὖν ἴσως αὐτοῖς συγγνωστὰ πλάττουσιν ἑτέρας φύσεις ὑποκειμένων· ἄλλη γὰρ οὐδαμοῦ φαίνεται μηχανὴ φιλοτιμουμένους σῶσαι καὶ διασῶσαι τὰς αὐξήσεις.

XLV. Ἐν δὲ τῇ ψυχῇ, τί παθόντες, ἢ τίνων πάλιν ἄλλας ὑποθέσεις κοσμοῦντες, ἐνθημιουργοῦσι σωμάτων διαφορὰς, καὶ ἰδέας ὀλίγου δεῖν εἰπεῖν ἀπείρους τὸ πλῆθος, οὐκ ἂν ἔχοι τις εἰπεῖν· ἀλλ' ὅτι τῆς κοινὰς καὶ συνήθεις ἐξοικίζοντες ἐννοίας, μᾶλλον δὲ ὅλως ἀναιροῦντες καὶ διαφθείροντες, ἑτέρας εἰσάγουσιν ἀλλοκότους καὶ ξένας. ἄτοπον γὰρ εὖ μάλα τὰς ἀρετὰς, καὶ τὰς κακίας, πρὸς δὲ ταύταις τὰς τέχνας καὶ τὰς μνήμας πάσας, ἔτι δὲ φαντασίας καὶ πάθη, καὶ ὁρμὰς, καὶ συγκαταθέσεις, σώματα νομιζομένους, ἐν μηδενὶ φάναι κεῖσθαι, μηδὲ ὑπάρχειν τόπον τούτοις, ἕνα τὸν ἐν τῇ καρδίᾳ πόρον στιγμαῖον ἀπολιπεῖν, ὅπου τὸ ἡγεμονικὸν συστέλλουσι τῆς ψυχῆς, ὑπὸ τοσούτων σωμάτων κατεχόμενον, ὅσων τοὺς πάνυ δοκοῦντας ἀφορίζειν καὶ ἀποκρίνειν ἕτερον ἑτέρου πολὺ πλῆθος διαπέφευγε. τὸ δὲ μὴ μόνον σώματα ταῦτα ποιεῖν, ἀλλὰ καὶ ζῶα λογικὰ, καὶ ζώων τοσούτων σμῆνος, οὐ φίλιον, οὐδὲ ἥμερον, ἀλλ' ὄχλον ἀντιστάτην κακίαις καὶ πολέμιον νοῦν ἔχοντας, ἀποφαίνειν ἕκαστον ἡμῶν παρέδειγμα, ἢ μάνδραν, ἢ δουρίον ἵππον, ἢ τί ἂν τις ἃ πλάττουσιν οὗτοι διανοηθείη καὶ προσαγορεύσειεν· ὑπὲρ

βολή τίς ἐστιν ὀλιγωρίας καὶ παρανομίας εἰς τὴν ἐ-
πάργειαν καὶ τὴν συνήθειαν. οἱ δ' οὐ μόνον τὰς ἀρε-
τὰς καὶ τὰς κακίας ζῶα εἶναι λέγουσιν, οὐδὲ τὰ πάθη
μόνον, ὀργὰς, καὶ φθόνους, καὶ λύπας, καὶ ἐπιχαι-
ρεκακίας, οὐδὲ καταλήψεις, καὶ φαντασίας, καὶ
ἐννοίας, οὐδὲ τὰς τέχνας ζῶα, τὴν σκυτοτομικὴν,
τὴν χαλκοτυπικήν· ἀλλὰ πρὸς τούτοις ἔτι καὶ τὰς
ἐνεργείας σώματα καὶ ζῶα ποιοῦσι, τὸν περίπατον
ζῶον, τὴν ὄρχησιν, τὴν ὑπόθεσιν, τὴν προσαγόρευ-
σιν, τὴν λοιδορίαν· ἕπεται δὲ τούτοις καὶ γέλωτα
ζῶον εἶναι, καὶ κλαυθμόν· εἰ δὲ ταῦτα, καὶ βῆχα,
καὶ πταρμὸν, καὶ στεναγμὸν, πτύσιν τε πάντως καὶ
ἐπόμυξιν, καὶ τὰ λοιπά· ἔνθηλα γάρ ἐστι. καὶ μὴ
συσχεραινέτωσαν ἐπὶ ταῦτ' ἀγόμενοι τῷ κατὰ μικρὸν
λόγῳ, Χρυσίππου μνημονεύοντες, ἐν τῷ πρώτῳ τῶν
Φυσικῶν Ζητημάτων οὕτω προσάγοντος· Οὐχ ἡ
αὐτὴ νῦξ σῶμά ἐστιν· ἡ δ' ἑσπέρα καὶ ὁ ὄρθρος, καὶ
τὸ μέσον τῆς νυκτὸς σώματα οὐκ ἔστιν. οὐδὲ ἡ μὲν
ἡμέρα σῶμά ἐστιν· οὐχὶ δὲ καὶ ἡ νουμηνία σῶμα,
καὶ ἡ δεκάτη, καὶ πεντεκαιδεκάτη, καὶ ἡ τριακάς,
καὶ ὁ μὴν, σῶμά ἐστι, καὶ τὸ θέρος, καὶ φθινόπω-
ρον, καὶ ὁ ἐνιαυτός.

XLVI. Ἀλλὰ ταῦτα μὲν παρὰ τὰς κοινὰς βιά-
ζονται προλήψεις· ἐκεῖνα δ' ἤδη καὶ παρὰ τὰς ἰδίας,
ὁ Θερμότατον περιψύξει, καὶ πυκνώσει τὸ λεπτο-
μερέστατον γεννῶντες. ἡ γὰρ ψυχὴ θερμότατόν
στι δή που καὶ λεπτομερέστατον· ποιοῦσι δ' αὐ-
ὴν τῇ περιψύξει καὶ πυκνώσει τοῦ σώματος, οἷον
υκνώσει τὸ πνεῦμα μεταβάλλοντος, ἐκ φυτικοῦ

ψυχικὸν γενόμενον. γιγονέναι δὲ καὶ τὸν ἥλιον ἔμ-
ψυχον λέγουσι, τοῦ ὑγροῦ μεταβάλλοντος εἰς τὴν
νοερόν· ὥρα καὶ τὸν ἥλιον διανοεῖσθαι περιφερό-
γεννώμενον. ὁ μὲν οὖν Ξενοφάνης, διηγουμένου
τινός, ἐγχέλεις ἑωρακέναι ἐν ὕδατι θερμῷ ζώσας·
Οὐκοῦν, εἶπεν, ἐν ψυχρῷ αὐτὰς ἐψήσομεν. τού-
τοις δ' ἔποιτ' ἂν, εἰ περιψύξει τὸ θερμότατα γι-
νῶσι, καὶ πυκνώσει τὰ πουφότατα, πάλιν αὖ θερ-
μότητι τὰ ψυχρὰ, καὶ συγχύσει τὰ πυκνὰ, καὶ
διακρίσει τὰ βαρέα γεννᾷν, ἀλογίας τινὸς φυλάτ-
τουσιν ἀναλογίαν. καὶ ἐννοίας δ' οὐσίαν αὐτῆς
καὶ γένεσιν οὐ παρὰ τὰς ἐννοίας ὑποτίθενται· φα-
ντασία γάρ τις ἡ ἔννοιά ἐστι· φαντασίαν δὲ, τύπω-
σιν ἐν ψυχῇ· ψυχῇ δὲ φύσις, ἀναθυμίασις, ἣν τυ-
πωθῆναι μὲν ἐργώδες δια μανότητα, δεξαμένην δὲ
τηρῆσαι τύπωσιν, ἀδύνατον. ἥ τε γὰρ τροφὴ καὶ
ἡ γένεσις αὐτῆς ἐξ ὑγρῶν οὖσα συνεχῆ τὴν ἐπιφορὰν
ἔχει, καὶ τὴν ἀνάλωσιν· ἥ τε πρὸς τὸν ἀέρα τῆς
ἀναπνοῆς ἐπιμιξία καινὴν ἀεὶ ποιεῖ τὴν ἀναθυμία-
σιν, ἐξισταμένην καὶ τρεπομένην ὑπὸ τοῦ θύραθεν
ἐμβάλλοντος ὀχετοῦ καὶ πάλιν ἐξιόντος. ῥεῦμα γὰρ
ἄν τις μᾶλλον ὕδατος φερομένου διανοηθείη, σχή-
ματα καὶ τύπους καὶ εἴδη διαφυλάττον, ἢ πνεῦμα
φερόμενον ἐν τοῖς ἀτμοῖς καὶ ὑγρότησιν, ἑτέρῳ δ'
ἔξωθεν ἐνδελεχῶς οἷον ἀργῷ καὶ ἀλλοτρίῳ πνεύματι
κινούμενον. ἀλλ' οὕτω παρακούοντες ἑαυτῶν, ὥστε
τὰς ἐννοίας ἀποκειμένας τινὰς ὁριζόμενοι νοήσεις,
μνήμας δὲ, μονίμους καὶ σχετικὰς τυπώσεις, τὰς δὲ
ἐπισταμένας καὶ παντάπασι πηγνύντες ὡς τὸ ἀμετάκτου

ιον καὶ βέβαιον ἐχούσας, εἶτα τούτοις ὑποτίθεσθαι φάσιν καὶ ἕδραν οὐσίας ὁλισθηρᾶς καὶ σκεδαστῆς, ἰαὶ φερομένης ἀεὶ καὶ ῥεούσης.

XLVIII. Στοιχείου γε μὴν ἔννοια καὶ ἀρχῆς κοινὴ πᾶσιν, ὡς ἔπος εἰπεῖν, ἀνθρώποις ἐμπέφυκεν, ὡς ἁπλοῦν καὶ ἄκρατον εἶναι καὶ ἀσύνθετον· οὐ γὰρ στοιχεῖον, οὐδ' ἀρχὴ τὸ μεμιγμένον, ἀλλ' ἐξ ὧν μέμικται. καὶ μὴν οὗτοι τὸν θεὸν ἀρχήν ὄντα, σῶμα νοερόν, καὶ νοῦν ἐν ὕλῃ ποιοῦντες, οὐ καθαρόν, οὐδὲ ἁπλοῦν, οὐδ' ἀσύνθετον, ἀλλ' ἐξ ἑτέρου καὶ δι' ἑτέρου ἀποφαίνουσιν· ἡ δὲ ὕλη καθ' αὑτὴν ἄλογος οὖσα καὶ ἄποιος τὸ ἁπλοῦν ἔχει καὶ τὸ ἀρχοειδές. ὁ θεὸς δέ, εἴπερ οὐκ ἔστιν ἀσώματος οὐδ' ἄϋλος, ὡς ἀρχῆς μετέσχηκε τῆς ὕλης. εἰ μὲν γὰρ ἓν καὶ ταὐτὸν ἡ ὕλη καὶ ὁ λόγος, οὐκ εὖ τὴν ὕλην ἄλογον ἀποδεδώκασιν· εἰ δ' ἕτερα, καὶ ἀμφοτέρων ἂν τις ὁ θεὸς εἴη ταμίας, καὶ οὐχ ἁπλοῦν, ἀλλὰ σύνθετον πρᾶγμα τῷ νοερῷ τὸ σωματικὸν ἐκ τῆς ὕλης προσειληφώς.

XLIX. Τά γε μὴν τέσσαρα σώματα, γὴν καὶ ὕδωρ, ἀέρα τε καὶ πῦρ, πρῶτα στοιχεῖα προσαγορεύοντες, οὐκ οἶδα, ὅπως τὰ μὲν, ἁπλᾶ καὶ καθαρὰ τὰ δὲ, σύνθετα καὶ μεμιγμένα ποιοῦσι. γῆν μὲν γὰρ ἴσασι καὶ ὕδωρ οὔτε αὐτὰ συνέχειν οὔτε ἕτερα, πνευματικῆς δὲ μετοχῆ καὶ πυρώδους δυνάμεως τὴν ἐνότητα διαφυλάττειν· ἀέρα δὲ καὶ πῦρ αὖτῶν τ' εἶναι δι' εὐτονίαν ἐκτατικά, καὶ τοῖς δυσὶν ἐκείνοις ἐγκεκραμένα, τόνον παρέχειν, καὶ τὸ μόνιμον καὶ οὐσιῶδες. πῶς οὖν ἔτι γῆ στοιχεῖον, ἢ ὕδωρ, εἰ μήτε πλοῦν, μήτε πρῶτον, μήτ' αὐτῷ διαρκὶς, ἀλλ' ἐν-

δεὶς ἔξωθεν εἰς ἀεὶ τοῦ συνέχοντος ἐν τῷ εἶναι σώζοντος; οὐδὲ γὰρ οὐσίας αὐτῶν ἐπίνοιαν ἀπ λοίπασιν· ἀλλὰ πολλὴν ἔχει ταραχὴν καὶ ἀσαφ οὗτος ὁ λόγος λεγόμενος τῆς γῆς * τινὸς καθ' ἑαυ εἶτα πῶς οὖσα γῆ καθ' ἑαυτὴν ἄειρος δεῖται στάντος αὐτὴν καὶ συνέχοντος; ἀλλ' οὐκ ἔτι γῆ ἑαυτὴν, οὐδὲ ὕδωρ· ἀλλὰ τὴν ὕλην ὁ ἀὴρ ὠθῶ συναγαγὼν καὶ πυκνώσας, γῆν ἐποίησεν, ὥδε π δὲ διαλυθεῖσαν καὶ μαλαχθεῖσαν, ὕδωρ. οὐδέτ οὖν τούτων στοιχεῖον, οἷς ἕτερον ἀμφοτέροις οὐ καὶ γένεσιν παρέσχηκεν.

L. Ἔτι, τὴν μὲν οὐσίαν καὶ τὴν ὕλην ὑφε ναι ταῖς ποιότησι λέγουσι, καὶ σχεδὸν αὕτω τόν αποδιδόναι, τὰς δὲ ποιότητας αὖ πάλιν οὐσίας σώματα ποιοῦσι. ταῦτα δὲ πολλὴν ἔχει ταραχὴν μὲν γὰρ ἰδίαν οὐσίαν αἱ ποιότητες ἔχουσι, καθ σώματα λέγονται καὶ εἰσὶν, οὐχ ἑτέρας οὐσίας ὄ ται· τὴν γὰρ αὐτῶν ἔχουσιν. εἰ δὲ τοῦτο μόνον ταῖς ὑφέστηκε τὸ κοινὸν, ὅπερ οὐσίαν οὗτοι κα λην καλοῦσι, δῆλον, ὅτι σώματος μετέχουσι· σώμ γὰρ οὐκ εἰσί· τὸ δὲ ὑφεστὼς καὶ δεχόμενον, δι ρειν ἀνάγκη τῶν ἃ δέχεται καὶ οἷς ὑφέστηκεν. ο τὸ ἥμισυ βλέπουσι· τὴν γὰρ ὕλην ἄποιον ὀνο ζουσι· τὰς δὲ ποιότητας οὐκ ἔτι βούλονται κα ἀΰλους. καίτοι πῶς οἷόν τε σῶμα ποιότητος ἀ ποιῆσαι, ποιότητα σώματος ἄνευ μὴ νοοῦντας γὰρ συμπλέκων σῶμα πάσῃ ποιότητι λόγος οὐδ ἐᾷ μὴ σύν τινι ποιότητι σώματος ἅψασθαι τὴν νοιαν. ἢ τοίνυν πρὸς τὸ ἀσώματον τῆς πο

ἀσχόμενος, μάχεσθαι καὶ πρὸς τὸ ἄποιον τῆς ὕλης ἔοικεν· ἢ θατέρου θάτερον ἀποκρίνων, καὶ ἀμφότερα χωρίζει ἀλλήλων. ὃν δέ τινες αὐτῶν προβάλλονται λόγον, ὡς ἄποιον τὴν οὐσίαν ὀνομάζοντες, οὐχ ὅτι πάσης ἐστέρηται ποιότητος, ἀλλ' ὅτι πάσας ἔχει τὰς ποιότητας, μάλιστα παρὰ τὴν ἔννοιάν ἐστιν. οὐδεὶς γὰρ ἄποιον νοεῖ τὸ μηδεμιᾶς ποιότητος ἄμοιρον, οὐδ' ἀπαθὲς τὸ πάντα πάσχειν ἀεὶ πεφυκός, οὐδ' ἀκίνητον τὸ πάντη κινητόν. ἐκεῖνο δ' οὐ λέγεται, κἂν ἀεὶ μετὰ ποιότητος ἡ ὕλη νοῆται, τὸ ἑτέραν αὐτὴν νοεῖσθαι καὶ διαφέρουσαν τῆς ποιότητος

ΠΛΟΥΤΑΡΧΟΥ

ΟΤΙ ΟΥΔΕ ΖΗΝ ΕΣΤΙΝ ΗΔΕΩΣ ΚΑΤ' ΕΠΙΚΟΥΡΟΝ.

Κολώτης, ὁ Ἐπικούρου συνήθης, βιβλίον ἐξέδωκεν, ἐπιγράψας, ὅτι κατὰ τὰ τῶν ἄλλων φιλοσόφων δόγματα οὐδὲ ζῆν ἐστιν. ὅσα τοίνυν ἡμῖν ἐπῆλθεν εἰπεῖν πρὸς αὐτὸν ὑπὲρ τῶν φιλοσόφων, ἐγράφη πρότερον. ἐπεὶ δὲ καὶ τῆς σχολῆς διαλυθείσης, ἐγένοντο πλείονες ἐν τῷ περιπάτῳ πρὸς τὴν αἵρεσιν, δόξαι μοι καὶ τούτους ἀναλαβεῖν, εἰ καὶ δι' ἄλλο μηθὲν,

ἀλλ' ἐνδείξεως ἕνεκα τοῖς εὐθύνουσιν ἑτέρους, δεῖ δεῖ τοὺς λόγους ἕκαστον, ὧν ἐλέγχει, καὶ τὰ γράμματα μὴ παρέργως διελθεῖν, μηδὲ φανὰς ἀλλαχόθεν ἄλλας ἀποσπῶντα, καὶ ῥήμασιν ἄνευ γραμμάτων ἐπιτιθέμενον, ἀποκρούεσθαι τοὺς ἀπείρους.

II. Προελθόντων γὰρ ἡμῶν εἰς τὸ γυμνάσιον, ὥσπερ εἰώθειμεν, ἐκ τῆς διατριβῆς, Ζεύξιππος ἔφη μὲν, ἔφη, δοκεῖ πολὺ τῆς προσηκούσης ὁ λόγος ἀρρῃσθαι παῤῥησίας μαλακώτερον· ἀπίασι δ' ἡμῶν ἐγκαλοῦντες οἱ περὶ Ἡρακλείδην, τοῦ Ἐπικούρου καὶ τοῦ Μητροδώρου, ἡμῶν μηδὲν αἰτίων ὄντων, θρασύτερον καθαψαμένοις. καὶ ὁ Θέων· Εἶτ' οὐκ ἔλεγες, εἶπεν, ὅτι τοῖς ἐκείνων ὁ Κολώτης παραβαλλόμενος, εὐφημότατος ἀνδρῶν φαίνεται; τὰ γὰρ ὑπ' ἀνθρώποις αἴσχιστα ῥήματα, βωμολοχίας, ληθυσμοὺς, ἀλαζονείας, ἑταιρήσεις, ἀνδροφονίας, βαρυστόνους, πολυφθόρους, βαρυεγκεφάλους συναγόντες, Ἀριστοτέλους, καὶ Σωκράτους, καὶ Πυθαγόρου, καὶ Πρωταγόρου, καὶ Θεοφράστου, καὶ Ἡρακλείδου, καὶ Ἱππάρχου, καὶ τίνος γὰρ οὐχὶ τῶν ἐπιφανῶν, κατεσκέδασαν; ὥστ', εἰ καὶ τἆλλα πάντα σοφῶς εἶχεν αὐτοῖς, διὰ τὰς βλασφημίας ταύτας καὶ κατηγορίας πορῥωτάτω σοφίας ἂν ἐξεγεγόνει φθόνος γὰρ ἔξω θείου χοροῦ, καὶ ζηλοτυπία δὲ ἀσθένειαν ἀποκρύψαι μὴ δυναμένη τὸ ἀλγοῦν. ὑπολαβὼν οὖν Ἀριστοτέλης· Ἡρακλείδης οὖν, ἔφη, γραμματικὰς ὢν, ἀντὶ τῆς ποιητικῆς τύχης, ἃς ἐκεῖνοι λέγουσι, καὶ τῶν Ὁμήρου μωρολογημάτων ἀποτίνει ταύτας Ἐπικούρῳ χάριτας, ἢ ὅτι Μητρ-

δωρος ἐν γράμμασι τοσούτοις ποιητῇ λελοιδόρηκεν. ἀλλ' ἐκείνους μὲν ἐῶμεν, ὦ Ζεύξιππε· τὸ δ' ἐν ἀρχῇ τῶν λόγων ῥηθὲν πρὸς τοὺς ἄνδρας, ὡς οὐκ ἔστι ζῆν κατ' αὐτούς, τί οὐ μᾶλλον, ἐπεὶ κέκμηκεν οὗτος, αὐτοὶ δι' αὐτῶν περαίνομεν, ἅμα καὶ Θέωνα παραλαβόντες; καὶ ὁ Θέων πρὸς αὐτόν· Ἀλλ' οὗτος μέν, ἔφη, ὁ ἆθλος ἑτέροις

Ἐκτετέλεσται

πρὸ ἡμῶν.

Νῦν αὖτε σκοπὸν ἄλλον —,

εἰ δοκεῖ, Θέμενοι, τοιαύτῃ τινὶ δίκῃ μετίωμεν ὑπὲρ τῶν φιλοσόφων τοὺς ἄνδρας· ἀποδεῖξαι γὰρ, ἄνπερ ᾖ δυνατόν, ἐπιχειρήσωμεν, ὅτι μηδὲ ζῆν ἐστιν ἡδέως κατ' αὐτούς. Παπαὶ, εἶπον ἔγωγε γελάσας, εἰς τὴν γαστέρα τοῖς ἀνδράσιν ἔοικας ἐναλεῖσθαι, καὶ τὸν περὶ τῶν κριῶν ἐπάξειν, ἀφαιρούμενος ἡδονὴν ἀνθρώπων βοώντων·

Οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες,
οὐδὲ ῥήτορες, οὐδὲ προστάται δήμων, οὐδ' ἄρχοντες,
Ἀεὶ δ' ἡμῖν δαὶς τε φίλη,
καὶ πᾶσα διὰ σαρκὸς ἐπιτερπὴς κίνησις, ἐφ' ἡδονήν τινα καὶ χαρὰν ψυχῆς ἀναπεμπομένης. δοκεῖς οὖν μοι μὴ τὸ ἡδὺ ἐξαίρειν, ὡς φασιν, ἀλλὰ τὸ ζῆν ἀφαιρεῖσθαι τοὺς ἄνδρας, εἰ τὸ ζῆν ἡδέως μὴ ἀπολείψεις αὐτοῖς. τί οὖν, εἶπεν ὁ Θέων, εἰ δοκιμάζεις τὸν λόγον, αὐτὸς οὐ χρῇ παρόντι; χρήσομαι, εἶπον, ἀκροώμενος, καὶ ἀποκρινόμενος, ἂν δέησθε· τὴν δὲ ἡγεμονίαν ὑμῖν παραδίδωμι. μικρὰ δὴ προφασισαμένου τοῦ Θέωνος, Ἀριστόδημος· Ὡς σύντομον,

ἔφη, καὶ λείαν ἔχων ὁδὸν ἀπετάφρευσας ἡμί
τὸν λόγον, οὐκ ἐάσας περὶ τοῦ καλοῦ πρότε
θύνας ὑποσχεῖν τὴν αἵρεσιν. ἀνθρώπους γὰ
νὴν ὑποτιθεμένους τέλος, οὐκ ἔστιν ἐξελάκ
ἡδέως ζῆν ῥᾴδιον· τοῦ δὲ καλῶς ἐκπεσόντες
καὶ τοῦ ἡδέως συνεξέπιπτον· ἐπεὶ τὸ ἡδέως ζ
τοῦ καλῶς, ἀνύπαρκτόν ἐστιν, ὡς αὐτοὶ λέγο

III. Καὶ ὁ Θέων· Ἀλλὰ τοῦτο μέν, εἶπ
δόξῃ, τοῦ λόγου προϊόντος ἀναθησόμεθα·
χρησόμεθα τοῖς διδομένοις ὑπ' αὐτῶν. οἷον
περὶ γαστέρα τἀγαθὸν εἶναι, καὶ τοὺς ἄλλους
τῆς σαρκὸς ἅπαντας, δι' ὧν ἡδονὴ καὶ μὴ ἀ
ἐπεισέρχεται· καὶ πάντα καλὰ καὶ σοφὰ ἐξευ
τῆς περὶ γαστέρα ἡδονῆς ἕνεκα γεγονέναι,
ὑπὲρ ταύτης ἐλπίδος ἀγαθῆς, ὡς ὁ σοφὸς εἴρη
τρόδωρος. αὐτόθεν μὲν οὖν, ὦ ἑταῖρε, φα
γλίσχρον τι καὶ σαπρὸν καὶ οὐ βέβαιον αἴτι
ἀγαθοῦ λαμβάνοντες, ἀλλὰ τοῖς πόροις τούτ
ὧν ἡδονὰς ἐπεισάγονται, καὶ πρὸς ἀλγηδόνας
κατατετριμμένον, μᾶλλον δὲ ἡδονὴν μὲν ὁ
ἀλγηδόνα δὲ πᾶσι τοῖς μορίοις δεχόμενον. πᾶ
ἡδονὴ περὶ ἄρθρα καὶ νεῦρα καὶ πόδας καὶ
οἷς ἐνοικίζεται τὰ πάθη δεινὰ καὶ σχέτλια,
γρικὰ ῥεύματα καὶ φαγεδαινικά, καὶ διαβρώ
ἀποσήψεις· ὀσμῶν δὲ καὶ χυμῶν τὰ ἥδιστα
γαγὼν τῷ σώματι, μικρὸν εὑρήσεις χωρίον ἐ
παντάπασι τὸ κινούμενον λείως καὶ προσηνῶς
ἄλλα πολλάκις δυσχεραίνει καὶ ἀγανακτεῖ·
καὶ σιδήρῳ καὶ δήγματι καὶ ὑστριχίσιν οὐ

Θὲς, οὐδ' ἀναίσθητον ἀλγηδόνος, ἀλλὰ καὶ καῦμα καὶ ῥῖγος εἰς ἅπαντα καταδύεται καὶ πυρετός· αἱ δὲ ἡδοναὶ καθάπερ αὖραι πρὸς ἑτέραις ἕτεραι τοῦ σώματος ἄκραις ἐπιγελῶσαι διαχέονται· καὶ ὁ χρόνος ὁ μὲν τούτων οὐ πολὺς, ἀλλ', ὥσπερ οἱ διάττοντες, ἔξαψιν ἅμα καὶ σβέσιν ἐν τῇ σαρκὶ λαμβάνουσιν ἐκ δὲ τοῦ πόνου μάρτυς ὁ Αἰσχύλου Φιλοκτήτης ἱκανός·

Οὐ γὰρ ὁ δράκων, φησὶν, ἀνῆκεν, ἀλλ' ἐνῴκισε
Δεινὴν στομάτων ἔκφυσιν, ποδὸς λαβεῖν.

ὀλισθείη ἀλγηδὼν, οὐδὲ ἕτερα τοιαῦτα κινοῦσα καὶ γαργαλίζουσα τοῦ σώματος· ἀλλ' ὥσπερ τὸ τῆς μηδικῆς σπέρμα πολυκαμπὲς καὶ σκαληνὸν ἐμφύεται τῇ γῇ καὶ διαμένει πολὺν χρόνον ὑπὸ τραχύτητος, οὕτως ὁ πόνος ἄγκιστρα καὶ ῥίζας διασπείρων καὶ συμπλεκόμενος τῇ σαρκὶ, καὶ παραμένων οὐχ ἡμέρας οὐδὲ νυκτὸς μόνον, ἀλλὰ καὶ ὥρας ἐτῶν ἐνίοις καὶ περιόδους ὀλυμπιακὰς, μόλις ὑπ' ἄλλων πόνων, ὥσπερ ἥλων σφοδροτέρων, ἐκπρουόμενος, ἀπαλλάττεται. τίς γὰρ ἔπιε χρόνον τοσοῦτον, ἢ ἔφαγεν, ὅσον διψῶσιν οἱ πυρέττοντες, καὶ πεινῶσιν οἱ πολιορκούμενοι; ποῦ δέ ἐστιν ἄνεσις καὶ συνουσία μετὰ φίλων, ἐφ' ὅσον κολάζουσι καὶ στρεβλοῦσι τύραννοι; καὶ γὰρ τοῦτο τῆς τοῦ σώματος φαυλότητος καὶ ἀφυΐας πρὸς τὸ ἡδέως ζῆν ἐστιν, ὅτι τοὺς πόνους ὑπομένει μᾶλλον ἢ τὰς ἡδονάς, καὶ πρὸς ἐκείνους ἔχει ῥώμην καὶ δύναμιν, ἐν δὲ ταύταις ἀσθενές τι καὶ ἄψυχον. τὸ δὲ ἡδέως ζῆν, ἂν ἅπτωνται πλείονος λόγου, περὶ τούτου λέγειν οὐκ ἐῶσιν ἡμᾶς, ὁμολογοῦντες

αὐτοὶ, μικρὸν εἶναι τὸ τῆς σαρκὸς ἡδὺ, μᾶλλον δ' ἀκαρὲς, εἴ γε δὴ μὴ κενολογοῦσι μηδ' ἐλαζονεύονται· Μητρόδωρος μὲν λέγων, ὅτι πολλάκις παρεπτύσαμεν ταῖς τοῦ σώματος ἡδοναῖς· Ἐπίκουρος δὲ καὶ γελᾷν φησι ταῖς ὑπερβολαῖς τοῦ παρὰ τὰ σῶμα νοσήματος πολλάκις κάμνοντα τὸν σοφόν. εἰς τί οὖν εἰ πόνοι τοῦ σώματος οὕτως εἰσὶν ἐλαφροὶ καὶ φῦδιοι, πῶς ἔνεστί τι ταῖς ἡδοναῖς ἀξιόλογον; περιῇσι εἰ μὴ χρόνῳ μηδὲ μεγέθει τῶν πόνων ἀποδίδοσαν, ἀλλὰ περὶ πόνους ἔχουσι, καὶ πέρας αὐταῖς τοῦτον Ἐπίκουρος τὴν παντὸς τοῦ ἀλγοῦντος ὑπεκπίπτουσαν ἐπιτέθεικεν, ὡς τῆς φύσεως ἄρτι τοῦ λύσαι τὸ ἀλγεινὸν αὐξούσης τὸ ἡδὺ, περαιτέρω δὲ προελθὸν οὐκ ἐώσης κατὰ μέγεθος, ἀλλὰ ποικιλμοὺς τινας οὐ ἀναγκαίους, ὅταν οὐκ ἐν τῷ μὴ πονεῖν γένηται, ἐπιχομένης· ἡ δ' ἐπὶ τοῦτο μετ' ὀρέξεως πορεία, μέχρι ἡδονῆς οὖσα, κομιδῇ βραχεῖα καὶ σύντομος. ἄθυμοι σθόμενοι τῆς ἐνταῦθα γλισχρότητος, ὥσπερ ἐκ χορίου λυπροῦ τοῦ σώματος μεταφέρουσι τὸ τέλος εἰς τὴν ψυχὴν, ὡς ἐκεῖ νομὰς καὶ λειμῶνας ἀμφιλαφεῖς ἡδονῶν ἔχοντες.

Ἐν δὲ Ἰθάκῃ οὔτ' ἄρ δρόμοι εὐρέες,
οὔτε λείη περὶ τὸ σαρκίδιον ἡ ἀπόλαυσις, ἀλλὰ τραχεῖα, μεμιγμένη πρὸς πολὺ τὸ ἀλλότριον καὶ συγγματῶδες.

IV. Ὑπολαβὼν οὖν ὁ Ζεύξιππος· Εἶτ' οὐ καλῶς, ἔφη, δοκοῦσί σοι ποιεῖν οἱ ἄνδρες, ἀρχόμενοι μὲν ἀπὸ τοῦ σώματος, ἐν ᾧ πρῶτον ἰφάνη γένεσις, καὶ δὲ τὴν ψυχὴν ὡς βεβαιοτέραν, καὶ τὸ τῶν ἐν φύσει

οῦντες; Καλῶς, νὴ Δία, ἔφην ἐγὼ, καὶ κατὰ
ιν, εἴ τι κρεῖττον ἐνταῦθα μετιόντες καὶ τελειό-
ν ἀληθῶς ἀνευρίσκουσιν, ὥσπερ οἱ θεωρητικοὶ
πολιτικοὶ τῶν ἀνδρῶν. εἰ δ' ἀκούεις αὐτῶν μαρ-
υμένων καὶ βοώντων, ὡς ἐπ' οὐδενὶ ψυχὴ τῶν
ν πέφυκε χαίρειν καὶ γαληνίζειν, πλὴν ἐπὶ σώ-
ος ἡδοναῖς παρούσαις ἢ προσδοκωμέναις, καὶ
ο αὐτῆς τὸ ἀγαθόν ἐστιν, ἆρ' οὐ δοκοῦσί σοι
ήματι τοῦ σώματος χρῆσθαι τῇ ψυχῇ, καθάπερ
ν ἐκ πονηροῦ καὶ μὴ στέγοντος ἀγγείου τὴν ἡδο-
διαχέοντες ἐνταῦθα καὶ παλαιοῦντες, οἴεσθαι
ότερόν τι ποιεῖν καὶ τιμιώτερον; καίτοι γ' οἶ-
μὲν χρόνος διαχυθέντα τηρεῖ καὶ συνηδύνει· τῆς
δονῆς ἡ ψυχὴ παραλαβοῦσα τὴν μνήμην, ὥσπερ
ὶν, ἄλλο δ' οὐδέν, φυλάσσει· ἔξεσασα γὰρ ἐπὶ
ὶ κατασβέννυται, καὶ τὸ μνημονευόμενον αὐτῆς
υρόν ἐστι καὶ κνισσῶδες, ὥσπερ ἐώλων, ὧν τις
ιεν ἢ ἔπιε, τιθεμένου καὶ ταμιεύοντος, ἐπινοίαις
ὑτῷ, καὶ χρωμένου θηλονότι ταύταις, προσφά-
ιεὶ παρόντων. ὅρα δὲ, ὅσῳ μετριώτερον οἱ Κυ-
ϊκοὶ, καίπερ ἐκ μιᾶς οἰνοχόης Ἐπικούρῳ πεπω-
ς, οὐδὲ ὁμιλεῖν ἀφροδισίοις οἴονται δεῖν μετὰ
ὸς, ἀλλὰ σκότος προθεμένους, ὅπως μὴ τὰ εἴ-
ι τῆς πράξεως ἀναλαμβάνουσα διὰ τῆς ὄψεως
γῶς ἐν αὐτῇ ἡ διάνοια πολλάκις ἀνακαίῃ τὴν
ιν. οἱ δὲ τούτῳ μάλιστα τὸν σοφὸν ἡγούμενοι
ήρειν, τῷ μνημονεύειν ἐναργῶς καὶ συνέχειν ἐν
ῖ τὰ περὶ τὰς ἡδονὰς φάσματα καὶ πάθη καὶ κι-
, εἰ μέν οὐδὲν ἄξιον σοφίας παρεγγυῶσιν, ὡς-

περ σωμάτων οἰκίᾳ τῇ ψυχῇ τοῦ σοφοῦ τὰ τῆς ἡδονῆς ἐκκλύσματα μένειν ἐῶντες, μὴ λέγωμεν· ὅτι ἃ οὐκ ἔστιν ἀπὸ τούτων ἡδέως ζῆν, αὐτόθεν πρόδηλον. οὐ γὰρ εἰκὸς εἶναι μέγα τῆς ἡδονῆς τὸ μνημονευόμενον, εἰ μικρὸν ἐδόκει τὸ παρόν· οὐδὲ οἷς συνέφερετο μετρίως γινομένοις, ὑπερχαίρειν γενομένων· ὅπου οὐδὲ τοῖς ἐκπεπληγμένοις τὰ σωματικὰ καὶ θαυμάζουσιν, ἐμμένει τὸ χαίρειν παυσαμένοις, ἀλλά σκιά τις ὑπολείπεται καὶ ὄναρ ἐν τῇ ψυχῇ τῆς ἡδονῆς ἀποπταμένης, οἷον ὑπέκκαυμα τῶν ἐπιθυμιῶν, ὥσπερ ἐν ὕπνῳ διψῶντες ἢ ἐρῶντες, ἀτελεῖς ἡδονὰς καὶ ἀπολαύσεις δριμύτερον ἐγείρουσι τὸ ἀκόλαστον. οὔτε δὴ τούτοις ἐπιτρεπὴς ἡ μνήμη τῶν ἀπολειπομένων, ἀλλ' ἐξ ὑπολείμματος ἡδονῆς ἀμυδροῦ καὶ διακένου πολὺ τὸ οἰστρῶδες καὶ νύττον ἐναργῶς ἀναφέρουσα τῆς ὀρέξεως· οὔτε τοὺς μετρίους καὶ σώφρονας εἰκὸς ἐνδιατρίβειν τῇ ἐπινοίᾳ τῶν τοιούτων, οὐδὲ ἅπερ ἔσκωπτε τὸν Κορνιάδην πράττοντα, οἷον ἐξ ἐφημερίδων ἀναλέγεσθαι, ποσάκις Ἥδειᾳ καὶ Λεοντίῳ συνῆλθον, ἢ ποῦ Θάσιον ἔπιον, ποίας εἰκάδας ἐδείπνησα πολυτελέστατα. δεινὴν γὰρ ἐμφαίνει καὶ θηριώδη περὶ τὰ γινόμενα καὶ προσδοκώμενα τῆς ἡδονῆς ἔργα ταραχὴν καὶ λύσσαν ἡ τοσαύτη πρὸς ἀναμνήσεις βάκχευσις αὐτῆς τῆς ψυχῆς καὶ πρόστηξις. ὅθεν αὐτοί μοι δοκοῦσι, τούτων αἰσθόμενοι τῶν ἀτοπιῶν, εἰς τὴν ἀπονίαν καὶ τὴν εὐστάθειαν ὑποφεύγειν τῆς σαρκός, ὡς ἐν τῷ ταύτην ἐπινοεῖν περί τινας ἐσομένην καὶ γεγενημένην, οὐ ἡδέως ζῆν ὄντος. τὸ γὰρ εὐσταθὲς σαρκὸς καὶ

στεμμα, καὶ τὸ περὶ ταύτης πιστὸν ἔλπισμα τὴν ἀκροτάτην χαρὰν καὶ βεβαιοτάτην ἔχει τοῖς ἐπιλογίζεσθαι δυναμένοις.

V. Ὅρα δὴ πρῶτον μὲν, οἷα ποιοῦσι, τὴν εἴτε ἡδονὴν ταύτην, εἴτ' ἀπονίαν, ἢ εὐπάθειαν, ἄνω καὶ κάτω μεταίροντες ἐκ τοῦ σώματος εἰς τὴν ψυχὴν, εἶτα πάλιν ἐκ ταύτης εἰς ἐκεῖνο τῷ μὴ στέγειν ἀποῤῥέουσαν καὶ περιολισθαίνουσαν, ἀναγκαζόμενοι τῇ ἀρχῇ συνάπτειν· καὶ τὸ μὲν ἡδόμενον, ὥς φησι, τῆς σαρκὸς τῷ χαίροντι τῆς ψυχῆς ὑπερείδοντες, αὖθις δὲ τοῦ χαίροντος εἰς τὸ ἡδόμενον τῇ ἐλπίδι τελευτῶντες. καὶ πῶς οἷόν τε, τῆς βάσεως τινα ττομένης, μὴ συντινάττεσθαι τὸ ἐνόν; ἢ βέβαιον ἐλπίδα καὶ χαρὰν ἀσάλευτον εἶναι περὶ πράγματος σάλον ἔχοντος τοσοῦτον, καὶ μεταβολὰς, ὅσαι φυλάττουσι τὸ σῶμα, πολλαῖς μὲν ἔξωθεν ὑποκείμενον ἀνάγκαις καὶ πληγαῖς, ἐν αὐτῷ δ' ἔχον ἀρχὰς κακῶν, ἃς οὐκ ἀποτρέπει λογισμός; οὐδὲ γὰρ ἂν προσέπιπτεν ἀνδράσι νοῦν ἔχουσι στραγγουρικὰ πάθη, καὶ δυσεντερικὰ, καὶ φθίσεις, καὶ ὕδρωπες, ὧν τοῖς μὲν αὐτὸς Ἐπίκουρος συνηνέχθη, τοῖς δὲ Πολύαινος, τὰ δὲ Νεοκλέα καὶ Ἀγαθόβουλον ἐξήγαγε. καὶ ταῦτ' οὐκ ὀνειδίζομεν, εἰδότες καὶ Φερεκύδην καὶ Ἡράκλειτον ἐν νόσοις χαλεπαῖς γενομένους· ἀλλ' ἀξιοῦμεν αὐτοὺς, εἰ τοῖς πάθεσι βούλονται τοῖς ἑαυτῶν ὁμολογεῖν, καὶ μὴ κεναῖς φωναῖς θρασυνόμενοι καὶ δημαγωγοῦντες, ἀλαζονείαν προσοφλισκάνειν, ἢ μὴ λαμβάνειν χαρᾶς ἀρχὴν ἀπάσης τῆς σαρκὸς εὐστάθειαν, ἢ μὴ φάναι χαίρειν καὶ ὑβρίζειν τοὺς ἐν πόνοις ὑπερβάλλουσι καὶ

νόσοις γινομένους. κατάστημα μὲν γὰρ εὔστοχὸν σαρκὸς γίνεται πολλάκις, ἔλπισμα δὲ πιστὸν ὑπὸ σαρκὸς καὶ βέβαιον οὐκ ἔστιν ἐν ψυχῇ νοῦν ἔχούσῃ γενέσθαι· ἀλλ' ὥσπερ ἐν θαλάσσῃ, κατ' Αἰσχύλον,

Ὠδῖνα τίκτει νὺξ κυβερνήτῃ σοφῷ
Καὶ γαλήνη.

τὸ γὰρ μέλλον ἄδηλον· οὕτως ἐν σώματι ψυχὴ εὐσταθοῦντι καὶ ταῖς περὶ σώματος ἐλπίσι τὰγαθὴν θεμένην, οὐκ ἔστιν ἄφοβον καὶ ἄκυμον διεξαγωγήν. οὐ γὰρ ἔξωθεν μόνον, ὥσπερ ἡ θάλασσα, χειμῶνας ἴσχει καὶ καταιγισμοὺς τὸ σῶμα, πλείονας δὲ πηγὰς ἐξ ἑαυτοῦ καὶ μείζονας ἀναδίδωσιν· εὐδίαν δὲ χειμερινὴν μᾶλλον ἄν τις ἢ σαρκὸς ἀβλάβειαν ἔλπισειεν αὐτῷ παραμένειν βεβαίως. τὸ γὰρ ἐφήμερα μᾶλλον καὶ ἀβέβαια καὶ ἀστάθμητα, φύλλοις τὰ γιγνόμενος ἔτους ὥρᾳ καὶ φθίνουσιν εἰκάζειν τὸν βίον, τί παρίσχηκεν ἄλλο τοῖς ποιηταῖς, ἢ τὸ τῆς σαρκὸς ἐπίκηρον καὶ πολυβλαβὲς καὶ νοσῶδες; ἧς δὲ καὶ τὸ ἄκρον ἄγαθὸν δεδιέναι καὶ κολούειν παρεγγυῶσιν. σφαλερὸν γὰρ ἡ ἐπ' ἄκρον εὐεξία, φησὶν Ἐπικράτης·

Ὅ δὲ ἄρτι θάλλων σαρκὶ, διοπετὴς ὅπως
Ἀστὴρ, ἀπέσβη,

κατὰ τὸν Εὐριπίδην. ὑπὸ δὲ βασκανίας καὶ φθόνου βλάπτεσθαι προσορωμένους οἴονται τοὺς καλούς, ὅτι τάχιστα τὸ ἀκμάζον ἴσχει μεταβολὴν τοῦ σώματος δι' ἀσθένειαν.

VI. Ὅτι δὲ ὅλως μοχθηρὰ τὰ πράγματα περὶ βίον ἄλυπόν ἐστιν αὐτοῖς, σκόπει καὶ ὧδε· ὧν περὶ

ἑτέρους λέγουσι. τοὺς γὰρ ἀδικοῦντας καὶ παρανομοῦντας, ἀθλίως, φασὶ, καὶ περιφόβως ζῆν τὸν πάντα χρόνον· ὅτι, κἂν λαθεῖν δύνωνται, πίστιν περὶ τοῦ λαθεῖν λαβεῖν ἀδύνατόν ἐστιν· ὅθεν ὁ τοῦ μέλλοντος ἀεὶ φόβος ἐγκείμενος οὐκ ἐᾷ χαίρειν, οὐδὲ θαῤῥεῖν ἐπὶ τοῖς παροῦσι. ταῦτα δὲ καὶ πρὸς ἑαυτοὺς εἰρηκότες λελήθασιν. εὐσταθεῖν μὲν γάρ ἐστι καὶ ὑγιαίνειν τῷ σώματι πολλάκις, πίστιν δὲ λαβεῖν περὶ τοῦ διαμένειν, ἀμήχανον· ἀνάγκη δὴ ταράττεσθαι καὶ ᾠδίνειν ἀεὶ πρὸς τὸ μέλλον ὑπὲρ τοῦ σώματος, ἢ τί περιμένουσιν ἐλπίδα πιστὴν ἀπ' αὐτοῦ καὶ βέβαιον οὐδέπω κτήσασθαι δυναμένους; τὸ δὲ μηδὲν ἀδικεῖν, οὐδέν ἐστι πρὸς τὸ θαῤῥεῖν· οὐ γὰρ τὸ δικαίως παθεῖν, ἀλλὰ τὸ παθεῖν, φοβερόν· οὐδὲ συνεῖναι μὲν αὐτὸν ἀδικίαις ἀνιαρόν, περιπεσεῖν δὲ ταῖς ἄλλων οὐ χαλεπόν. ἀλλ' εἰ μὴ μεῖζον, οὐκ ἔλαττόν γε τὸ κακὸν ἦν Ἀθηναίοις ἡ Λαχάρους, καὶ Συρακουσίοις ἡ Διονυσίου χαλεπότης, ἥπερ αὐτοῖς ἐκείνοις· ταράττοντες γὰρ ἐταράττοντο, καὶ πείσεσθαι κακῶς προσεδόκων ἐκ τοῦ προαδικεῖν καὶ λυμαίνεσθαι τοὺς προεντυγχάνοντας; ὄχλων δὲ θυμοὺς, καὶ ληστῶν ὠμότητας, καὶ κληρονόμων ἀδικίας, ἔτι δὲ λοιμοὺς ἀέρων, καὶ θάλασσαν εὐκράγκην, ὑφ' αἷς Ἐπίκουρος ὀλίγον ἐδέησε καταποθῆναι πλέων εἰς Λάμψακον, ὡς γράφει, τί ἂν λέγοι τις; ἀρκεῖ γὰρ ἡ φύσις τῆς σαρκὸς, ὕλην ἔχουσα νόσων ἐν ἑαυτῇ, καὶ τοῦτο δὴ τὸ παιζόμενον, ἐκ τοῦ βοὸς τοὺς ἰμάντας λαμβάνουσα, τὰς ἀλγηδόνας ἐκ τοῦ σώματος, ὁμοίως τοῖς τε φαύλοις καὶ τοῖς ἐπιεικέσι τὸν βίον

ἐπισφαλῆ ποιεῖν καὶ φοβερόν, ἄνπερ ἐπὶ σαρκὶ μὴ τῇ περὶ σάρκα ἐλπίδι μάθωμεν, ἄλλῳ δὲ μηδενὶ χαίρειν καὶ θαῤῥεῖν, ὡς Ἐπίκουρος ἔν τ' ἄλλοις πολλοῖς γέγραφε, καὶ τούτοις, ἃ ἐστι περὶ Τέλους.

VII. Οὐ μόνον τοίνυν ἄπιστον καὶ ἀβέβαιον τὴν λαμβάνουσι τοῦ ἡδέως ζῆν, ἀλλὰ καὶ παντάπασιν εὐκαταφρόνητον καὶ μικράν· εἴπερ οὐδεὶς ἀποφυγὴ τὸ χαρτόν ἐστι καὶ τὸ ἀγαθόν, ἀλλ' οὐδὲν διανοεῖσθαί φασιν, οὐδὲ ὅλως τὴν φύσιν ἡμῶν, ὅπως τεθήσεται τὸ ἀγαθόν, εἰ μὴ μόνον, ὅταν λαίνεται τὸ κακὸν αὐτῆς, ὡς φησι Μητρόδωρος τοῖς πρὸς τοὺς Σοφιστάς· ὥστε τοῦτο αὐτὸ ἀγαθόν ἐστι, τὸ φυγεῖν τὸ κακόν· ἔνθα γὰρ τεθήσεται τὸ ἀγαθόν, οὐκ ἔστιν, ὅταν μηδὲν ἔτι ὑπεξίῃ μὴ ἀγεινόν, μήτε λυπηρόν. ὅμοια δὲ καὶ τὰ Ἐπικούρου, λέγοντος, τὴν τοῦ ἀγαθοῦ φύσιν ἐξ αὐτῆς τῆς φυγῆς τοῦ κακοῦ, καὶ τῆς μνήμης καὶ ἐπιλογίσεως καὶ χάριτος, ὅτι τοῦτο συμβέβηκεν αὐτῷ, γεννᾶσθαι· τὸ γὰρ ποιοῦν, φησὶν, ἀνυπέρβλητον γῆθος τὸ καθ' αὐτὸ πεφυγμένον μέγα κακόν· καὶ αὕτη φύσις ἀγαθοῦ, ἂν τις ὀρθῶς ἐπιβάλλῃ, ἔπειτα σταθῇ, καὶ μὴ κενῶς περιπατῇ περὶ ἀγαθοῦ θρυλλῶν. φαῦλος μεγάλης ἡδονῆς τῶν ἀνδρῶν καὶ μακαριότητος, ἣν καρποῦνται χαίροντες ἐπὶ τῷ μὴ κακοπαθεῖν, μηδὲ λυπεῖσθαι, μηδ' ἀλγεῖν. ἆρ' οὐκ ἄξιόν ἐστιν, ἐπὶ τούτοις καὶ φρονεῖν καὶ λέγειν, ἃ λέγουσιν, ἀφθάρτους καὶ ἰσοθέους ἀποκαλοῦντας αὐτούς; καὶ δὲ ὑπερβολὰς καὶ ἀκρότητας ἀγαθῶν, ὡς βαθμοὺς καὶ ὁλολυγμοὺς ἐκβακχεύοντες ὑφ' ἡδονῆς, ὅτι τῶν ἄλλων

νοῦντες, ἐξευρήκασι μόνοι θεῖον ἀγαθὸν καὶ
τὸ μηθὲν ἔχειν κακόν. ὥστε μήτε συῶν ἀπο
αι, μήτε προβάτων, εὐδαιμονίαν τὸ τῇ σαρκὶ
υχῇ περὶ τῆς σαρκὸς ἱκανῶς ἔχειν μακάριον
ους. ἐπεὶ τοῖς γε κομψοτέροις καὶ γλαφυρω-
ῶν ζώων οὐκ ἔστι φυγὴ κακοῦ τέλος· ἀλλὰ
ς ᾠδὰς ὑπὸ κόρου τρέπεται, καὶ νήξεσι χαί-
πτήσεσι, καὶ ἀπομιμεῖσθαι παίζοντα φωνάς
ὀδαπὰς καὶ ψόφους ὑπὸ ἡδονῆς καὶ γαυρό-
ιχειρεῖ· καὶ πρὸς ἄλληλα χρῆται φιλοφρο-
ε καὶ σκιρτήσεσιν, ὅταν ἐκφύγῃ τὸ κακόν,
ν πεφυκότα ζητεῖν· μᾶλλον δὲ ὅλως πᾶν τὸ
καὶ τὸ ἀλλότριον ὡς ἐμποδὼν ὄντα τῇ διώ-
οἰκείου καὶ κρείττονος ἐξωθοῦντα τῆς φύσεως.
I. Τὸ γὰρ ἀναγκαῖον οὐκ ἀγαθόν ἐστιν, ἀλλ'
τῆς φυγῆς τῶν κακῶν κεῖται τὸ ἐφετὸν καὶ
όν, καὶ, νὴ Δία, τὸ ἡδὺ καὶ οἰκεῖον, ὡς
ἔλεγε, καὶ ἀπηγόρευε, τὰς λυπῶν καὶ πόνων
ὰς, ἡδονὰς μὴ νομίζειν, ἀλλ' οἷόν τινα σκια-
ἢ μίξιν οἰκείου καὶ ἀλλοτρίου, καθάπερ
καὶ μέλανος ἀπὸ τοῦ κάτω πρὸς τὸ μέσον
μένων, ἀπειρίᾳ δὲ τοῦ κάτω καὶ ἀγνοίᾳ, τὸ
κρον ἡγουμένων εἶναι καὶ πέρας. ὥσπερ
ος ἡγεῖται καὶ Μητρόδωρος, οὐσίαν τάγα-
ἀκρότητα τὴν τοῦ κακοῦ φυγὴν τιθέμενοι,
οντες ἀνδραπόδων τινὰ χαρὰν ἢ δεσμίων ἐξ
λυθέντων ἁσμένως ἀλειψαμένων καὶ ἀπο-
ων μετ' αἰκίας καὶ μάστιγας, ἐλευθέρας δὲ
ῶς καὶ ἀμιγοῦς καὶ ἀπουλωτίστου χαρᾶς

ἀγεύστων καὶ ἀθεάτων. οὐ γὰρ, εἰ τὸ ψωριᾶν τὴν σάρκα καὶ λημᾶν τὸν ὀφθαλμὸν ἀλλότριον, ἤδη καὶ τὸ κνᾶσθαι καὶ ἀπομάττεσθαι θαυμάσιον· οὐδ' εἰ τὸ ἀλγεῖν καὶ φοβεῖσθαι τὰ θεῖα καὶ ταράττεσθαι τοῖς ἐν ᾅδου κακὸν, ἡ τούτων ἀποφυγὴ μακάριον καὶ ζηλωτόν· ἀλλὰ μικρὸν τινὰ τόπον καὶ γλίσχρον ἀποφαίνουσι τῆς χαρᾶς, ἐν ᾧ στρέφεται καὶ κολανδεῖται μέχρι τοῦ μὴ ταράττεσθαι τοῖς ἐν ᾅδου κακοῖς, (ἡ τούτων) παρὰ τὰς κενὰς δόξας προϊοῦσα, καὶ τοῦτο ποιουμένη τῆς σοφίας τέλος, ὃ δόξειεν αὐτόθεν ὑπάρχειν τοῖς ἀλόγοις. εἰ γὰρ πρὸς τὴν ἀπονίαν τοῦ σώματος οὐ διαφέρει, πότερον δι' αὐτὸ ἢ φύσει τοῦ πονεῖν ἐκτός ἐστιν, οὐδὲ πρὸς τὴν ἀναραξίαν τῆς ψυχῆς μεῖζόν ἐστι τὸ δι' αὐτὸ ἢ κατὰ φύσιν οὕτως ἔχειν, ὥστε μὴ ταράττεσθαι. καίτοι φήσειεν ἄν τις οὐκ ἀλόγως, ἐῤῥωμενεστέραν εἶναι διάθεσιν τὴν φύσει μὴ δεχομένην τὸ ταράττον, ἢ τὴν ἐπιμελείᾳ καὶ λόγῳ διαφεύγουσαν. ἔστω δ' ἔχειν ἐπίσης· καὶ γὰρ οὕτω φανοῦνται τῶν θηρίων πλέον οὐδὲν ἔχοντες, ἐν τῷ μὴ ταράττεσθαι τοῖς ἐν ᾅδου καὶ περὶ θεῶν λεγομένοις, μηδὲ προσδοκᾶν λύπας μηδ' ἀλγηδόνας ὅρον ἐχούσας. αὐτὸς γοῦν Ἐπίκουρος, εἰπὼν, ὡς, εἰ μηδὲν ἡμᾶς αἱ ὑπὲρ τῶν μετεώρων ὑποψίαι ἠνώχλουν, ἔτι τὰ περὶ θανάτου καὶ ἀλγηδόνων, οὐκ ἄν ποτε προσεδεόμεθα φυσιολογίας. εἰς τοῦτο ἄγειν ἡμᾶς οἴεται τὸν λόγον, ἐν ᾧ τὰ θηρία φύσει καθέστηκεν· οὔτε γὰρ ὑποψίας ἔχει φαύλας περὶ θεῶν, οὔτε δόξας, αἷς ἐνοχλεῖται μετὰ τὸν θάνατον, οὐδὲ ὅλως ἐπινοεῖ τι δεινὸν ἐν τούτοις.

δε. καίτοι εἰ μὲν ἐν τῇ προλήψει τοῦ Θεοῦ
ένοιαν ἀπέλιπον, ἐφαίνοντο ἂν ἐλπίσι χρη-
λέον ἔχοντες οἱ φρόνιμοι τῶν θηρίων πρὸς τὸ
ῆν· ἐπεὶ δὲ τέλος ἦν τοῦ περὶ θεῶν λόγου,
οβεῖσθαι θεὸν, ἀλλὰ παύσασθαι ταραττο-
βεβαιότερον οἶμαι τοῦτο ὑπάρχειν τοῖς ὅλως
ὔσι θεὸν, ἢ τοῖς νοεῖν μὴ βλάπτοντα μεμα-
ν· οὐ γὰρ ἀπήλλακται δεισιδαιμονίας, ἀλλ'
ριπέπτωκεν· οὐδ' ἀποτέθειται τὴν ταράτ-
ἔννοιαν περὶ θεῶν, ἀλλ' οὐδ' εἴληφε. τὰ δ'
κὶ περὶ τῶν ἐν ᾅδου λεκτέον· τὸ μὲν γὰρ ἐλ-
ρηστὸν ἀπ' ἐκείνων οὐδέτερον ὑπάρχει· τὸ
ττεύειν καὶ φοβεῖσθαι μετὰ τὸν θάνατον, ἡτ-
εστιν, οἷς οὐ γίνεται θανάτου πρόληψις, ἢ
ολαμβάνουσιν, ὡς οὐδὲν πρὸς ἡμᾶς ὁ θάνα-
ρὸς μέν γε τούτους ἐστὶν, ἐφ' ὅσον περὶ αὐ-
ιλογίζονται καὶ σκοποῦσι· τὰ δὲ ὅλως ἀπήλ-
τοῦ φροντίζειν τῶν οὐ πρὸς ἑαυτὰ, πληγὰς
γοντα καὶ τραύματα καὶ φόνους, τοῦτο τοῦ
ου δέδοικεν, ὃ καὶ τούτοις φοβερόν ἐστιν.
. Ἃ μὲν οὖν λέγουσιν αὐτοῖς ὑπὸ σοφίας πα-
ασμένα, τοιαῦτά ἐστιν· ὧν δὲ αὐτοὺς ἀφαι-
ι καὶ ἀπελαύνουσιν, ἤδη σκοπῶμεν. τὰς
ρ ἐπὶ σαρκὶ καὶ σαρκὸς εὐπαθείᾳ τῆς ψυχῆς
εις, ἐὰν ὦσι μέτριαι, μηδὲν ἐχούσας μέγα,
ξιόλογον· ἂν δὲ ὑπερβάλλωσι, πρὸς τῷ κε-
ἀβεβαίῳ φορτικὰς φαινομένας καὶ θρασείας,
υχικὰς ἄν τις, οὐδὲ χάριτας, ἀλλὰ σωματικὰς
οἷον ἐπιμειδιάσεις καὶ συνεπιθρύψεις προσ-

εἰποι τῆς ψυχῆς. ἃς δ' ἄξιον καὶ δίκαιον εὐφροσύνας καὶ χαρὰς νομίζεσθαι, καθαραὶ μὲν εἰσι τοῦ ἐναντίου καὶ σφυγμὸν οὐδένα κεκραμένον, οὐδὲ δηγμὸν οὐδὲ μετάνοιαν, ἔχουσιν· οἰκεῖον δὲ τῇ ψυχῇ, καὶ ψυχικὸν ἀληθῶς καὶ γνήσιον καὶ οὐκ ἐπείσακτον αὐτῶν τἀγαθόν ἐστιν, οὐδ' ἄλογον, ἀλλ' εὐλογώτατον ἐν τοῦ θεωρητικοῦ καὶ φιλομαθοῦς, ἢ πρακτικοῦ καὶ φιλοκάλου τῆς διανοίας φυόμενον. ὧν ὅσας ἑκάτερον καὶ ἡλίκας ἡδονὰς ἀναδίδωσιν, οὐκ ἄν τις ἀνήσειε διελθεῖν προθυμούμενος· ὑπομνῆσαι δὲ βραχέως αἵ τε ἱστορίαι πάρεισι, πολλὰς μὲν ἐπιτερπεῖς διατριβὰς ἔχουσαι, τὸ δ' ἐπιθυμοῦν ἀεὶ τῆς ἀληθείας ἀκόρεστον ἀπολείπουσαι καὶ ἄπληστον ἡδονῆς δι' ἣν οὐδὲ τὸ ψεῦδος ἀμοιρεῖ χάριτος, ἀλλὰ καὶ πλάσμασι καὶ ποιήμασι τοῦ πιστεύεσθαι μὴ προσόντος, ἔνεστιν ὅμως τὸ πεῖθον.

X. Ἐννόει γάρ, ὡς δακνόμενοι τὸν Πλάτωνος ἀναγινώσκομεν Ἀτλαντικὸν, καὶ τὰ τελευταῖα τῆς Ἰλιάδος, οἷον ἱερῶν κλειομένων ἢ θεάτρων ἐπιποθοῦντες τοῦ μύθου τὸ λειπόμενον. αὐτῆς δὲ τῆς ἀληθείας ἡ μάθησις οὕτως ἐράσμιόν ἐστι καὶ ποθεινὸν, ὡς τὸ ζῆν καὶ τὸ εἶναι διὰ τὸ γινώσκειν· τοῦ δὲ θανάτου τὰ σκυθρωπότατα, λήθη καὶ ἄγνοια καὶ σκότος. ᾗ καὶ, νὴ Δία, μάχονται τοῖς φθείρουσι τῶν ἀποθανόντων τὴν αἴσθησιν ὀλίγου δεῖν ἅπαντες, ὡς ἐν μόνῳ τῷ αἰσθανομένῳ καὶ γινώσκοντι τῆς ψυχῆς τιθέμενοι τὸ ζῆν καὶ τὸ εἶναι καὶ τὸ χαίρειν. ἔστι γὰρ καὶ τοῖς ἀνιῶσι τὸ μεθ' ἡδονῆς τινος ἀκούεσθαι· καὶ ταραττόμενοι πολλάκις ἐπὶ

τῶν λεγομένων καὶ κλαίοντες, ὅμως λέγειν κελεύομεν ὥσπερ οὗτος·

Οἵ μοι πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν.
Κἀγώ γ' ἀκούειν· ἀλλ' ὅμως ἀκουστέον.

ἀλλὰ τοῦτο μὲν ἔοικε τῆς περὶ τὸ πάντα γινώσκειν ἡδονῆς ἀκρασία τις εἶναι καὶ ῥύσις ἐκβιαζομένη τὸν λογισμόν. ὅταν δὲ μηδὲν ἔχουσα λυπηρὸν ἡ βλαβερὸν ἱστορία καὶ διήγησις ἐπὶ πράξεσι καλαῖς καὶ μεγάλαις προσλάβῃ λόγον ἔχοντα δύναμιν καὶ χάριν, ὡς τὸν Ἡροδότου τὰ Ἑλληνικά, καὶ Περσικὰ τὸν Ξενοφῶντος,

Ὅσα δὲ Ὅμηρος ἐθέσπισε θέσκελα εἰδώς,

ἢ τὰς περιόδους Εὔδοξος, ἢ κτίσεις καὶ πολιτείας Ἀριστοτέλης, ἢ βίους ἀνδρῶν Ἀρισιοξενος ἔγραψεν, οὐ μόνον μέγα καὶ πολὺ τὸ εὐφραῖνον, ἀλλὰ καὶ καθαρὸν καὶ ἀμεταμέλητόν ἐστι. τίς δ' ἂν φάγοι πεινῶν καὶ πίοι διψῶν τὰ Φαιάκων ἥδιον, ἢ διέλθοι τὸν Ὀδυσσέως ἀπόλογον τῆς πλάνης; τίς δ' ἂν ἡσθείη συναναπαυσάμενος τῇ καλλίστῃ γυναικὶ, μᾶλλον, ἢ προσαγρυπνήσας, οἷς γέγραφε περὶ Πανθείας Ξενοφῶν, ἢ περὶ Τιμοκλείας Ἀριστόβουλος, ἢ Θήβης Θεόπομπος;

XI. Ἀλλὰ ταῦτα τῆς ψυχῆς. ἐξωθοῦσι δὲ καὶ τὰς ἀπὸ τῶν μαθημάτων. καίτοι ταῖς μὲν ἱστορίαις ἁπλοῦν τι καὶ λεῖόν ἐστιν· αἱ δ' ἀπὸ γεωμετρίας καὶ ἀστρολογίας καὶ ἁρμονικῆς ὁριμὰ καὶ ποικίλον ἔχουσαι τὸ δέλεαρ, οὐδὲν ἀγώγιμον ἀποδέουσιν, ἔλκουσαι καθάπερ ἴυγξι τοῖς διαγράμμασιν· ὧν ὁ γευσάμενος, ἅπερ ἐμπειρος ἦ, τὰ Σοφοκλέους περίεισι

ᾠδων· Μουσομανεῖ δ' ἐλάφθην δ' ἄν, κα
δειρὰν, ἔρχομαι δ' ἐκ τε λύρας, ἔκ τε νόμω
μύρας περὶ ἄλλα μουσοποιεῖ, καὶ νὴ Δία
καὶ Ἀρίσταρχος καὶ Ἀρχιμήδης. ὅπου γὰ
γραφοῦντες οὕτως ἄγονται τῇ πιθανότητ
γων, ὥστε Νικίαν, γράφοντα τὴν νεκυίαν
πολλάκις τοὺς οἰκέτας, εἰ ἠρίστηκε· Πτολ
τοῦ βασιλέως ἑξήκοντα τάλαντα τῆς γραφ
λευθείσης πέμψαντος αὐτῷ, μὴ λαβεῖν, μ
δόσθαι τὸ ἔργον· τίνας οἰόμεθα καὶ πηλίκ
ἀπὸ γεωμετρίας δρέπεσθαι καὶ ἀστρολογία
δην γράφοντα τὰ διοπτικά, καὶ Φίλιππο
κνύντα περὶ τοῦ σχήματος τῆς σελήνης,
μήδην ἀνευρόντα τῇ γωνίᾳ τὴν διάμετρον
τηλικοῦτο τοῦ μεγίστου κύκλου μέρος οὗ
κον ἡ γωνία τῶν τεσσάρων ὀρθῶν· καὶ Ἀ
καὶ Ἀρίσταρχον, ἑτέρων τοιούτων εὑρετὰς γε
ὧν νῦν ἡ θέα καὶ κατανόησις ἡδονάς τε με
φρόνημα θαυμάσιον ἐμποιεῖ τοῖς μανθάνο
οὐκ ἄξιον οὐδαμῇ τὰς ἐκ τῶν ὀπτανείων καὶ
λίων ἡδονὰς ἐκείνας παραβάλλοντα ταύταις
σχύνειν τὸν Ἑλικῶνα καὶ τὰς Μούσας,

Ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ φέρβειν βοτὰ,
Οὐδ' ἦλθέ πω σίδηρος·

ἀλλ' αὗται μὲν εἰσιν ὡς ἀληθῶς ἀκήρατοι
μελιττῶν, ἐκεῖνα δὲ συῶν καὶ τράγων κνησμ
προσαναπιμπλάντα τῆς ψυχῆς τὸ παθητ
ἔστι μὲν οὖν ποικίλον καὶ ἰταμὸν τὸ φ
οὔπω δέ τις ἐρωμένῃ πλησιάσας ὑπὸ χαρ

τησεν, οὐδ' ηὔξατό τις ἐμπλησθεὶς ὄψων ἢ πεμμάτων βασιλικῶν, εὐθὺς ἀποθανεῖν. Εὔδοξος δ' ηὔχετο, παραστὰς τῷ ἡλίῳ, καὶ καταμαθὼν τὸ σχῆμα τοῦ ἄστρου καὶ τὸ μέγεθος καὶ τὸ εἶδος, ὡς ὁ Φαέθων, καταφλεγῆναι· καὶ Πυθαγόρας ἐπὶ τῷ διαγράμματι βοῦν ἔθυσεν, ὡς φησιν Ἀπολλόδοτος·

Ἤδικα Πυθαγόρης τὸ περικλεὲς εὗρετο γράμμα
Κεῖνο, ἐφ' ᾧ λαμπρὴν ἤγετο βουθυσίην·

εἴτε περὶ τῆς ὑποτεινούσης, ὡς ἴσον δύναται ταῖς περιεχούσαις τὴν ὀρθὴν, εἴτε πρόβλημα περὶ τοῦ χωρίου τῆς παραβολῆς. Ἀρχιμήδην δὲ βίᾳ τῶν διαγραμμάτων ἀποσπῶντες συνήλειφον οἱ θεράποντες· ὁ δ' ἐπὶ τῆς κοιλίας ἔγραφε τὰ σχήματα τῇ στλεγγίδι· καὶ λουόμενος, ὡς φασιν, ἐκ τῆς ὑπερχύσεως ἐννοήσας τὴν τοῦ στεφάνου μέτρησιν, οἷον ἔκ τινος κατοχῆς ἢ ἐπιπνοίας ἐξήλατο βοῶν· Εὕρηκα· καὶ τοῦτο πολλάκις φθεγγόμενος ἐβάδιζεν. οὐδενὸς δ' ἀκηκόαμεν οὔτε γαστριμάργου περιπαθῶς. Βίβρωκα· βοῶντες, οὔτ' ἐρωτικοῦ· Πεφίληκα· μυρίων μυριάκις ἀκολάστων γεγονότων καὶ ὄντων· ἀλλὰ καὶ βδελυττόμεθα τοὺς μεμνημένους δείπνων ἐμπαθέστερον, ὡς ἐφ' ἡδοναῖς μικραῖς καὶ μηδενὸς ἀξίαις ὑπερασμενίζοντας· Εὐδόξῳ δὲ καὶ Ἀρχιμήδει καὶ Ἱππάρχῳ συνευθουσιῶμεν· καὶ Πλάτωνι πειθόμεθα περὶ τῶν μαθημάτων. ὡς ἀμελούμενα δι' ἄγνοιαν καὶ ἀπειρίαν, ὅμως βίᾳ ὑπὸ χάριτος αὐξάνεται.

XII. Ταύτας μέντοι τὰς τηλικαύτας καὶ τοσαύτας ἡδονὰς ὥσπερ ἀεννάους ἐκτρέποντες οὗτοι καὶ ποσπρόφοντες, οὐκ ἐῶσι γεύεσθαι τοὺς πλησιάσαν-

τας αὐτοῖς· ἀλλὰ τοὺς μὲν ἐπαραμένους τὰ ἀκόπια φεύγειν ἀπ' αὐτῶν κελεύουσι· Πυθοκλέους δὲ πάντες καὶ πᾶσαι δέονται δι' Ἐπικούρου καὶ ἀντιβολοῦσιν, ὅπως οὐ ζηλώσῃ τὴν ἐλευθέριον καλουμένην παιδείαν· Ἀπελλῆν δέ τινα θαυμάζοντες καὶ ὑπερασπαζόμενοι, γράφουσιν, ὅτι τῶν μαθημάτων ἀποσχόμενος ἐξ ἀρχῆς καθαρὸν ἑαυτὸν ἐτήρησε· περὶ δὲ τῆς ἱστορίας, ἵνα τὴν ἄλλην ἀνηκοΐαν ἐάσω, παραθήσομαι μόνα τὰ Μητροδώρου, γράφοντος ἐν τοῖς περὶ Ποιητῶν· Ὅθεν μηδὲ εἰδέναι φάσκων, μετὰ ποτέρων ἦν ὁ Ἕκτωρ, ἢ τοὺς πρώτους στίχους τῆς Ὁμήρου ποιήσεως, ἢ πάλιν τὰ ἐν μέσῳ, μὴ τορβήσῃς. ὅτι τοίνυν αἱ τοῦ σώματος ἡδοναὶ, καθάπερ οἱ ἐτησίαι, μαραίνονται μετὰ τὴν ἀκμὴν καὶ ἀπολήγουσιν, οὐ λέληθε τὸν Ἐπίκουρον· διαπορεῖ γοῦν, εἰ γέρων ὁ σοφὸς ὤν, καὶ μὴ δυνάμενος πλησιάζειν, ἔτι ταῖς τῶν καλῶν ἁφαῖς χαίρει καὶ ψηλαφήσεσιν· οὐ τὰ αὐτὰ μὲν τῷ Σοφοκλεῖ διανοούμενος, ἀσμένως ἐκφυγόντι τὴν ἡδονὴν ταύτην, ὥσπερ ἄγριον καὶ λυττῶντα δεσπότην· ἀλλ' ἔδει γε τοὺς ἀπολαυστικοὺς, ὁρῶντας, ὅτι πολλὰς ἀφαυαίνει τῶν ἡδονῶν τὸ γῆρας,

Ἥ τε Ἀφροδίτη τοῖς γεροῦσιν ἄχθεται,

κατ' Εὐριπίδην, ταύτας μάλιστα συνάγειν τὰς ἡδονὰς, ὥσπερ εἰς πολιορκίαν ἄσηπτα σιτία καὶ ἄφθαρτα παρατιθεμένους· εἶτ' ἄγειν ἀφροδίσια τοῦ βίου καὶ μεθεόρτους καλὰς ἐν ἱστορίαις καὶ ποιήμασι διατρίβοντας, ἢ προβλήμασι μουσικοῖς καὶ γεωμετρικοῖς. οὐ γὰρ ἂν ἐπῆλθεν αὐτοῖς εἰς νοῦν βα-

λέσθαι τὰς τυφλὰς ἐκείνας καὶ νωδὰς ψηλαφήσεις, καὶ ἐπιπηδήσεις τοῦ ἀκολάστου, μεμαθηκόσιν, εἰ μηδὲν ἄλλο, γράφειν περὶ Ὁμήρου καὶ περὶ Εὐριπίδου, ὡς Ἀριστοτέλης, καὶ Ἡρακλείδης, καὶ Δικαίαρχος. ἀλλ' οἶμαι τοιούτων ἐφρδίων μὴ φροντίσαντες, τῆς δ' ἄλλης αὐτῶν πραγματείας ἀτερποῦς καὶ ξηρᾶς, ὥσπερ αὐτοὶ τὴν ἀρετὴν λέγουσιν, οὔσης, ἥδεσθαι πάντως ἐθέλοντες, τοῦ δὲ σώματος ἀπαγορεύοντος, αἰσχρὰ καὶ ἄωρα πράττειν ὁμολογοῦσι· τῶν τε προτέρων ἡδονῶν ἀναμιμνήσκοντες ἑαυτούς. καὶ χρώμενοι ταῖς παλαιαῖς ἀπορίᾳ προσφάτων, ὥσπερ τεταριχευμέναις καὶ νεκραῖς, ἄλλας πάλιν καὶ τεθνηκυίας, οἷον ἐν τέφρᾳ ψυχρᾷ, τῇ σαρκὶ κινοῦντες παρὰ φύσιν καὶ ἀναζωπυροῦντες, ἅτε δὴ μηδὲν οἰκεῖον ἡδὺ μηδὲ χαρᾶς ἄξιον ἔχοντες ἐν τῇ ψυχῇ παρεσκευασμένον.

XIII. Καίτοι τὰ ἄλλα μὲν, ὡς ἡμῖν ἐπῆλθεν εἰπεῖν, εἴρηται· μουσικὴν δὲ ὅσας ἡδονὰς καὶ χάριτας αἷας φέρουσαν ἀποστρέφονται καὶ φεύγουσι, βουλόμενος οὐκ ἄν τις ἐκλάθοιτο, δι' ἀτοπίαν, ὧν Ἐπίκουρος λέγει, φιλοθέωρον μὲν ἀποφαίνων τὸν σοφὸν ἐν ταῖς διαπορίαις, καὶ χαίροντα παρ' ὁντινοῦν ἕτερον ἀκροάμασι καὶ θεάμασι Διονυσιακοῖς, προβλήμασι δὲ μουσικοῖς καὶ κριτικῶν φιλολόγοις ζητήμασιν οὐδὲ παρὰ πότον διδοὺς χώραν, ἀλλὰ τοῖς καὶ φιλομούσοις τῶν βασιλέων παραινῶν στρατηγικὰ διηγήματα καὶ φορτικὰς βωμολοχίας ὑπομένειν μᾶλλον ἐν τοῖς συμποσίοις, ἢ λόγους περὶ μουσικῶν καὶ ποιητικῶν προβλημάτων περαινομένους. ταυτὶ γὰρ ἐτόλμησε

γράφειν ἐν τῷ περὶ Βασιλείας ὥσπερ Σαρδανάπαλλος γράφων, ἢ Ναράτης, τῷ σατραπεύσαντι Βαβυλῶνος. οὐδὲ γὰρ Ἱέρων γ' ἄν, οὐδ' Ἄτταλος, οὐδ' Ἀρχέλαος, ἐπεισθησαν Εὐριπίδην καὶ Σιμωνίδην καὶ Μελανιππίδην καὶ Κράτητας καὶ Διοδότους ἀναστήσαντες ἐκ τῶν συμποσίων, κατακλίναι Κάρδακας καὶ Λιχάδας μεθ' αὑτῶν καὶ Καλλίας γελωτοποιούς, καὶ Θρασωνίδας τινὰς καὶ Θρασυλέοντας, ὀλοσχοίνους καὶ πρωτοθρύβους ποιοῦντας. εἰ δὲ Πτολεμαῖος ὁ πρῶτος συναγαγὼν τὸ μουσεῖον τούτοις συνέτυχε τοῖς καλοῖς καὶ βασιλικοῖς παραγγέλμασιν, ἆρ' οὐκ ἂν εἶπε τοῖς Σαμίοις· Ὦ Μοῦσα, τίς ὁ φθόνος; Ἀθηναίων γὰρ οὐδενὶ πρέπει ταῖς Μούσαις οὕτως ἀπεχθάνεσθαι καὶ πολεμεῖν·

Ὅσα δὲ μὴ πεφίληκε
Ζεὺς, ἀτύζονται βοὰν
Περίδων ἅϊοντα.

τί λέγεις, ὦ Ἐπίκουρε; κιθαρῳδῶν καὶ αὐλητῶν ἔξωθεν ἀκροασόμενος εἰς τὸ θέατρον βαδίζεις, ἐν δὲ συμποσίῳ Θεοφράστου περὶ συμφωνιῶν διαλεγομένου, καὶ Ἀριστοξένου περὶ μεταβολῶν, καὶ Ἀριστοφάνους περὶ Ὁμήρου, τὰ ὦτα καταλήψῃ ταῖς χερσὶ, δυσχεραίνων καὶ βδελυττόμενος; εἶτ' οὐκ ἐμμελέστερον ἀποφαίνουσι τὸν Σκύθην Ἀτέαν; ὃς, Ἰσμηνίου τοῦ αὐλητοῦ ληφθέντος αἰχμαλώτου, καὶ παρὰ πότον αὐλήσαντος, ὤμοσεν ἥδιον ἀκούειν τοῦ ἵππου χρεμετίζοντος; οὐχ ὁμολογοῦσι δὲ τῷ καλῷ πολεμεῖν τὸν ἄσπονδον καὶ ἀκήρυκτον πόλεμον· εἰ δὲ μὴ ἡδονὴ πρόσεστι, τί σεμνὸν καὶ καθάριον ἀσπάζονται

καὶ ἀγαπῶσιν; οὐκ ἦν δὲ πρὸς τὸ ἡδέως ζῆν ἐπιεικέστερον, μύρα καὶ θυμιάματα δυσχεραίνειν, ὡς κάνθαροι καὶ γύπες, ἢ κριτικῶν καὶ μουσικῶν λαλιὰν βδελύττεσθαι καὶ φεύγειν; ποῖος γὰρ ἂν αὐλὸς ἢ κιθάρα διηρμοσμένη πρὸς ᾠδὴν, ἢ τις χορὸς

Εὑρύοπα κέλαδον ἀκροσόφων
Ἀγνυμένων διὰ στομάτων

φθεγγόμενος, οὕτως ἡδύφρανεν Ἐπίκουρον καὶ Μητρόδωρον, ὡς Ἀριστοτέλην καὶ Θεόφραστον καὶ Ἱερώνυμον καὶ Δικαίαρχον οἱ περὶ χορῶν λόγοι καὶ διδασκαλίαι, καὶ τὰ δι' αὐλῶν προβλήματα καὶ ῥυθμῶν καὶ ἁρμονιῶν; οἷον διὰ τί τῶν ἴσων αὐλῶν ὁ στενώτερος βαρύτερον φθέγγεται· καὶ διὰ τί, τῆς σύριγγος ἀνασπωμένης, πᾶσιν ὀξύνεται τοῖς φθόγγοις, κλινομένης δὲ, πάλιν βαρύνει, καὶ συναχθεὶς πρὸς τὸν ἕτερον, διαχθεὶς δ' ὀξύτερον ἠχεῖ· καὶ τι δήποτε τῶν θεάτρων ἂν ἄχυρα τῆς ὀρχήστρας καταστεδάσῃς ἢ χοῦν, ὁ λαὸς τυφλοῦται· καὶ χαλκοῦν Ἀλέξανδρον ἐν Πέλλῃ βουλόμενον ποιῆσαι τὸ προσκήνιον, οὐκ εἴασεν ὁ τεχνίτης, ὡς διαφθεροῦντα τῶν ὑποκριτῶν τὴν φωνήν· καὶ τί δήποτε τῶν γενῶν διαχεῖ τὸ χρωματικόν, ἡ δ' ἁρμονία συνίστησιν· ἦθη δὲ ποιητῶν, καὶ πλάσματα, καὶ διαφοραὶ χαρακτήρων, καὶ λύσεις ἀπορίων, ἐν τῷ πρέποντι καὶ γλαφυρῷ τὸ οἰκεῖον ἅμα καὶ πιθανὸν ἔχουσαι, τὸ τοῦ Ξενοφῶντος ἐκεῖνό μοι δοκοῦσι, καὶ τὸν ἔρωτα ποιεῖν ἐπιλανθάνεσθαι, τοσοῦτον ἡδονῆς κρατούσης.

XIV. Ἧς οὐ μέτεστι τούτοις, οὐδὲ φασιν οὐδὲ βούλονται μετεῖναι· κατατείναντες δὲ τὸ θεωρητικὸν

εἰς τὸ σῶμα καὶ κατασπάσαντες, ὥσπερ μολιβδίσι, ταῖς τῆς σαρκὸς ἐπιθυμίαις, οὐδὲν ἀπολείπουσιν ἐπικόμων ἢ ποιμένων, χόρτον ἢ καλάμην ἢ τινα πόαν προβαλλόντων, ὡς ταῦτα βόσκεσθαι καὶ τρώγειν προσῆκον αὐτῶν τοῖς θρέμμασιν. ἢ γὰρ οὐχ οὕτως ἀξιοῦσι τὴν ψυχὴν ταῖς τοῦ σώματος ἡδοναῖς κατασυβωτεῖν, ὅσον ἐλπίσαι τι περὶ σαρκὸς ἢ παθεῖν ἢ μνημονεῦσαι χαίρουσαν, οἰκεῖον δὲ μηδὲν ἡδὺ μηδὲ τερπνὸν ἐξ αὐτῆς λαμβάνειν, μηδὲ ζητεῖν ἐῶντες; καίτοι τί γένοιτ' ἂν ἀλογώτερον, ἢ εἰ δυοῖν ὄντοιν, ἐξ ὧν ὁ ἄνθρωπος πέφυκε, σώματος καὶ ψυχῆς, ψυχῆς δὲ τάξιν ἡγεμονικωτέραν ἐχούσης, σώματος μὲν ἴδιόν τι καὶ κατὰ φύσιν καὶ οἰκεῖον ἀγαθὸν εἶναι, ψυχῆς δὲ μηθέν, ἀλλὰ τῷ σώματι καθῆσθαι προσβλέπουσαν αὐτὴν καὶ τοῖς τοῦ σώματος πάθεσιν ἐπιμειδιῶσαν καὶ συνηδομένην καὶ συγχαίρουσαν, αὐτὴν δ' ἀκίνητον ἐξ ἀρχῆς καὶ ἀπαθῆ, καὶ μηδὲν αἱρετὸν ἔχουσαν, μηδ' ὀρεκτὸν ὅλως, μηδὲ χαρτόν; ἢ γὰρ ἁπλῶς ἀποκαλυψαμένους ἔδει σαρκοποιεῖν τὸν ἄνθρωπον ὅλον, ὥσπερ ἔνιοι ποιοῦσι, τὴν ψυχικὴν οὐσίαν ἀναιροῦντες, ἢ δύο φύσεις ἐν ἡμῖν διαφόρους ἀπολιπόντας, ἴδιον ἀπολιπεῖν ἑκατέρας καὶ ἀγαθὸν καὶ κακόν, καὶ οἰκεῖον καὶ ἀλλότριον· ὥσπερ ἀμέλει καὶ τῶν αἰσθήσεων ἑκάστη πρὸς ἴδιόν τι πέφυκεν αἰσθητόν, κἂν πάνυ συμπαθοῦσιν ἀλλήλαις. ἔστι δὲ τῆς ψυχῆς ἴδιον αἰσθητήριον ὁ νοῦς, ᾧ μηθὲν οἰκεῖον ὑποκεῖσθαι, μὴ θέαμα, μὴ κίνημα, μὴ πάθος συγγενές, οὗ τυγχάνουσα χαίρειν πέφυκε,

ἁντων ἀλογώτατόν ἐστιν· εἰ μή τι, νὴ Δία, λελή-
θασιν ἔνιοι συκοφαντοῦντες τοὺς ἄνδρας.

XV. *Κἀγὼ πρὸς αὐτόν. Οὐχ ἡμῖν γε κριταῖς,*
φην· ἀλλὰ πάσης ἀφεῖσαι τῆς ἐπηρείας· ὥστε θαῤ-
ῶν τὰ λοιπὰ τοῦ λόγου πέραινε. *Πῶς, εἶπεν, οὐ*
γὰρ Ἀριστόδημος ἡμᾶς, εἰ σὺ παντάπασιν ἀπηγό-
ευκας, διαδέξεται; *Πάνυ μὲν οὖν, εἶπεν ὁ Ἀρι-*
τόδημος, ὅταν ἀποκάμῃς, ὥσπερ οὗτος· ἔτι δ᾽
κμάζων, ὦ μακάριε, χρῆσαι σεαυτῷ, καὶ μὴ δοκῇς
πομαλθακίζεσθαι. *Καὶ μήν, ὁ Θέων εἶπε, πάνυ*
ᾴδιόν ἐστι τὸ λειπόμενον· λείπεται δέ, τὸ πρακτι-
όν ὅσας ἡδονὰς ἔχει διελθεῖν. αὐτοὶ δέ δή που λέ-
ουσιν, ὡς τὸ εὖ ποιεῖν ᾧδιόν ἐστι τοῦ πάσχειν. εὖ
ὲ ποιεῖν, ἔστι μὲν ἀμέλει καὶ διὰ λόγων, τὸ δὲ πλεῖ-
τον ἐν πράξει καὶ μέγιστον, ὡς τοὔνομα τῆς εὑρ-
εσίας ὑφηγεῖται, καὶ μαρτυροῦσιν αὐτοί. μικρὸν
ὰρ ἔμπροσθεν ἠκούομεν, ἔφη, τούτου λέγοντος,
ἵας φωνὰς ἀφῆκεν Ἐπίκουρος, οἷα δὲ γράμματα
οῖς φίλοις ἔπεμψεν, ὑμνῶν καὶ μεγαλύνων Μητρό-
ωρον, ὡς εὖ τε καὶ νεανικῶς ἐξ ἄστεως, ἀλλὰ συν-
ῃ Μίθρᾳ τῷ Σύρῳ βοηθήσων, καὶ ταῦτα, πυιά-
ιντος οὐθὲν τότε τοῦ Μητροδώρου. τίνας οὖν οἰ-
ιεθα καὶ πηλίκας ἡδονὰς εἶναι τὰς Πλάτωνος,
ηνίκα Δίων ὁρμήσας ἀπ᾽ αὐτοῦ κατέλυσε Διονύ-
ιον, καὶ Σικελίαν ἠλευθέρωσε; τίνας δ᾽ Ἀριστοτέ-
ους, ὅτε τὴν πατρίδα, κειμένην ἐν ἐδάφει, πάλιν
ὀρθωσε, καὶ κατήγαγε τοὺς πολίτας; τίνας δὲ Θεο-
άστου καὶ Φειδίου τοὺς τῆς πατρίδος ἐκκοψάντων
έννους; ἰδίᾳ μὲν γὰρ ὅσοις ἐβοήθησαν ἀνδρά-

σιν, οὐ πυροὺς διαπέμποντες, οὐδ' ἀλφίτων μέδιμνον, ὡς Ἐπίκουρος ἐνίοις ἔπεμψεν, ἀλλὰ φεύγοντας διαπραξάμενοι κατελθεῖν, καὶ δεδεμένους λυθῆναι καὶ τέκνα γυναῖκας ἐστερημένους ἀπολαβεῖν, τί ἂν λέγοι τις ὑμῖν ἀκριβῶς εἰδόσιν; ἀλλὰ τὴν ἀτοπίαν οὐδὲ βουλόμενόν ἐστι τοῦ ἀνθρώπου παρελθεῖν, τὰς μὲν Θεμιστοκλέους καὶ Μιλτιάδου πράξεις ὑπὸ πέδας τιθεμένου καὶ κατευτελίζοντος, ὑπὲρ αὐτοῦ δὲ ταυτὶ τοῖς φίλοις γράφοντος· δαίως τε καὶ μεγαλοπρεπῶς ἐπεμελήθητε ἡμῶν τὰ περὶ τὴν τοῦ σίτου κομιδήν, καὶ οὐρανομήκη σημεῖα ἐνδέδειχθε τῆς πρὸς ἐμὲ εὐνοίας. ὥστ', εἴ τις ἐξεῖλε τὸ σιτάριον ἐκ τῆς ἐπιστολῆς τοῦ φιλοσόφου, δόξαν ἂν παραστῆσαι τὰ ῥήματα τῆς χάριτος, ὡς ὑπὲρ τῆς Ἑλλάδος ἅλης, ἢ τοῦ δήμου τῶν Ἀθηναίων ἐλευθερωθέντος, ἢ σωθέντος, γραφομένης.

XVI. Ὅτι μὲν οὖν καὶ πρὸς τὰς τοῦ σώματος ἡδονὰς ἡ φύσις δεῖται χορηγίας πολυτελοῦς, καὶ οὐκ ἔστιν ἐν μάζῃ καὶ φακῇ τὸ ἥδιστον, ἀλλ' ὄψα καὶ θάσια καὶ μύρα

Καὶ πεπτὰ καὶ κροτητὰ τῆς ξουθοπτέρου
Πελάνῳ μελίσσης ἀφθόνως δεδευμένα

ζητοῦσιν αἱ τῶν ἀπολαυστικῶν ὀρέξεις, καὶ πρός γε τούτοις εὐπρεπεῖς καὶ νέας γυναῖκας, οἷα Λεόντιον καὶ Βοίδιον καὶ Ἥδεῖα καὶ Νικήδιον ἐνέμοντο περὶ τὸν κῆπον, ἀφῶμεν. ταῖς μέντοι τῆς ψυχῆς χαραῖς ὁμολογουμένως μέγεθος ὑποκεῖσθαι δεῖ πράξεων, καὶ κάλλος ἔργων ἀξιολόγων, εἰ μέλλουσι μὴ διάκενοι μηδ' ἀγεννεῖς καὶ κορασιώδεις, ἀλλ' ἐμβριθεῖς

ἔσεσθαι καὶ βέβαιοι καὶ μεγαλοπρεπεῖς. τὸ δὲ περὶ τοῦ πρὸς εὐπαθείας ἐπαίρεσθαι ναυτῶν δίκην ἀφροδίσια ἀγόντων, καὶ μέγα φρονεῖν, ὅτι νόσῳ νοσῶν ἀσκίτῃ τινὰς ἐστιάσεις φίλων συνῆγε, καὶ οὐκ ἐφθόνει τῆς προσαγωγῆς τοῦ ὑγροῦ τῷ ὕδρωπι· καὶ, τῶν ἐσχάτων Νεοκλέους λόγων μεμνημένος ἐτήκετο τῇ μετὰ δακρύων ἰδιοτρόπῳ ἡδονῇ, τιῦτ᾽ οὐδεὶς ἂν ὑγιαίνων εὐφροσύνας ἀληθεῖς ἢ χαρὰς ὀνομάσειεν· ἀλλ᾽ εἴ τις ἐστὶ καὶ ψυχῆς Σαρδιανὸς γέλως, ἐν τούτοις ἐστὶ τοῖς παραβιασμοῖς καὶ κλαυσιγέλωσιν. εἰ δ᾽ οὖν ταῦτα φήσει τις εὐφροσύνας καὶ χαρὰς, σκόπει τὰς ὑπερβολὰς τῶν ἡδονῶν ἐκείνων·

Ἡμετέρας βουλαῖς Σπάρτα μὲν ἐκείρατο δόξαν.

καί·

Οὗτός τοι Ῥώμας ὁ μέγας, ξένε, πατρίδος ἀστήρ.

καί·

Δίζω, ἢ σε θεὸν μαντεύσομαι, ἢ ἄνθρωπον.

ὅταν δὲ λάβω τὰ Θρασυβούλου καὶ Πελοπίδου πρὸ ὀφθαλμῶν κατορθώματα, καὶ τὸν ἐν Πλαταιαῖς Ἀριστείδην, ἢ τὸν ἐν Μαραθῶνι Μιλτιάδην, ἐνταῦθα, κατὰ τὸν Ἡρόδοτον, ἐξείργομαι γνώμην εἰπεῖν, ὅτι τῷ πρακτικῷ βίῳ τὸ ἡδὺ πλέον ἢ τὸ καλὸν ἐστίν. μαρτυρεῖ δέ μοι καὶ Ἐπαμεινώνδας, εἰπών, ὡς φασιν, ἥδιστον αὐτῷ γενέσθαι τὸ τοὺς γονεῖς ζῶντας ἐπιδεῖν τὸ ἐν Λεύκτροις τρόπαιον αὐτοῦ στρατηγοῦντος. παραβάλωμεν οὖν τῇ Ἐπαμεινώνδου μητρὶ τὴν Ἐπικούρου, χαίρουσαν, ὅτι τὸν υἱὸν ἐπεῖδεν εἰς τὸ κηπίδιον ἐνδεδυκότα, καὶ κοινῇ μετὰ τοῦ Πολυαίνου παιδοποιούμενον ἐκ τῆς Κυζικηνῆς ἑταίρας

τὴν μὲν γὰρ Μητροδώρου μητέρα καὶ τὴν ἀδελφὴν ὡς ὑπερέχαιρον ἐπὶ τοῖς γάμοις αὐτοῦ, καὶ ταῖς πρὸς τὸν ἀδελφὸν ἀντιγραφαῖς, ἐκ τῶν βιβλίων δῆλόν ἐστιν. ἀλλ' ἡδέως τε βεβιωκέναι καὶ βεβιῶσθαι καὶ καθυμνεῖν τὸν αὑτῶν βίον, ἐπικραυγάζοντες λέγουσι. καὶ γὰρ οἱ θεράποντες ὅταν Κρόνια δειπνῶσιν, ἢ Διονύσια κατ' ἀγρὸν ἄγωσι περιϊόντες, οὐκ ἂν αὐτῶν τὸν ὁλολυγμὸν ὑπομείναις καὶ τὸν θόρυβον, ὑπὸ χαρμονῆς καὶ ἀπειροκαλίας τοιαῦτα κραυγάζοντων καὶ φθεγγομένων.

Τί κάθῃ; καὶ, πίωμεν· οὖ καὶ σῖτα
Πάρεστιν, ὦ δύστηνε; μὴ σεαυτῷ φθόνει.
Οἱ δ' εὐθὺς ἠλάλαξαν, ἐν δ' ἐκίρνατο
Οἶνος· φέρων δὲ στέφανον ἀμφέθηκέ τις·
Ἥμνει δ' αἰσχρῶς κλῶνα πρὸς καλὸν δάφνης,
Ὁ Φοῖβος οὐ προσῳδά· τήν τε ἑναύλιον
Ὠθῶν τις ἐξέκλαξε σύγκοιτον φίλην.

ἦ γὰρ οὐ τούτοις ἔοικε τὰ Μητροδώρου πρὸς τὸν ἀδελφὸν γράφοντος; Οὐδὲν δεῖ σώζειν τοὺς Ἕλληνας, οὐδ' ἐπὶ σοφίᾳ στεφάνων παρ' αὐτῶν τυγχάνειν, ἀλλ' ἐσθίειν καὶ πίνειν οἶνον, Τιμόκρατες; ἀβλαβῶς τῇ γαστρὶ καὶ κεχαρισμένως. καὶ πάλιν που φησὶν ἐν τοῖς αὐτοῖς γράμμασιν· Ὡς καὶ ἐχάρην καλέσθω συνάμην, ὅτι ἔμαθον παρ' Ἐπικούρου ὀρθῶς γαστρὶ χαρίζεσθαι· καὶ, περὶ γαστέρα γάρ, ὦ φυσιολόγε Τιμόκρατες, τὸ ἀγαθόν.

XVII. Καὶ ἔωλον οἱ ἄνθρωποι τῆς ἡδονῆς τὸ μέγεθος, καθάπερ κέντρῳ καὶ διαστήματι, τῇ γαστρὶ περιγράφουσι. λαμπρῶς δὲ καὶ βασιλικῆς καὶ

α ποιούσης μέγα καὶ φῶς καὶ γαλήνην ἀλη-
ᾶπαντας ἀναχεομένην χαρᾶς, οὐκ ἔστι με-
βίον ἀνέξοδον καὶ ἀπολίτευτον καὶ ἀφιλάν-
ν καὶ ἀνενθουσίαστον εἰς τιμὴν καὶ χάριν
ίνους. οὐ γάρ τι φαῦλον ἡ τύχη καὶ μικρὸν,
ενγές ἐστιν, οὐδὲ, ὥσπερ οἱ πολύποδες, ἄχρι
ιδίμων ἐκτείνει τὰς ἐπιθυμίας, ἀλλὰ ταύτην
τατος ἀποκόπτει κόρος, ἀκαρὲς ὥρας μόριον·
ίντων δὲ πρὸς τὸ καλὸν ὁρμῶν καὶ τὴν ἐπὶ τῷ
ιμὴν καὶ χάριν,
ἔστιν αὐτῶν μέτρον ὁ τοῦ βίου χρόνος,
οῦ παντὸς αἰῶνος ἐπιδραττόμενον τὸ φιλότι-
ὶ φιλάνθρωπον, ἐξαμιλλᾶται ταῖς πράξεσι καὶ
κρισιν ἡδονὰς ἀμηχάνους ἐχούσαις, ἃς οὐδὲ
τες οἱ χρηστοὶ διαφεύγειν δύνανται, παντα-
αὐτοῖς ἁπαντώσας καὶ περιεχομένας, ὅταν εὖ-
ωσι πολλοὺς εὐεργετοῦντες·
όμενον δ' ἀνὰ ἄστυ, θεὸν ὣς εἰσορόωσιν.
οὕτω διαθεὶς ἑτέρους, ὥστε καὶ χαίρειν καὶ
θαι, καὶ ποθεῖν ἅψασθαι καὶ προσαγορεῦ-
ῆλός ἐστι καὶ τυφλῷ μεγάλας ἔχων ἐν ἑαυτῷ
ρπούμενος ἡδονάς. ὅθεν οὐδὲ κάμνουσιν ὠ-
τες, οὐδ' ἀπαγορεύουσιν, ἀλλὰ τοιαύτας αὖ-
ούμεν φωνάς·
λοῦ σε θνητοῖς ἄξιον τίκτει πατήρ·

μή γε παυσώμεθα δρῶντες εὖ βροτούς.
δεῖ περὶ τῶν ἄκρως ἀγαθῶν λέγειν; εἰ γὰρ
μέσως φαύλων, μέλλοντι θνήσκειν, ὁ κύ-

ριος, ἤτοι θεὸς ἢ βασιλεὺς, ὅταν ἐπιδοίη μίαν
χρησάμενον αὐτῇ πρὸς τὴν καλὴν πρᾶξιν ἢ
ἀπόλαυσιν εὐθὺς τελευτᾶν, τίς ἂν ἐν τούτῳ τῷ
βούλοιτο μᾶλλον Λαΐδι συγγενέσθαι, καὶ κα
νον Ἀριούσιον, ἢ κτείνας Ἀρχίαν ἐλευθερῶσαι
Θήβας; ἐγὼ μὲν οὐδένα νομίζω. καὶ γὰρ τῶν
μάχων ὁρῶ τοὺς μὴ παντάπασι θηριώδεις, ἀλλ
ληνας, ὅταν εἰσιέναι μέλλωσι, προκειμένων κ
ἐδεσμάτων καὶ πολυτελῶν, ἥδιον ἐν τῷ χρόνῳ τ
τὰ γύναια τοῖς φίλοις παρακατατιθεμένους, καὶ
οἰκέτας ἐλευθεροῦντας, ἢ τῇ γαστρὶ χαριζομέ
ἀλλὰ καὶ ἐπὶ μέγα περὶ τὰς τοῦ σώματος ἡδ
κοινόν ἐστι δήπου τοῦτο τοῖς πρακτικοῖς πράγ
Καὶ γὰρ σῖτον ἔδουσιν, καὶ πίνουσιν αἶθ
οἶνον,
καὶ μετὰ φίλων ἑστιῶνται, πολὺ γ' οἶμαι προθ
τερον ἀπὸ τῶν ἀγώνων καὶ τῶν ἔργων, ὡς Ἀλέ
δρος καὶ Ἀγησίλαος, καὶ, νὴ Δία, Φωκίων καὶ Ἐ
μεινώνδας, ἢ καθάπερ οὗτοι πρὸς πῦρ ἀλεψάμε
καὶ τοῖς φορείοις ἀτρέμα διασεισθέντες· ἀλλὰ
ταφρονοῦσι τούτων ἐν ἐκείναις ταῖς μείζοσιν δ
τί γὰρ ἂν λέγοι τις Ἐπαμεινώνδαν, οὐκ ἐθελήσα
δειπνεῖν, ὡς ὥρα πολυτελέστερον τῆς οὐσίας τὸ
πνον; ἀλλ' εἰπόντα πρὸς τὸν φίλον· Ἐγώ σε ἐ
θύειν, οὐχ ὑβρίζειν. ὅπου καὶ Ἀλέξανδρος ἀπεκ
τῆς Ἄδας τοὺς μαγείρους, αὐτὸς εἰπὼν ἔχειν ἄμ
νας ὀψοποιούς, πρὸς μὲν ἄριστον τὴν νυκτοπο
πρὸς δὲ δεῖπνον τὴν ὀλιγαριστίαν· Φιλόξεν
γράψαντα περὶ παίδων καλῶν, εἰ πρωΐτατ,

ήσε τῆς ἐπιτροπῆς ἀποστῆναι· καίτοι τίνι μᾶλ-
ν ἐξῆν; ἀλλ', ὥσπερ φησὶν Ἱπποκράτης, δυοῖν
νων τὸν ἧττονα ὑπὸ τοῦ μείζονος ἀμαυροῦσθαι,
τὰ τῶν ἡδονῶν τὰς σωματικὰς αἱ πρακτικαὶ καὶ φι-
τιμοι τῷ χαίροντι τῆς ψυχῆς δι' ὑπερβολὴν καὶ
γεθος ἀναφανίζουσι καὶ κατασβεννύουσιν.

XVIII. Εἰ τοίνυν, ὥσπερ λέγουσι, τὸ μεμνῆσθαι
ν προτέρων ἀγαθῶν μέγιστόν ἐστι πρὸς τὸ ἡδέως
ν, Ἐπικούρῳ μὲν οὐδ' ἂν εἷς ἡμῶν πιστεύσειεν,
τι ταῖς μεγίσταις ἀλγηδόσι καὶ νόσοις ἐναποθνή-
κων, ἀντιπαρεπέμπετο τῇ μνήμῃ τῶν ἀπολελαυ-
μένων πρότερον ἡδονῶν. εἰκόνα γὰρ ὄψεως ἐν βυθῷ
υνταραχθέντι καὶ κλύδωνι μᾶλλον ἄν τις ἢ μνήμην
δονῆς διαμειδιῶσαν ἐν σφυγμῷ τοσούτῳ καὶ σπα-
σμῷ σώματος ἐπινοήσειε. τὰς δὲ τῶν πράξεων μνή-
ας οὐδεὶς ἂν οὐδὲ βουληθεὶς ἐκστήσειεν ἑαυτοῦ.
ότερον γὰρ ἢ πῶς οἷόν τ' ἦν ἐπιλαθέσθαι τῶν Ἀρ-
ήλων τὸν Ἀλέξανδρον, ἢ τοῦ Λεοντιάδου τὸν Πελο-
ίδαν, ἢ τῆς Σαλαμῖνος τὸν Θεμιστοκλέα; τὴν μὲν
ἀρ' ἐν Μαραθῶνι μαχην ἄχρι νῦν Ἀθηναῖοι καὶ τὴν
ν Λεύκτροις Θηβαῖοι, καὶ, νὴ Δία, ἡμεῖς τὴν Δαΐ-
άντου περὶ Τάμπολιν ἑορτάζομεν, ὡς ἴστε, καὶ
υσιῶν καὶ τιμῶν ἡ Φωκὶς ἐμπέπλησται· καὶ οὐ-
εἰς ἐστιν ἡμῶν, ἐφ' οἷς αὐτὸς βέβρωκεν ἢ πέπωκεν
ὕτως ἡδόμενος, ὡς ἐφ' οἷς ἐκεῖνοι κατώρθωσαν. ἐν-
οεῖν οὖν πάρεστι, πόση τις εὐφροσύνη καὶ χαρὰ
καὶ γηθοσύνη συνεβίωσεν αὐτοῖς τοῖς τούτων δη-
ιουργοῖς, ὧν ἐν ἔτεσι πεντακοσίοις καὶ πλείοσιν οὐκ
ποβέβληκεν ἡ μνήμη τὸ εὐφραῖνον. καὶ μὴν ἀπὸ

δόξης γινεσθαι τὰς ἡδονὰς Ἐπίκουρος ὁμολόγει. τί δ' οὐκ ἔμελλεν αὐτὸς οὕτως σπαργῶν περιμανῶς καὶ σφαδάζων πρὸς δόξαν, ὥστε μὴ μόνον ἀπολέγεσθαι τοὺς καθηγητὰς, μηδὲ Δημοκρίτῳ τῷ τὰ δόγματα ῥήμασιν αὐτοῖς ὑφαιρουμένῳ ζυγομαχεῖν περὶ συλλαβῶν καὶ κεραιῶν, σοφὸν δὲ μηδένα φάναι πλὴν αὐτοῦ γεγονέναι, ἐπὶ τῶν μαθητῶν· ἀλλὰ γράφειν, ὡς Κολώτης μὲν αὐτὸν φυσιολογοῦντα προσκυνήσειεν γονάτων ἁψάμενος· Νεοκλῆς δὲ ὁ ἀδελφὸς εὐθὺς ἐκ παίδων ἀποφαίνοιτο μηδένα σοφώτερον Ἐπικούρου γεγονέναι μηδ' εἶναι· ἡ δὲ μήτηρ ἀτόμους ἔσχεν ἐν αὐτῇ τοσαύτας, οἵαι συνελθοῦσαι σοφὸν ἂν ἐγέννησαν; εἶτ' οὐχ ὥσπερ Καλλικρατίδης ἔλεγε, τὸν Κόνωνα μοιχεύειν τὴν θάλατταν, οὕτως ἄν τις εἴποι, τὸν Ἐπίκουρον αἰσχρῶς καὶ κρύφα πειρᾶν καὶ παραβιάζεσθαι τὴν δόξαν, οὐ τυγχάνοντα φανερῶς ἀλλ' ἐρῶντα καὶ κατατεινόμενον; ὥσπερ γὰρ ὑπολιμοῦ τὰ σώματα τροφῆς μὴ παρούσης ἀναγκάζεται παρὰ φύσιν ὑφ' αὑτῶν τρέφεσθαι, τοιοῦτον ἡ φιλοδοξία ποιεῖ κακὸν ἐν ταῖς ψυχαῖς, ὅταν ἐπαίνου πεινῶντες παρ' ἑτέρου μὴ τυγχάνωσιν, αὐτοὺς ἐπαινεῖν.

XIX. Ἀλλ' οἵ γε πρὸς ἔπαινον καὶ δόξαν οὕτως ἔχοντες, ἆρ' οὐχ ὁμολογοῦσι, μεγάλας ἡδονὰς προῦεσθαι, δι' ἀσθένειαν ἢ μαλακίαν φεύγοντες ἀρχὰς, ἢ πολιτείας, καὶ φιλίας βασιλέων, ἀφ' ὧν τὰ μεγάλα καλὰ εἰς τὸν βίον γίνεσθαι ἔφη Δημόκριτος; οὐ γὰρ ἄν τινα πείσειεν ἀνθρώπων, ὅτι τὴν Νεοκλέους μαστυρίαν καὶ τὴν Κολώτου προσκύνησιν ἐν τοσούτου

λόγῳ τιθέμενος καὶ ἀγαπῶν, ὡς οὐκ ἄν, ὑπὸ τῶν Ἑλλήνων κροτηθεὶς Ὀλυμπιάσιν, ἐξεμάνη καὶ ἀνωλόλυξε, μᾶλλον δὲ ὅπως ὑπὸ χαρᾶς ᾖρθη, κατὰ τὸν Σοφοκλέα,

Γραίας ἀκάνθης πάππος ὣς φυσώμενος.

εἴ γε μὴν τὸ εὐδοξεῖν ἡδύ, τὸ ἀδοξεῖν δή που λυπηρόν· ἀδοξότερον δ' ἀφιλίας, ἀπραξίας, ἀθεότητος, ἡδυπαθείας, ὀλιγωρίας οὐθέν ἐστι. ταῦτα δὲ πάντες ἄνθρωποι, πλὴν αὐτῶν ἐκείνων, τῇ αἱρέσει προσεῖναι νομίζουσιν. ἀδίκως, φήσει τις; ἀλλὰ τὴν δόξαν, οὐ τὴν ἀλήθειαν, σκοποῦμεν. καὶ βιβλία μὲν μὴ λέγωμεν, μηδὲ ψηφίσματα βλάσφημα πόλεων, ὅσα γέγραπται πρὸς αὐτούς· φιλαπεχθήμον γάρ. εἰ δὲ χρησμοί, καὶ μαντικὴ, καὶ θεῶν πρόνοια, καὶ γονέων πρὸς ἔκγονα στοργὴ καὶ ἀγάπησις, καὶ πολιτεία, καὶ ἡγεμονία, καὶ τὸ ἄρχειν, ἔνδοξόν ἐστι καὶ εὐκλεές, οὕτως ἀνάγκη τοὺς λέγοντας, ὡς οὐ δεῖ σώζειν τοὺς Ἕλληνας, ἀλλ' ἐσθίειν καὶ πίνειν ἀβλαβῶς τῇ γαστρὶ καὶ κεχαρισμένως, ἀδοξεῖν καὶ κακοὺς νομίζεσθαι· νομιζομένους δὲ τοιούτους, ἀνεῖσθαι καὶ ζῆν ἀτερπῶς, εἴ γε δὴ τὸ καλὸν ἡδὺ καὶ τὴν εὐδοξίαν ἡγοῦνται.

XX. Ταῦτ' εἰπόντος τοῦ Θέωνος, ἐδόκει καταπαῦσαι τὸν περίπατον, καὶ, καθάπερ εἰώθειμεν, ἐπὶ τῶν βάθρων καθεζόμενοι, πρὸς τοῖς εἰρημένοις ἧμεν σιωπῇ χρόνον οὐ πολύν. ὁ γὰρ Ζεύξιππος ἀπὸ τῶν εἰρημένων ἐννοήσας· Τίς, ἔφη, τὰ λειπόμενα τῷ λόγῳ προσαποδίδωσι; καὶ γὰρ οὔπω προσῆκον ἔχει τέλος. αὐτός ἄρτι μαντικῆς μνησθεὶς, καὶ τι

νοίας ὑποβέβληκε· ταῦτα γὰρ οὐχ ἥκιστά φασιν οἱ ἄνδρες ἡδονὴν καὶ γαλήνην καὶ θάρσος αὐτοῖς παρασκευάζειν εἰς τὸν βίον· ὥστε δεῖ τι λεχθῆναι καὶ περὶ τούτων. ὑπολαβὼν δὲ ὁ Ἀριστόδημος· Ἀλλὰ περὶ ἡδονῆς μὲν εἴρηται σχεδὸν, εἶπεν, ὡς εὐτυχῶν καὶ κατορθῶν ὁ λόγος αὐτῶν φόβον ἀφαιρεῖ τινα καὶ δεισιδαιμονίαν, εὐφροσύνην δὲ καὶ χαρὰν ἐκ τῶν θεῶν οὐκ ἐνδίδωσιν· ἀλλ' οὕτως ἔχειν ποιεῖ πρὸς αὐτοὺς τῷ μὴ ταράττεσθαι μηδὲ χαίρειν, ὡς πρὸς τοὺς Τρικανοὺς ἢ Σκύθας ἔχομεν, οὔτε χρησίν οὐδὲν οὔτε φαῦλον ἀπ' αὐτῶν προσδοκῶντες. εἰ δὲ δεῖ προσθεῖναί τι τοῖς εἰρημένοις, ἐκεῖνό μοι δοκεῖ λήψεσθαι παρ' αὐτῶν πρῶτον, ὅτι τοῖς ἀναιρουμένοις λύπας καὶ δάκρυα καὶ στεναγμοὺς ἐπὶ ταῖς τῶν φίλων τελευταῖς, μάχονται, καὶ λέγουσι, τὴν εἰς τὸ ἀπαθὲς καθεστῶσαν ἀλυπίαν ὑφ' ἑτέρου κακοῦ μείζονος ὑπάρχειν, ὠμότητος ἢ δοξοκοπίας ἀκράτευτοι λύσσης· διὸ πάσχειν τι βέλτιον εἶναι, καὶ λυπᾶσθαι, καὶ, νὴ Δία, λιπαίνειν τοὺς ὀφθαλμοὺς καὶ τήκεσθαι· καὶ ὅσα δὴ παθαινόμενοι καὶ γράφοντες, ὑγροί τινες εἶναι καὶ φιλικοὶ δοκοῦσι. ταῦτα γὰρ ἐν ἄλλοις τε πολλοῖς Ἐπίκουρος εἴρηκε, καὶ περὶ τῆς Ἡγησιάνακτος τελευτῆς, πρὸς Δοσίθεον γράφων τὸν πατέρα, καὶ Πύρσωνα τὸν ἀδελφὸν τοῦ τεθνηκότος. ἔναγχος γὰρ κατὰ τύχην τὰς ἐπιστολὰς διῆλθον αὐτοῦ. καὶ λέγω μιμούμενος, ὡς οὐχ ἥττόν ἐστι κακὸν ἀθεότης ὠμότητος καὶ δοξοκοπίας, εἰς ἣν ἔργουσιν ἡμᾶς οἱ τὴν χαρὰν ἐκ τοῦ θεοῦ μετὰ τῆς ὀργῆς ἀναιροῦντες. βέλτιον γὰρ, ἐνυπάρχειν τι καὶ

συγκεκρᾶσθαι τῇ περὶ θεῶν δόξῃ κοινὸν αἰδοῦς καὶ φόβου πάθος, ἢ που τοῦτο φεύγοντας, μήτ' ἐλπίδα, μήτε χάριν ἑαυτοῖς, μήτε θάρσος ἀγαθῶν παρόντων, μήτε τινὰ δυστυχοῦσιν ἀποστροφὴν πρὸς τὸ θεῖον ἀπολείπεσθαι.

XXI. Δεῖ μὲν γὰρ ἀμέλει τῆς περὶ θεῶν δόξης, ὥσπερ ὄψεως λήμην, ἀφαιρεῖν τὴν δεισιδαιμονίαν· εἰ δὲ τοῦτο ἀδύνατον, μὴ συνεκπόπτειν, μηδὲ τυφλοῦν τὴν πίστιν, ἣν οἱ πλεῖστοι περὶ θεῶν ἔχουσι. αὕτη δέ ἐστιν οὐ φοβερά τις, οὐδὲ σκυθρωπή, καθάπερ οὗτοι πλάττουσι, διαβάλλοντες τὴν πρόνοιαν, ὥσπερ παισὶν ἐμπίπτουσαν, ἢ ποινὴν ἀλιτηριώδη καὶ τραγικὴν ἐπιγεγραμμένην. ἀλλ' ὀλίγοι μὲν τῶν ἀνθρώπων δεδίασι τὸν θεόν, οἷς οὐκ ἄμεινον μὴ δεδιέναι· δεδιότες γὰρ ὥσπερ ἄρχοντα χρηστοῖς ἥπιον, ἀπέχθη δὲ φαύλοις, ἐνὶ φόβῳ, δι' ὃν οὐ δέουσι πολλῶν, ἐλευθερούντων ἐπὶ τὸ ἀδικεῖν, καὶ παρ' αὑτοῖς ἄτρεμα τὴν κακίαν ἔχοντες οἷον ἀπομαραινομένην, ἧττον ταράττονται τῶν χρωμένων αὐτῇ καὶ τολμώντων, εἶτ' εὐθὺς δεδιότων καὶ μεταμελομένων. ἡ δὲ τῶν πολλῶν καὶ ἀμαθῶν οὐ πάνυ μοχθηρῶν διάθεσις πρὸς τὸν θεὸν ἔχει μὲν ἀμέλει τῷ σεβομένῳ καὶ τιμῶντι μεμιγμένον τινὰ σφυγμὸν καὶ φόβον, ἢ καὶ δεισιδαιμονία κέκληται· μυριάκις δὲ μεῖζόν ἐστι καὶ πλέον αὐτῇ τὸ εὔελπι καὶ περιχαρὲς, καὶ πᾶσαν εὐπραξίας ὄνησιν, ὡς ἐκ θεῶν οὖσαν, εὐχόμενον καὶ δεχόμενον. δῆλον δὲ τεκμηρίοις τοῖς μεγίστοις· οὔτε γὰρ διατριβαὶ τῶν ἐν ἱεροῖς, οὔτε καιροὶ τῶν ἑορτασμῶν, οὔτε πράξεις οὔτ' ὄψεις εὐφραίνουσιν ἕτε-

καὶ κατορθῶν ὁ λόγος αὐτῶν φόβον ἀφαιρε
καὶ δεισιδαιμονίαν, εὐφροσύνην δὲ καὶ χαρ
τῶν θεῶν οὐκ ἐνδίδωσιν· ἀλλ' οὕτως ἔχειν
πρὸς αὐτοὺς τῷ μὴ ταράττεσθαι μηδὲ χαίρει
πρὸς τοὺς Τρκανοὺς ἢ Σκύθας ἔχομεν, οὔτε χ
οὐθὲν οὔτε φαῦλον ἀπ' αὐτῶν προσδοκῶντες.
δεῖ προσθεῖναί τι τοῖς εἰρημένοις, ἐκεῖνό μο
λήψεσθαι παρ' αὐτῶν πρῶτον, ὅτι τοῖς ἄνα
λύπας καὶ δάκρυα καὶ στεναγμοὺς ἐπὶ ταῖς τ
λων τελευταῖς, μάχονται, καὶ λέγουσι, τὴν
ἀπαθὲς καθεστῶσαν ἄλυπίαν ὑφ' ἑτέρου κακο
ζονος ὑπάρχειν, ὠμότητος ἢ δοξοκοπίας ἀκράτ
λύσσης· διὸ πάσχειν τι βέλτιον εἶναι, καὶ
σθαι, καὶ, νὴ Δία, λιπαίνειν τοὺς ὀφθαλμο
τήκεσθαι· καὶ ὅσα δὴ παθαινόμενοι καὶ γ
τες, ὑγροί τινες εἶναι καὶ φιλικοὶ δοκοῦσι.
γὰρ ἐν ἄλλοις τε πολλοῖς Ἐπίκουρος εἴρηκε, κ
τῆς Ἡγησιάνακτος τελευτῆς, πρὸς Δουίθεον γ
τὸν πατέρα, καὶ Πύρσωνα τὸν ἀδελφὸν τοῦ
κότος. ἔναγχος γὰρ κακὰ τύχην τὰς ἐπιστολὰ
θον αὐτοῦ. καὶ λέγω μιμούμενος, ὡς οὐχ ἧττ
κακὸν ἀθεότης ὠμότητος καὶ δοξοκοπίας, εἰς
γουσιν ἡμᾶς οἱ τὴν χαρὰν ἐκ τοῦ θεοῦ μετὰ τ
γῆς ἀναιροῦντες. βέλτιον γὰρ, ἐνυπάρχειν

συγκεκρᾶσθαι τῇ περὶ θεῶν δόξῃ κοινὸν αἰδοῦς καὶ φόβου πάθος, ἢ που τοῦτο φεύγοντας, μήτ' ἐλπίδα, μήτε χάριν ἑαυτοῖς, μήτε θάρσος ἀγαθῶν παρόντων, μήτε τινὰ δυστυχοῦσιν ἀποστροφὴν πρὸς τὸ θεῖον ἀπολείπεσθαι.

XXI. Δεῖ μὲν γὰρ ἀμέλει τῆς περὶ θεῶν δόξης, ὥσπερ ὄψεως λήμην, ἀφαιρεῖν τὴν δεισιδαιμονίαν· εἰ δὲ τοῦτο ἀδύνατον, μὴ συνεκκόπτειν, μηδὲ τυφλοῦν τὴν πίστιν, ἣν οἱ πλεῖστοι περὶ θεῶν ἔχουσι. αὕτη δέ ἐστιν οὐ φοβερά τις, οὐδὲ σκυθρωπή, καθάπερ οὗτοι πλάττουσι, διαβάλλοντες τὴν πρόνοιαν, ὥσπερ παισὶν ἐμπίπτουσαν, ἢ ποινὴν ἀλιτηριώδη καὶ τραγικὴν ἐπιγεγραμμένην. ἀλλ' ὀλίγοι μὲν τῶν ἀνθρώπων δεδίασι τὸν θεόν, οἷς οὐκ ἄμεινον μὴ δεδιέναι· δεδιότες γὰρ ὥσπερ ἄρχοντα χρηστοῖς ἥπιον, ἀπαχθῆ δὲ φαύλοις, ἐνὶ φόβῳ, δι' ὃν οὐ δέουσι πολλῶν, ἐλευθεροῦντων ἐπὶ τὸ ἀδικεῖν, καὶ παρ' αὑτοῖς ἄτρεμα τὴν κακίαν ἔχοντες οἷον ἀπομαραινομένην, ἧττον ταράττονται τῶν χρωμένων αὐτῇ καὶ τολμώντων, εἶτ' εὐθὺς δεδιότων καὶ μεταμελομένων. ἡ δὲ τῶν πολλῶν καὶ ἀμαθῶν οὐ πάνυ μοχθηρῶν διάθεσις πρὸς τὸν θεὸν ἔχει μὲν ἀμέλει τῷ σεβομένῳ καὶ τιμῶντι μεμιγμένον τινὰ σφυγμὸν καὶ φόβον, ἢ καὶ δεισιδαιμονία κέκληται· μυριάκις δὲ μεῖζόν ἐστι καὶ πλέον αὐτῇ τὸ εὔελπι καὶ περιχαρές, καὶ πᾶσαν εὐπραξίας ὄγκησιν, ὡς ἐκ θεῶν οὖσαν, εὐχόμενον καὶ δεχόμενον. δῆλον δὲ τεκμηρίοις τοῖς μεγίστοις· οὔτε γὰρ διατριβαὶ τῶν ἐν ἱεροῖς, οὔτε καιροὶ τῶν ἑορτασμῶν, οὔτε πράξεις οὔτ' ὄψεις εὐφραίνουσιν ἕτε-

ραι μᾶλλον, ὧν δρῶμεν ἢ δρῶμεν αὐτοὶ περὶ θεῶν, ὀργιάζοντες, ἢ χορεύοντες, ἢ θυσίαις παρόντες, ἢ τελεταῖς. οὐ γὰρ ὡς τυράννοις τισὶν ἢ δεινοῖς κολασταῖς ὁμιλοῦσα τηνικαῦτα ἡ ψυχὴ περίλυπός ἐστι καὶ ταπεινὴ καὶ δύσθυμος, ὅπερ εἰκὸς ἦν· ἀλλ' ὅπου μάλιστα δοξάζει καὶ διανοεῖται παρεῖναι τὸν θεόν, ἐκεῖ μάλιστα λύπας καὶ φόβους καὶ τὸ φροντίζειν ἀπωσαμένη, τῷ ἡδομένῳ μέχρι μέθης καὶ παιδιᾶς καὶ γέλωτος ἀφῆσαιν ἑαυτήν. ἐν τοῖς ἐρωτικοῖς, ὡς ὁ ποιητὴς εἴρηκε·

Καί τε γέρων καὶ γρηῢς, ἐπὴν χρυσῆς Ἀφροδίτης
Μνήσωνται, καὶ τοῖσιν ἐπηέρθη φίλον ἦτορ.

ἐν δὲ πομπαῖς καὶ θυσίαις οὐ μόνον γέρων καὶ γρηῢς, οὐδὲ πένης καὶ ἰδιώτης, ἀλλὰ καὶ

Παχυσκελὴς ἀλετρὶς πρὸς μύλην κινουμένη,

καὶ οἰκότριβες καὶ θῆτες ὑπὸ γήθους καὶ χαρμοσύνης ἀναφέρονται. πλουσίοις τε καὶ βασιλεῦσιν ἑστιάσεις καὶ πανδαισίαι τινὲς πάρεισιν. αἱ δ' ἐφ' ἱεροῖς καὶ θυηπολίαις, καὶ ὅταν ἔγγιστα τοῦ θείου τῇ ἐπινοίᾳ ψαύειν δοκῶσι, μετὰ τιμῆς καὶ σεβασμοῦ πολὺ διαφέρουσαν ἡδονὴν καὶ χάριν ἔχουσιν. ταύτης οὐδὲν ἀνδρὶ μέτεστιν ἀπεγνωκότι τῆς προνοίας. οὐ γὰρ οἴνου πλῆθος, οὐδ' ὄπτησις κρεῶν τὸ εὐφραῖνόν ἐστιν ἐν ταῖς ἑορταῖς, ἀλλὰ καὶ ἐλπὶς ἀγαθὴ καὶ δόξα τοῦ παρεῖναι τὸν θεὸν εὐμενῆ, καὶ δέχεσθαι τὰ γινόμενα κεχαρισμένως. αὐλὸν μὲν γὰρ ἑτέρων ἑορτῶν καὶ στέφανον ἀφαιροῦμεν, θεοῦ δὲ θυσίᾳ μὴ παρόντος, ὥσπερ ἱερὸν δοχῆς, ἄθεόν ἐστι καὶ ἀνεόρταστον καὶ ἀνεθουσίαστον τὸ λειπόμενον.

μᾶλλον δὲ ὅλον ἀτερπὲς αὐτῷ καὶ λυπηρόν· ὑποκρίνεται γὰρ εὐχὰς καὶ προσκυνήσεις, οὐθὲν δεόμενος, διὰ φόβον τῶν πολλῶν, καὶ φθέγγεται φωνὰς ἐναντίας, οἷς φιλοσοφεῖ· καὶ θύων μὲν ὡς μαγείρῳ παρέστηκε τῷ ἱερεῖ σφάττοντι, θύσας δὲ, ἄπεισι λέγων τὸ Μενάνδρειον,

Ἔθυον οὐ προσέχουσιν οὐδέν μοι θεοῖς·

οὕτω γὰρ Ἐπίκουρος οἴεται δεῖν σχηματίζεσθαι, καὶ μὴ φθονεῖν μηδ' ἀπεχθάνεσθαι τοῖς πολλοῖς, οἷς χαίρουσιν ἕτεροι πράττοντες, αὐτοὶ δυσχεραίνοντες·

Πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιηρὸν ἔφυ,

κατὰ τὸν Εὔηνον. ἢ καὶ τοὺς δεισιδαίμονας οὐ χαίροντας, ἀλλὰ φοβουμένους οἴονται θυσίαις καὶ τελεταῖς ὁμιλεῖν, μηθὲν ἐκείνων αὐτοὶ διαφέροντες, εἴτε διὰ φόβον τὰ αὐτὰ δρῶσιν, οὐδ' ἐλπίδος χρηστῆς, ὅσον ἐκεῖνοι, μεταλαγχάνοντες, ἀλλὰ μόνον δεδιότες καὶ ταραττόμενοι, μὴ φανεροὶ γένωνται τοὺς πολλοὺς παραλογιζόμενοι· καὶ φενακίζοντες· ἐφ' οὓς καὶ τὰ περὶ θεῶν καὶ θειότητος αὐτοῖς βιβλία συντέτακται,

Ἕλικτά καὶ οὐδὲν ὑγιές, ἀλλὰ πᾶν πέρ-ξ

ἐπαμπεχομένοις, καὶ ἀποκρυπτομένοις διὰ φόβον ἃς ἔχουσι δόξας.

XXII. Καὶ μὴν μετά γε τοὺς πονηροὺς καὶ τοὺς πολλοὺς τρίτον ἤδη σκεψώμεθα, τὸ βέλτιον ἀνθρώπων καὶ θεοφιλέστατον γένος, ἐν ἡλίκαις ἡδοναῖς καθαραῖς περὶ θεοῦ δόξης συνόντες, ὡς πάντων μὲν ἡγεμὼν ἀγαθῶν, πάντων δὲ πατὴρ καλῶν ἐκεῖνός ἐστι, καὶ φαῦλον οὐδὲν ποιεῖν αὐτῷ θέμις, ὥσπερ

οὐδὲ πάσχειν. ἀγαθὸς γάρ ἐστιν, ἀγαθῷ δὲ περὶ οὐδενὸς ἐγγίνεται φθόνος, οὔτε φάβος, οὔτ' ὀργὴ, ἢ μῖσος· οὔτε γὰρ θερμοῦ τὸ ψύχειν, ἀλλὰ τὸ θερμαίνειν, ὥσπερ οὐδ' ἀγαθοῦ τὸ βλάπτειν· ὀργὴ δὲ χάριτος, καὶ χόλος εὐμενείας, καὶ ποῦ φιλανθρώπου καὶ φιλόφρονος τὸ δυσμενὲς καὶ ταραπτικόν, ἐπιτάτου τῇ φύσει τέτακται· τὰ μὲν γὰρ ἀρετῆς καὶ δυνάμεως, τὰ δ' ἀσθενείας ἐστὶ καὶ φαυλότητος· οὐ τοίνυν ὀργαῖς καὶ χάρισι συνέχεται τὸ Θεῖον, ἀλλ' ὅτι μὲν χαρίζεσθαι καὶ βοηθεῖν πέφυκεν, ἀρμόττεσθαι δὲ καὶ κακῶς ποιεῖν οὐ πέφυκεν· ἀλλὰ ὁ μὲν μέγας ἐν οὐρανῷ Ζεὺς ἀτηρὸν ἅρμα ἐλαύνων, πάντα πρῶτος πορεύεται, διακοσμῶν πάντα καὶ ἐπιμελούμενος· τῶν δ' ἄλλων θεῶν ὁ μὲν ἐστιν Ἐπιδότης ὁ δὲ Μειλίχιος, ὁ δ' Ἀλεξίκακος· ὁ δ' Ἀπόλλων

Κατεκρίθη θνατοῖς ἀγανώτατος ἔμμεν,

ὡς ὁ Πίνδαρος φησί. πάντα δὲ τῶν θεῶν, κατὰ τὸν Διογένην, καὶ κοινὰ τὰ τῶν φίλων, καὶ φίλια τοῖς θεοῖς οἱ ἀγαθοί· καὶ τὸν θεοφιλῆ μὴ τι δεῖ πράττειν, ἢ θεοφιλῆ εἶναι τὸν σώφρονα καὶ δίκαιον, ἀδύνατόν ἐστιν. ἔρα γε δίκης ἑτέρας οἴεσθε δεῖσθαι τοὺς ἀναιροῦντας τὴν πρόνοιαν, καὶ οὐχ ἱκανὴν ἔχειν, ἐκκόπτοντας ἑαυτῶν ἡδονὴν καὶ χαρὰν τοσαύτην, ὅση πάρεστι τοῖς οὕτω διακειμένοις πρὸς τὸ δαιμόνιον ἡμῖν; τῷ μὲν Ἐπικούρῳ καὶ Μητρόδωρος καὶ Πολύαινος καὶ Ἀριστόβουλος ἐκθάρσημα καὶ γῆθος ἦσαν, ὧν τοὺς πλείστους θεραπεύων νοσοῦντας, ἢ καταθρηνῶν ἀποθνήσκοντας διετέλεσε· Ἀνυσώχην δὲ ὑπὸ τῆς Πυθίας προσαγορευθεὶς

ζηνὶ φίλος καὶ πᾶσιν ὀλύμπια δώματ' ἔχουσι·
Σωκράτης οἰόμενος αὐτῷ τὸ δαιμόνιον διαλέγε-
ις ὑπ' εὐμενείας, καὶ Πίνδαρος ἀκούων ὑπὸ τοῦ
νὸς ἄδεσθαί τι μέλος, ὧν αὐτὸς ἐποίησε, μετρίως
ρεν; ἢ Φορμίων τοὺς Διοσκούρους, ἢ τὸν Ἀσκλη-
ν Σοφοκλῆς ξενίζειν, αὐτός τε πειθόμενος, καὶ
ἄλλων οὕτως ἐχόντων διὰ τὴν γενομένην ἐπιφά-
ν; ἃ δὲ Ἑρμογένης ἐφρόνει περὶ τῶν θεῶν, ἃ-
ἐστιν αὐτοῖς ὀνόμασι διαμνημονεύειν· Οὗτοι
, φησὶν, οἱ πάντα μὲν εἰδότες, πάντα δὲ δυνάμε-
θεοὶ, οὕτω μοι φίλοι εἰσὶν, ὡς διὰ τὸ ἐπιμελεῖ-
ἐ μου, οὔποτε λήθω αὐτοὺς οὔτε νυκτὸς οὔτε
ρας, ὅποι ἂν ὁρμῶμαι, οὔτε ὅ τι ἂν μέλλω πρά-
· διὰ δὲ τὸ προειδέναι καὶ ὅ τι ἑξ ἑκάστου ἀπο-
εται, σημαίνουσι, πέμποντες ἀγγέλους, φήμας,
ἐνύπνια, καὶ οἰωνούς.

XXIII. *Καλὰ μὲν οὖν εἰκὸς εἶναι καὶ τὰ γινό-
α παρὰ τῶν θεῶν· τὸ δὲ γίνεσθαι διὰ τῶν θεῶν
τα αὐτά, μεγάλην ἡδονὴν ποιεῖ, καὶ θάρσος ἀ-
ανον, καὶ φρόνημα καὶ χαράν, οἷον αὐτὴν ἐπιγε-
αν τοῖς ἀγαθοῖς. οἱ δ' ἄλλως ἔχοντες, τῆς μὲν
υχίας τὸ ἥδιστον κωλύουσι, ταῖς δὲ δυστυχίαις
ιστροφὴν οὐκ ἀπολείπουσιν, ἀλλ' εἰς μίαν κατα-
ὴν καὶ λιμένα, πράττοντες κακῶς, τὴν διάλυσιν
τὴν ἀναισθησίαν ἀποβλέπουσιν. ὥσπερ εἴ τις
τελάγει καὶ χειμῶνι θαῤῥύνων, ἐπιστὰς λέγοι,
ε τὴν ναῦν τινὰ ἔχειν κυβερνήτην, μήτε τοὺς
κούρους αὐτοὺς ἀφίξεσθαι ἐπερχόμενόν τε μα-
τας βίαιον πόντον, ὠκείας τε ἀνέμων ῥιπάς·*

οὐδὲν δὲ ὅμως εἶναι δεινόν, ἀλλ' ὅσον οὐδέπω καταποθήσεσθαι τὴν ναῦν ὑπὸ τῆς θαλάττης, ἢ συντριβήσεσθαι ταχὺ πρὸς πέτρας ἐκπεσοῦσαν. οὗτος γάρ ἐστιν ὁ Ἐπικούρειος λόγος ἐν νόσοις δειναῖς καὶ πόνοις ὑπερβάλλουσιν· ἐλπίζεις τι χρηστὸν παρὰ θεῶν δι' εὐσέβειαν; τετύφωσαι· τὸ γὰρ μακάριον καὶ ἄφθαρτον οὔτ' ὀργαῖς οὔτε χάρισι συνέχεται. βέλτιόν τι τῶν ἐν τῷ βίῳ μετὰ τὸν βίον ἐπινοεῖς; ἐξηπάτησαι· τὸ γὰρ λυθὲν ἀναισθητεῖ· τὸ δ' ἀναισθητοῦν οὐδὲν πρὸς ἡμᾶς. πῶς οὖν, ἄνθρωπε, φαγεῖν με καὶ χαίρειν κελεύεις; ὅτι νὴ Δία, χειμαζομένῳ τὸ ναυάγιον ἐγγύς ἐστιν· ὁ γὰρ πόνος ὁ ὑπερβάλλων συνάψει θανάτῳ. καίτοι νεὼς μὲν ἐκπεσὼν ἐπιβάτης διαλυθείσης ἐλπίδος ὀχεῖται τινός, ὡς γῇ προσέξων τὸ σῶμα καὶ διανηξόμενος· τῆς δὲ τούτων φιλοσοφίας

Ἔκβασις οὔπη φαίνεθ' ἁλὸς πολιοῖο θύραζε

τῇ ψυχῇ, ἀλλ' εὐθὺς ἠφάνισται καὶ διέσπαρται, καὶ προαπόλωλε τοῦ σώματος· ὥστε ὑπερχαίρειν τὸ πάνσοφον τοῦτο δόγμα καὶ θεῖον παραλαβοῦσαν, ὅτι τοῦ κακῶς πράττειν πέρας ἐστὶν αὐτῇ τὸ ἀπολέσθαι καὶ φθαρῆναι καὶ μηδὲν εἶναι.

XXIV. Ἀλλὰ γάρ, ἔφη πρὸς ἐμὲ βλέψας, εὐηθές ἐστι περὶ τούτου λέγειν ἡμᾶς, οὐ πρώην ἀκηκοότας ἱκανῶς διαλεγομένου πρὸς τοὺς ἀξιοῦντας τὸν Ἐπικούρου λόγον τοῦ Πλάτωνος περὶ ψυχῆς φρόνους καὶ ἡδίους πρὸς θάνατον ἡμᾶς ποιεῖν· ὑπολαβὼν οὖν ὁ Ζεύξιππος· Εἶτα οὗτος, ἔφη, δι' ἐκεῖνον ἀτελὴς ὁ λόγος ἔσται, καὶ φοβηθησόμεθα τὸ λε-

γεον πρὸς Ἐπίκουρον λέγοντες; Ἥκιστα, ἔφην ἐγώ, καὶ

Λεῖ παρ' ὃ δὴ καλόν ἐστιν ἀκοῦσαι,

κατὰ τὸν Ἐμπεδοκλέα. πάλιν οὖν ὁ Θέων ἡμῖν παρακλητέος· οὐ γὰρ αὐτὸν οἶμαι παρεῖναι τοῖς τότε λεχθεῖσιν· ἀλλὰ καὶ νέος ἐστὶ, καὶ οὐ δέδιε, μὴ λήθης εὐθύνας ὑπόσχῃ τοῖς νέοις.

XXV. Καὶ ὁ Θέων, ὥσπερ ἐκβιασθείς· Ἀλλ' εἰ δοκεῖ ταῦτα, ἔφη, ποιεῖν, οὐ μιμήσομαί σε, ὦ Ἀριστόδημε· οὐ μὲν γὰρ ἐφοβήθης τὰ τούτου λέγειν· ἐγὼ δὲ χρήσομαι τοῖς σοῖς. ὀρθῶς γάρ μοι διαιρεῖν ἔδοξας εἰς τρία γένη τοὺς ἀνθρώπους. τὸ τῶν ἀδίκων καὶ πονηρῶν· δεύτερον δέ, τὸ τῶν πολλῶν καὶ ἰδιωτῶν· τρίτον δὲ, τὸ τῶν ἐπιεικῶν καὶ νοῦν ἐχόντων. οἱ μὲν οὖν ἄδικοι καὶ πονηροὶ τὰς καθ' ᾅδου δίκας καὶ τιμωρίας δεδιότες, καὶ φοβούμενοι κακουργεῖν, καὶ διὰ τοῦτο μᾶλλον ἡσυχίαν ἄγοντες, ἥδιον βιώσονται καὶ ἀταρακτότερον. οὐ γὰρ Ἐπίκουρος ἄλλῳ τινὶ τῆς ἀδικίας οἴεται δεῖν ἀπείργειν ἢ φόβῳ κολάσεων. ὥστε καὶ προσεμφορητέον ἐκείνοις τῆς δεισιδαιμονίας, καὶ κινητέον ἐπ' αὐτοὺς ἅμα τὰ ἐξ οὐρανοῦ καὶ γῆς δείματα, καὶ χάσματα, καὶ φόβους, καὶ ὑπονοίας, εἰ μέλλουσιν ἐκπλαγέντες ὑπὸ τούτων, ἐπιεικέστερον ἔχειν καὶ πραότερον. λυσιτελεῖ γὰρ αὐτοῖς τὰ μετὰ τὸν θάνατον φοβουμένοις μὴ ἀδικεῖν, ἢ ἀδικοῦσιν, ἐπισφαλῶς ἐν τῷ βίῳ διάγειν καὶ περιφόβως.

XXVI. Τοῖς δὲ πολλοῖς καὶ ἄνευ φόβου περὶ τῶν ἐν ᾅδου ἢ περὶ τὸ μυθῶδες τῆς ἀϊδιότητος ἐλπὶς,

καὶ ὁ πόθος τοῦ εἶναι, πάντων ἡρώτων πρεσβύτατος ὢν καὶ μέγιστος, ἡδονῆς ὑπερβάλλει καὶ γλυκυθυμίας τὸ παιδικὸν ἐκεῖνο δέος. ᾗ καὶ τέκνα καὶ γυναῖκας καὶ φίλους ἀποβάλλοντες, εἶναί που μᾶλλον ἐθέλουσι καὶ διαμένειν κακοπαθοῦντες, ἢ παντάπασιν ἐξῃρῆσθαι καὶ διεφθάρθαι καὶ γεγονέναι τὸ μηδέν· ἡδέως δὲ τῶν ὀνομάτων τοῦ μεθίστασθαι τὸν θνήσκοντα καὶ μεταλλάττειν, καὶ ὅσα δηλοῖ μεταβολὴν ὄντα τῆς ψυχῆς, οὐ φθορὰν, τὸν θάνατον, ἀκροῶνται, καὶ λέγουσιν οὕτως·

Αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ' ἑταίρου.
καί·
Τί σοι πρὸς Ἕκτορ', ἢ γέροντ' εἶπω πόσιν;
ἐκ δὲ τούτου παρατροπῆς γενομένης, καὶ ὅπλα καὶ σκεύη καὶ ἱμάτια συνήθη τοῖς τεθνηκόσι, καὶ ὡς ὁ Μίνως τῷ Γλαύκῳ
— *Κρητικοὺς*
Αὐλοὺς θανούσης κῶλα ποικίλης νεβροῦ
συνθάπτοντες, ἥδιον ἔχουσι. κἄν τι δόξωσιν αἰτίων καὶ ποθεῖν ἐκείνους, χαίρουσιν ἐπιδιδόντες· ὥσπερ ὁ Περίανδρος τῇ γυναικὶ τὸν κόσμον, ὡς δεομένῃ καὶ ῥιγοῦν λεγούσῃ, συγκατέκαυσεν. οἱ δ' Αἰακοὶ καὶ Ἀσκάλαφοι καὶ Ἀχέροντες οὐ πάνυ διαταράττουσιν, οἷς γε καὶ χορούς καὶ θέατρα καὶ μοῦσαν ἡδομένοις παντοδαπὴν γενομένου διδώκασιν. ἀλλ' ἐκεῖνο τοῦ θανάτου τὸ πρόσωπον, ὡς φοβερὸν καὶ σκυθρωπὸν καὶ σκοτεινὸν ἅπαντες ὑποδειμαίνουσι, τὸ τῆς ἀναισθησίας καὶ λήθης καὶ ἀγναίας· καὶ πρὸς τὸ ἀπόλωλε, καὶ τὸ ἀνήρηται, καὶ τὸ οὐκ ἔστι,

ταράσσονται· καὶ δυσανασχετοῦσι τούτων λεγομένων, τό,

Ἐπιτακήσεται βαθυδένδρῳ ἐν χθονὶ
Συμποσίων τε καὶ λυρᾶν ἄμοιρος,
Ἰαχᾶς τε παντερπέος αὐλῶν.

καί·

Ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν, οὔτε λεϊστὴ,
Οὔθ' ἑλετὴ, ἐπεὶ ἄρ κεν ἁμείψεται ἕρκος ὀδόντων.

XXVII. Ἢ καὶ προσεπισφάττουσιν οἱ ταυτὶ λέγοντες. Ἅπαξ ἄνθρωποι γεγόναμεν, δὶς δὲ οὐκ ἔστι γενέσθαι. δεῖ δὲ τὸν αἰῶνα μηκέτ' εἶναι. καὶ γὰρ τὸ παρὸν, ὡς μικρὸν, μᾶλλον δὲ μηδοτιοῦν πρὸς τὸ σύμπαν ἀτιμήσαντες ἀναπόλαυστα προΐενται, καὶ ὀλιγωροῦσιν ἀρετῆς καὶ πράξεως, οἷον ἐξαθυμοῦντες, καὶ καταφρονοῦντες ἑαυτῶν, ὡς ἐφημέρων καὶ ἀβεβαίων καὶ πρὸς οὐδὲν ἀξιόλογον γεγονότων. τὸ γὰρ ἀναίσθητον καὶ λυθὲν καὶ μηδὲν εἶναι πρὸς ἡμᾶς τὸ ἀναισθητοῦν, οὐκ ἀναιρεῖ τὸ τοῦ θανάτου δέος, ἀλλ' ὥσπερ ἀπόδειξιν αὐτοῦ προστίθησιν· αὐτὸ γὰρ τοῦτό ἐστιν, ὃ δέδοικεν ἡ φύσις.

Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε· τὴν εἰς τὸ μὴ φρονοῦν μηδ' αἰσθανόμενον διάλυσιν τῆς ψυχῆς· ἣν Ἐπίκουρος εἰς κενὸν καὶ ἀτόμους διασπορὰν ποιῶν, ἔτι μᾶλλον ἐκκόπτει τὴν ἐλπίδα τῆς ἀφθαρσίας· δι' ἣν ὀλίγου δέω λέγειν πάντας εἶναι καὶ πάσας προθύμους τῷ Κερβέρῳ διαδάκνεσθαι, καὶ φορεῖν εἰς τὸν ἄτρητον, ὅπως ἐν τῷ εἶναι μόνον διαμένωσι, μηδ' ἀναιρεθῶσι. καίτοι ταῦτα μὲν, ὥσπερ ἔφην, οὐ πάνυ πολλοὶ δεδίασι, μητέρων ὄντα

καὶ τιτθῶν δόγματα, καὶ λόγους μυθώδεις. οἱ δὲ καὶ δεδιότες, τελετάς τινας αὖ πάλιν καὶ καθαρμοὺς οἴονται βοηθεῖν, οἷς ἁγνισάμενοι διατελῶν ἡδου παίζοντες καὶ χορεύοντες ἐν τοῖς αὐχὴν καὶ πνεῦμα καθαρὸν καὶ φθόγγον ἔχουσιν. ἡ δὲ τοῦ ζῆν στέρησις ἐνοχλεῖ καὶ νέους καὶ γέροντας·

Δυσέρωτες γὰρ φαινόμεθ' ὄντες
Τοῦδε, ὅτι τόδε στίλβει κατὰ γῆν,
ὡς Εὐριπίδης φησίν· νῦδὲ ῥᾳδίως οὐδ' ἀλύπως ἀκούομεν.

Ὡς ἄρα εἰπόντα μιν τηλαυγὲς ἄμβροσιον
Ἑλασίππου πρὸς τόπον ἀπέλιπεν ἁμέρας.

XXVIII. *Διὸ τῇ δόξῃ τῆς ἀθανασίας συναναιροῦσι τὰς ἡδίστας ἐλπίδας καὶ μεγίστας τῶν πολίτῶν. τί δῆτα τῶν ἀγαθῶν οἰόμεθα καὶ βεβιωκότων ὁσίως καὶ δικαίως, κακὸν μὲν οὐθὲν ἐκεῖ, τὰ δὲ κάλλιστα καὶ θειότατα προσδοκῶσι; πρῶτον μὲν γὰρ ἆθλα ταὶ στέφανον οὐκ ἀγωνιζόμενοι λαμβάνουσιν, ἀλλ' ἀγωνισάμενοι καὶ νικήσαντες· οὕτως ἡγούμενοι τοῖς ἀγαθοῖς τὰ νικητήρια τοῦ βίου μετὰ τὸν βίον ὑπάρχειν, θαυμάσιον οἷον φρονοῦσι τῇ ἀρετῇ, πρὸς ἐκείνας τὰς ἐλπίδας· ἐν αἷς ἐστι, καὶ τοὺς νῦν ὑβρίζοντας ὑπὸ πλούτου καὶ δυνάμεως, καὶ καταγελῶντας ἀνοήτως τῶν κρειττόνων, ἐπιδεῖν ἀξίαν δίκην τίνοντας. ἔπειτα τῆς ἀληθείας καὶ θείας τοῦ ὄντος οὐδεὶ ἐνταῦθα τῶν ἐρώντων ἐνέπλησεν ἑαυτὸν ἱκανῶς, οἷο δι' ὁμίχλης, ἢ νέφους τοῦ σώματος, ὑγρῷ καὶ τι ραττομένῳ τῷ λογισμῷ χρώμενος, ἀλλ' ὄρνιθος ἢ κην ἄνω βλέποντες, ὡς ἐκπτυσύμενοι τοῦ σώμα*

εἰς μέγα τι καὶ λαμπρὸν, εὐσταλῆ καὶ ἐλαφρὰν ποιοῦσι τὴν ψυχὴν ἀπὸ τῶν θνητῶν, τῷ φιλοσοφεῖν μελέτῃ χρώμενοι τοῦ ἀποθνήσκειν. οὕτω μέγα τι καὶ τέλεον ὄντως ἀγαθὸν ἡγοῦμαι τὴν τελευτὴν, ὡς βίον ἀληθῆ βιωσομένην ἐκεῖ τὴν ψυχὴν, οὐχ ὕπαρ νῦν ζῶσαν, ἀλλ' ὀνείρασιν ὁμοια πάσχουσαν. εἰ τοίνυν ἡδὺ πανταχόθεν ἡ φίλου μνήμη τεθνηκότος, ὥσπερ Ἐπίκουρος εἶπε, καὶ ἤδη νοεῖν πάρεστιν, ἡλίκης ἑαυτοὺς χαρᾶς ἀποστεροῦσι, φάσματα καὶ εἴδωλα τεθνηκότων ἑταίρων οἰόμενοι δέχεσθαι καὶ θηρεύειν, οἷς οὔτε νοῦς ἐστιν, οὔτ' αἴσθησις, αὐτοῖς δὲ συνέσεσθαι πάλιν ἀληθῶς, καὶ τὸν φίλον πατέρα καὶ τὴν φίλην μητέρα, καί που γυναῖκα χρηστὴν ὄψεσθαι μὴ προσδοκῶντες, μηδ' ἔχοντες ἐλπίδα τῆς ὁμιλίας ἐκείνης καὶ φιλοφροσύνης, ἣν ἔχουσιν οἱ τὰ αὐτὰ Πυθαγόρᾳ καὶ Πλάτωνι καὶ Ὁμήρῳ περὶ ψυχῆς δοξάζοντες; ᾧ δὲ ὅμοιόν ἐστιν αὐτῶν τὸ πάθος, Ὅμηρος ὑποδεδήλωκεν, εἴδωλον τοῦ Αἰνείου καταβαλὼν εἰς μέσον τοῖς μαχομένοις, ὡς τεθνηκότος, εἶτα ὕστερον αὐτὸν ἐκεῖνον ἀναδείξας

— Ζωὸν καὶ ἀρτεμέα προσιόντα,
Καὶ μένος ἐσθλὸν ἔχοντα

τοῖς φίλοις·

— Οἱ δ' ἐχάρησαν,

φησὶ, καὶ τὸ εἴδωλον θέμενοι παρέσχον ἑαυτόν. οὐκοῦν καὶ ἡμεῖς, τοῦ λόγου δεικνύοντος, ὡς ἔστιν ἐντυγχεῖν ἀληθῶς τοῖς τεθνεῶσι, καὶ τῷ φιλοῦντι τοῦ φρονοῦντος αὐτοῦ καὶ φιλοῦντος ἅψασθαι καὶ συγγενέσθαι μὴ δυναμένους, μηδ' ἀποῤῥίψαι τὰ εἴδωλα

πάντα καὶ τοὺς φλοιοὺς, ἐν οἷς ὀδυρόμενοι καὶ κοινοπαθοῦντες διατελοῦσιν.

XXIX. Ἄνευ δὲ τούτου, οἱ μὲν ἑτέρου βίου τὸν θάνατον ἀρχὴν κρείττονος νομίζοντες, ἐάν τ' ἐπαγαθοῖς ὦσι, μᾶλλον ἥδονται, μείζονα προσδοκῶντες· ἄν τε μὴ κατὰ γνώμην τῶν ἐνταῦθα τυγχάνωσιν, οὐ πάνυ δυσχεραίνουσιν, ἀλλ' αἱ τῶν μετὰ τὸν θάνατον ἀγαθῶν καὶ καλῶν ἐλπίδες, ἀμηχάνους ἡδονὰς καὶ προσδοκίας ἔχουσαι, πᾶν μὲν ἔλλειμμα, πᾶν δὲ πρόσκρουσμα τῆς ψυχῆς ἐξαλείφουσι καὶ ἀφανίζουσιν, ὥσπερ ἐν ὁδῷ, μᾶλλον δὲ ὁδοῦ παρατροπῇ βροχείᾳ, ῥᾳδίως τὰ συντυγχάνοντα καὶ μετρίως φερούσας. οἷς δὲ ὁ βίος εἰς ἀναισθησίαν περαίνει καὶ διαλύει, τούτοις ὁ θάνατος οὐ τῶν κακῶν μεταβολὴν ἐπιφέρων, ἀμφοτέροις μέν ἐστι λυπηρὸς, μᾶλλον δὲ τοῖς εὐτυχοῦσιν ἢ τοῖς ἐπιπόνως ζῶσι· τούτων μὲν γὰρ ἀποκόπτει τὴν ἄδηλον ἐλπίδα τοῦ πράξειν ἄμεινον· ἐκείνων δὲ βέβαιον ἀγαθὸν, τὸ ἡδέως ζῆν, ἀφαιρεῖται. καὶ καθάπερ, οἶμαι, τὰ μὴ χρηστὰ τῶν φαρμάκων, ἀλλ' ἀναγκαῖα, κουφίζοντα τοὺς νοσοῦντας, ἐπιτρίβει καὶ λυμαίνεται τοὺς ὑγιαίνοντας, οὕτως ὁ Ἐπικούρου λόγος τοῖς μὲν ἀθλίως ζῶσιν οὐκ εὐτυχῆ, τοῖς δὲ κακῶς πράσσουσι τελευτὴν ἐπαγγέλλεται τὴν ἀναίρεσιν καὶ διάλυσιν τῆς ψυχῆς· τῶν δὲ φρονίμων καὶ σοφῶν καὶ βρυόντων ἀγαθοῖς, παντάπασι καλύει τὸ εὔθυμον, ἐκ τοῦ ζῆν μακαρίως, εἰς τὸ μὴ ζῆν μηδ' εἶναι καταστρέφον. αὐτόθεν μὲν οὖν ἐστι δῆλον, ὡς ἀγαθῶν ἀποβολῆς ἐπίνοια λυπεῖν τὸν

εν, ὅσον ἐλπίδες βέβαιοι καὶ ἀπολαύσεις εὐφραί-
ουσι παρόντων.

XXX. Οὐ μὴν ἀλλὰ καὶ λέγουσιν, αὐτοῖς κα-
ῶν ἀπαύστων καὶ ἀορίστων λυθεῖσαν ὑποψίαν,
γαθὸν βεβαιότατον καὶ ἥδιστον ἀπολιπεῖν τὴν ἐπί-
οιαν τοῦ λελύσθαι· καὶ τοῦτο ποιεῖν τὸν Ἐπικού-
ου λόγον, ἱστάντα τοῦ θανάτου τὸ δέος ἐν τῇ δια-
ύσει τῆς ψυχῆς. εἴπερ οὖν ἥδιστόν ἐστιν ἀπαλλαγὴ
ροσδοκίας κακῶν ἀπείρων, πῶς οὐκ ἀνιαρόν, αἰ-
νίων ἀγαθῶν ἐλπίδα στερεῖσθαι, καὶ τὴν ἀκροτά-
ην εὐδαιμονίαν ἀποβαλεῖν; ἀγαθὸν μὲν γὰρ οὐδὲ
τέροις, ἀλλὰ πᾶσι τοῖς οὖσι τὸ μὴ εἶναι παρὰ φύσιν
αὶ ἀλλότριον· ὧν δ' ἀφαιρεῖ τὰ τοῦ βίου κακά, τῷ
οῦ θανάτου κακῷ, τὸ ἀναίσθητον ἔχουσι παραμύ-
ιον, ὥσπερ ἀποδιδράσκοντα· καὶ τοὐναντίον, οἷς
ξ ἀγαθῶν εἰς τὸ μηδὲν μεταβολή, φοβερώτατον ὁρῶ
ντελές, ἐν ᾧ παύσεται τὸ μακάριον. οὐ γὰρ ὡς ἀρ-
ὴν ἑτέρου τὴν ἀναισθησίαν δέδιεν ἡ φύσις, ἀλλ'
ἴτι τῶν παρόντων ἀγαθῶν στέρησίς ἐστι· τὸ γὰρ οὐ
ρὸς ἡμᾶς, παντὸς ἀναιρέσει τοῦ ἡμετέρου γινόμε-
ου; ἤδη πρὸς ἡμᾶς ἐστι τῇ ἐπινοίᾳ· καὶ τὸ ἀναί-
θητον οὐ λυπεῖ τότε τοὺς μὴ ὄντας, ἀλλὰ τοὺς ὄν-
ας, εἰς τὸ μὴ εἶναι βλαπτομένους ὑπ' αὐτοῦ, καὶ
ηδ' ὡς δυσομένους. ὅθεν οὐδὲ ὁ Κέρβερος οὐδὲ ὁ
Κωκυτὸς ἀόριστον ἐποίησε τοῦ θανάτου τὸ δέος,
ἀλλὰ ἡ τοῦ μὴ ὄντος ἀπειλή, μεταβαλεῖν εἰς τὸ εἶ-
αι πάλιν οὐκ ἔχουσα τοῖς φθαρεῖσι. δὶς γὰρ οὐκ
στι γενέσθαι· δεῖ δὲ τὸν αἰῶνα μὴ εἶναι, κατ' Ἐπί-
υρον. εἰ γάρ ἐστι τὸ πέρας τῷ μὴ εἶναι, τοῦτο δ'

ἀπέραντον καὶ ἀμετάστατον, εὕρηται κακὸν μ
τῶν ἀγαθῶν στέρησις, ἀναισθησίαν μηδέποτ
μένην. καὶ σοφώτερος Ἡρόδοτος, εἰπὼν, ὡς ὁ
κὺν γεύσας τὸν αἰῶνα, φθονερὸς ἐν αὐτῷ ὢν φ
καὶ μάλιστα τοῖς εὐδαιμονεῖν δοκοῦσιν, οἱ
ἐστι λύπης τὸ ἡδὺ, γευομένοις, ὧν στερήσον
γὰρ εὐφροσύνην ἢ ἀπόλαυσιν καὶ βρυασμὸ
ἐκκρούσεις καὶ καταγάγοι ἐμπίπτουσα συνεχ
νοια τῆς ψυχῆς ὥσπερ εἰς πέλαγος ἀχανὲς τὸ
ἐκχεομένης, τῶν ἐν ἡδονῇ τιθεμένων τὸ κ
μακάριον; εἰ δὲ δὴ καὶ μετ' ἀλγηδόνος, ὥσπ
κουρος οἴεται, τοῖς πλείστοις ἀπόλλυσθαι
νει, παντάπασιν ἀπαρηγόρητός ἐστιν ὁ τοῦ
φόβος, εἰς ἀγαθῶν στέρησιν διὰ κακῶν ἄγο

XXXI. Καὶ πρὸς ταῦτα μὲν οὐκ ἀποκ
μαχόμενοι καὶ βιαζόμενοι πάντας ἀνθρώπο
θὸν μὲν ἡγεῖσθαι τὴν τῶν κακῶν ἀποφυγὴ
δὲ μηκέτι νομίζειν τὴν τῶν ἀγαθῶν στέρησι
δὲ ὁμολογοῦσι, τὸ μηδεμίαν ἐλπίδα μηδὲ χα
τὸν θάνατον, ἀλλὰ ἀποκεκόφθαι πᾶν τὸ ἡδ
ἀγαθόν. ἐν ᾧ χρόνῳ πολλὰ καλὰ καὶ με
θεῖα προσδοκῶσιν οἱ τὰς ψυχὰς ἀνωλέθρ
διανοούμενοι καὶ ἀφθάρτους, ἢ μακράς τ
νων περιόδους, νῦν μὲν ἐν γῇ, νῦν δ' ἐν
περιπολούσας, ἄχρις οὗ συνδιαλυθῶσι τῷ
μετὰ ἡλίου καὶ σελήνης εἰς πῦρ νοερὸν ἀνα
τοιαύτην χώραν ἡδονῶν τοσούτων Ἐπίκου
μνεται, καὶ ταῖς ἐκ θεῶν ἐλπίσιν, ὥσπερ
καὶ χάρισιν ἀναιρεθείσαις, ἐπὶ τοῦ θεω

φιλομαθὲς καὶ τοῦ πρακτικοῦ τὸ φιλότιμον ἀποτυφλώσας, εἰς στενόν τι κομιδῇ καὶ οὐδὲ καθαρὸν τὸ ἐπὶ τῇ σαρκὶ τῆς ψυχῆς χαῖρον συνέστειλε καὶ κατέβαλε τὴν φύσιν, ὡς μεῖζον ἀγαθὸν τοῦ τὸ κακὸν φεύγειν οὐδὲν ἔχουσαν.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΡΟΣ ΚΟΛΩΤΗΝ.

Κολώτης, ὃν Ἐπίκουρος εἰώθει Κολωτάραν ὑποκορίζεσθαι καὶ Κολωτάριον, ὦ Σατορνῖνε, βιβλίον ἐξέδωκεν, ἐπιγράψας Περὶ τοῦ ὅτι κατὰ τὰ τῶν ἄλλων φιλοσόφων δόγματα οὐδὲ ζῆν ἔστιν. ἐκεῖνο μὲν οὖν Πτολεμαίῳ τῷ βασιλεῖ προσπεφώνηται· ἃ δὲ ἡμῖν ἐπῆλθεν εἰπεῖν πρὸς τὸν Κολώτην, ἡδέως ἂν οἶμαί σε γεγραμμένα διελθεῖν, φιλόκαλον καὶ φιλάρχαιον ὄντα, καὶ τὸ μεμνῆσθαι καὶ διὰ χειρῶν ἔχειν, ὡς μάλιστα δυνατόν ἐστι, τοὺς λόγους τῶν παλαιῶν, βασιλικωτάτην διατριβὴν ἡγούμενον.

II. Ἔναγχος οὖν ἀναγινωσκομένου, εἷς τῶν ἑταίρων, Ἀριστόδημος ὁ Αἰγιεὺς, οἶσθα γὰρ τὸν ἄνδρα τῶν ἐξ Ἀκαδημίας οὐ ναρθηκοφόρον, ἀλλ' ἐμμανέστατον ὀργιαστὴν Πλάτωνος, οὐκ οἶδα ὅπως παρὰ

τὸ εἰωθὸς ἐγκαρτερήσας σιωπῇ, καὶ παρασχὼν ἑαυτὸν ἀκροατὴν ἄχρι τέλους κόσμιον, ὡς τέλος ἔσχεν ἡ ἀνάγνωσις· Εἶεν, ἔφη, τίνα τούτῳ μαχούμενον ἀνέσταμεν ὑπὲρ τῶν φιλοσόφων; οὐ γὰρ ἄγαμαι τοῦ Νέστορος, ἑλέσθαι δέον ἐκ τῶν ἐννέα τὸν ἄριστον, ἐπὶ τῇ τύχῃ ποιουμένου, καὶ διακληροῦντος.

Ἀλλὰ ὁρᾷς, ἔφην, ὅτι κἀκεῖνος ἐπὶ τὸν κλῆρον ἑαυτὸν ἔταξεν, ὥστε τοῦ φρονιμωτάτου βραβεύοντος γενέσθαι τὸν κατάλογον·

Ἐκ δ' ἔθορε κλῆρος κυνέης, ὃν ἄρ' ἤθελον αὐτοί,
Αἴαντος.

οὐ μὴν ἀλλ' εἰ σὺ προστάττεις ἑλέσθαι,
Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην;

ὅρα δὴ καὶ σκόπει, πῶς ἀμύνῃ τὸν ἄνδρα.

Καὶ ὁ Ἀριστόδημος· Ἀλλ' οἶσθα, ἔφη, τὸ τοῦ Πλάτωνος, ὅτι τῷ παιδὶ χαλεπῄνας, οὐκ αὐτὸς ἐνέτεινε πληγὰς, ἀλλὰ Σπεύσιππον ἐκέλευσεν, εἰπὼν αὐτὸς ὀργίζεσθαι· καὶ σὺ τοίνυν παραλαβὼν κόμιζε τὸν ἄνθρωπον, ὅπως βούλει· ἐγὼ γὰρ ὀργίζομαι. τὰ αὐτὰ δὴ καὶ τῶν ἄλλων παρακελευομένων· Λικτέον μὲν, ἔφην, ἄρα, φοβοῦμαι δὲ, μὴ δόξω καὶ αὐτὸς ἐσπουδακέναι μᾶλλον ἢ δεῖ πρὸς τὸ βιβλίον, ὑπὲρ τῆς δι' ἀγροικίαν καὶ βωμολοχίαν καὶ ὕβριν τοῦ ἀνθρώπου χόρτον τινὰ προβάλλοντος * ἥσως Σωκράτει, καὶ πῶς εἰς τὸ στόμα τὸ σιτίον, οὐκ εἰς τὸ οὖς, ἐντίθησιν, ἐρωτῶντος. ἀλλ' ἴσως ἂν ἐπὶ τούτοις καὶ γελάσειέ τις, ἐννοήσας τὴν Σωκράτους πρᾳότητα καὶ χάριν.

Ὑπέρ γε μέντοι παντὸς Ἑλλήνων στρατοῦ,

τῶν ἄλλων φιλοσόφων, ἐν οἷς Δημόκριτός ἐστι καὶ Πλάτων καὶ Ἐμπεδοκλῆς καὶ Παρμενίδης καὶ Μέλισσος, οἱ κακῶς ἀκηκοότες, οὐ μόνον

Αἰσχρὸν σιωπᾶν,

ἀλλ' οὐδὲ ὅσιον ἐνδοῦναί τι καὶ ὑφελέσθαι τῆς ἄκρας ὑπὲρ αὐτῶν παῤῥησίας, εἰς τοῦτο δόξης φιλοσοφίαν προαγαγόντων. καίτοι τὸ μὲν ζῆν οἱ γονεῖς μετὰ τῶν θεῶν ἡμῖν ἔδωκαν, παρὰ δὲ τῶν φιλοσόφων δίκης καὶ νόμου συνεργὸν οἰόμεθα λόγον ἐπιθυμιῶν κολαστὴν λαβόντες, εὖ ζῆν· τὸ δ' εὖ ζῆν, ἐστὶ κοινωνικῶς ζῆν καὶ φιλικῶς καὶ σωφρόνως καὶ δικαίως. ὧν οὐθὲν ἀπολείπουσιν οἱ περὶ γαστέρα τἀγαθὸν εἶναι βοῶντες, οὐκ ἂν δὲ τὰς ἀρετὰς ὁμοῦ πάσας τετρημένου χαλκοῦ πριάμενοι, ὀλίγα τῆς ἡδονῆς πάσης πανταχόθεν ἐξελαθείσης. ἐνδεῖν δ' αὐτοῖς τὸν περὶ θεῶν καὶ ψυχῆς λόγον, ὡς ἡ μὲν ἀπόλλυται διαλυθεῖσα, τοῖς δ' οὐδενὸς μέλει τῶν καθ' ἡμᾶς. τοῖς μὲν γὰρ ἄλλοις φιλοσόφοις ἐγκαλοῦσιν οὗτοι διὰ τὸ σοφόν, ὡς τὸ ζῆν ἀναιροῦσι ἐκεῖνοι δὲ τούτοις, ὅτι ζῆν ἀγεννῶς καὶ θηριωδῶς διδάσκουσι.

III. Καίτοι ταῦτα μὲν ἐγκέκραται τοῖς Ἐπικούρου λόγοις, καὶ διαπεφοίτηκεν αὐτοῦ τῆς φιλοσοφίας. ὁ δὲ Κολώτης, ὅτι φωνάς τινας ἐρήμους πραγμάτων ἀποσπῶν, καὶ μέρη λόγων καὶ σπαράγματα κωφὰ τοῦ βεβαιοῦντος καὶ συνεργοῦντος πρὸς νόησιν καὶ πίστιν ἕλκων, ὥσπερ ἀγοράν, ἢ πίνακα τεράτων, συντίθησι τὸ βιβλίον, ἴστε δήπου παντὸς μᾶλλον ὑμεῖς, ἔφην, τὰ συγγράμματα τῶν παλαιῶν δεῖ χειρὸς ἔχοντες. ἐμοὶ δὲ δοκεῖ, καθάπερ ὁ Λυδὸς

ἐφ' αὐτὸν ἀνοίγειν οὐ θύραν μίαν, ἀλλὰ ταῖς πλείσταις τῶν ἀποριῶν καὶ μεγίσταις περιβάλλειν τὸν Ἐπίκουρον. ἄρχεται γὰρ ἀπὸ Δημοκρίτου, καλὰ καὶ πρέποντα διδασκάλια κομιζομένου παρ' αὐτοῦ· καίτοι πολὺν χρόνον αὐτὸς ἑαυτὸν ἀνηγόρευε Δημοκρίτειον ὁ Ἐπίκουρος, ὡς ἄλλοι τε λέγουσι, καὶ Διοντεὺς, εἷς τῶν ἐπ' ἄκρον Ἐπικούρου μαθητῶν, πρὸς Λυκόφρονα γράφων, τιμᾶσθαί τε, φησὶ, τὸν Δημόκριτον ὑπ' Ἐπικούρου, διὰ τὸ πρότερον ἅψασθαι τῆς ὀρθῆς γνώσεως, καὶ τὸ σύνολον τὴν πραγματείαν Δημοκρίτειον προσαγορεύεσθαι, διὰ τὸ περιπεσεῖν αὐτὸν πρότερον ταῖς ἀρχαῖς περὶ φύσεως. ὁ δὲ Μητρόδωρος ἄντικρυς περὶ φιλοσοφίας εἴρηκεν, ὡς, εἰ μὴ καθηγήσατο Δημόκριτος, οὐκ ἂν προῆλθεν Ἐπίκουρος ἐπὶ τὴν σοφίαν. ἀλλ' εἰ κατὰ τὰ Δημοκρίτου δόγματα ζῆν οὐκ ἔστιν, ὡς οἴεται Κολώτης, γελοῖος ἦν περὶ τὸ μὴ ζῆν ὄγοντι Δημοκρίτῳ κατακολουθῶν ὁ Ἐπίκουρος.

IV. Ἐγκαλεῖ δ' αὐτῷ πρῶτον, ὅτι τῶν πραγμάτων ἕκαστον εἰπὼν οὐ μᾶλλον τοῖον ἢ τοῖον εἶναι, συγκέχυκε τὸν βίον. ἀλλὰ τοσοῦτόν γε Δημόκριτος ἀποδεῖ τοῦ νομίζειν, μὴ μᾶλλον εἶναι τοῖον ἢ τοῖον τῶν πραγμάτων ἕκαστον, ὥστε Πρωταγόρᾳ τῷ σοφιστῇ τοῦτο εἰπόντι μεμαχῆσθαι, καὶ γεγραφέναι πολλὰ καὶ πιθανὰ πρὸς αὐτόν· οἷς οὐδ' ὅναρ ἐντυχὼν ὁ Κολώτης, ἐσφάλη περὶ λέξιν τοῦ ἀνδρός, ἐν ᾗ διορίζεται, μὴ μᾶλλον τὸ Εἶν, ἢ τὸ Μηδὲν εἶναι· δὲν μὲν ὀνομάζων τὸ σῶμα, μηδὲν δὲ τὸ κενόν, ὡς καὶ τούτου φύσιν τινὰ καὶ ὑπόστασιν ἰδίαν ἔχοντος.

ὁ δ' οὖν δόξας τὸ μηδὲν μᾶλλον εἶναι τοῖον ἢ τοῖον, Ἐπικουρείῳ δόγματι κέχρηται, τῷ πάσας εἶναι τὰς δι' αἰσθήσεως φαντασίας ἀληθεῖς. εἰ γὰρ δυοῖν λεγόντων, τοῦ μὲν αὐστηρὸν εἶναι τὸν οἶνον, τοῦ δὲ γλυκύν, οὐδέτερος ψεύδεται τῇ αἰσθήσει, τί μᾶλλον ὁ οἶνος αὐστηρὸς ἢ γλυκὺς ἐστί; καὶ μὴν λουτρῷ γε τῷ αὐτῷ τοὺς μὲν ὡς θερμῷ, τοὺς δὲ ὡς ψυχρῷ χρωμένους ἰδεῖν ἔστιν· οἱ μὲν γὰρ ψυχρόν, οἱ δὲ θερμὸν ἐπεμβάλλειν κελεύουσι. πρὸς δὲ Βερενίκην τὴν Δημητρίου τῶν Λακεδαιμονίων τινὰ γυναικῶν ἁφικέσθαι λέγουσιν· ὡς δ' ἐγγὺς ἀλλήλων προσῆλθον, εὐθὺς ἀποστραφῆναι, τὴν μὲν τὸ μύρον, ὡς ἔοικε, τὴν δὲ τὸ βούτυρον δυσχεράνασαν. εἴπερ οὖν μὴ μᾶλλόν ἐστιν ἡ ἑτέρα τῆς ἑτέρας ἀληθὴς αἴσθησις, εἰκός ἐστι, καὶ τὸ ὕδωρ μὴ μᾶλλον εἶναι ψυχρὸν ἢ θερμόν, καὶ τὸ μύρον καὶ τὸ βούτυρον μὴ μᾶλλον εὐῶδες ἢ δυσῶδες. εἰ γὰρ αὖ τὸ φαινόμενον ἕτερον ἑτέρῳ φάσκει τις, ἀμφότερα εἶναι λέγων λέληθεν.

V. Αἱ δὲ πολυθρύλλητοι συμμετρίαι καὶ ἁρμονίαι τῶν περὶ τὰ αἰσθητήρια πόρων, αἵ τε πολυμιξίαι τῶν σπερμάτων, ἃ δὴ πᾶσι χυμοῖς καὶ ὀσμαῖς καὶ χροιαῖς ἐνδιεσπαρμένα λέγουσιν ἑτέραν ἑτέρῳ ποιότητος κινεῖν αἴσθησιν, οὐκ ἄντικρυς εἰς τὸ μὴ μᾶλλον τὰ πράγματα συνελαύνουσιν αὐτοῖς; τοὺς γὰρ οἰομένους, ψεύδεσθαι τὴν αἴσθησιν, ὅτι τὰ ἐναντία πάθη γινόμενα τοῖς χρωμένοις ἀπὸ τῶν αὐτῶν ὁρῶσι, παραμυθούμενοι, διδάσκουσιν, ὡς ἀναπεφυρμένων καὶ συμμιγνυμένων ὁμοῦ τι πάντων, ἄλλου δ' ὅλῳ πεφυκότος ἐναρμόττειν; οὐκ ἔστι τῆς

αὐτῆς ποιότητος ἐπαφὴ καὶ ἀντίληψις, οὐδὲ πᾶσι τοῖς μέρεσι κινεῖ πάντας ὡσαύτως τὸ ὑποκείμενον· ἀλλ' ἐκείνοις ἕκαστοι μόνοις ἐντυγχάνοντες, πρὸς ἃ σύμμετρον ἔχουσι τὴν αἴσθησιν, οὐκ ὀρθῶς διαμάχονται περὶ τοῦ χρηστὸν, ἢ πονηρὸν, ἢ λευκὸν, ἢ μὴ λευκὸν εἶναι τὸ πρᾶγμα, τὰς αὐτῶν οἰόμενοι βεβαιοῦν αἰσθήσεις, τῷ τὰς ἄλλων ἀναιρεῖν· δεῖ δ' αἰσθήσει μὲν μηδὲ διαμάχεσθαι· πᾶσαι γὰρ ἅπτονταί τινος, οἷον ἐκ πηγῆς τῆς πολυμιξίας ἑκάστη λαμβάνουσα τὸ πρόσφορον καὶ οἰκεῖον· ὅλου δὲ μὴ κατηγορεῖν, ἁπτομένους μερῶν, μηδὲ τὸ αὐτὸ οἴεσθαι δεῖν πάσχειν ἅπαντας, ἄλλους κατ' ἄλλην ποιότητα καὶ δύναμιν αὐτοῦ πάσχοντας. ἆρα δεῖ σκοπεῖν, τίνες μᾶλλον ἄνθρωποι τὸ μὴ μᾶλλον ἐπάγουσι τοῖς πράγμασιν, ἢ οἳ πᾶν μὲν τὸ αἰσθητὸν, κρᾶμα παντοδαπῶν ποιοτήτων ἀποφαίνουσι

Σύμμικτον, ὥστε γλεῦκος αὐλητήριον,

ἔῤῥειν δὲ ὁμολογοῦσι τοὺς κανόνας αὐτοῖς, καὶ παντάπασιν οἴχεσθαι τὸ κριτήριον, ἄνπερ εἰλικρινὲς αἰσθητὸν ὁτιοῦν, καὶ μὴ πολλὰ ἕκαστον ἀπέλεπον;

VI. Ὅρα δὴ, ἃ περὶ τοῦ οἴνου τῆς θερμότητος ἐν τῷ Συμποσίῳ Πολύαινον αὐτῷ διαλεγόμενον Ἐπίκουρος πεποίηκε· λέγοντος γάρ· Οὐ φῂς εἶναι, ὦ Ἐπίκουρε, τὰς ὑπὸ τοῦ οἴνου διαθερμασίας; ὑπέλαβέ τις, οὐ τὸ καθόλου θερμαντικὸν ἀποφαίνεσθαι τὸν οἶνον εἶναι· καὶ μετὰ σμικρόν· Φαίνεται μὲν γὰρ τὸ καθόλου οὐκ εἶναι θερμαντικὸς ὁ οἶνος, τοῦδε δέ τινος ὁ τοσοῦτος εἶναι θερμαντικὸς ἂν ῥηθείη. καὶ πάλιν αἰτίαν ὑπειπὼν, θλίψεις τε καὶ

διασπορὰς ἀτόμων, ἑτέρων δὲ συμμίξεις καὶ παραζεύξεις αἰτιασάμενος ἐν τῇ πρὸς τὸ σῶμα καταμίξει τοῦ οἴνου, ἐπιλέγει· Διὸ δὴ καθόλου μὲν οὐ ῥητέον, τὸν οἶνον εἶναι θερμαντικόν· τῆς δὲ τοιαύτης φύσεως καὶ τῆς οὕτω διακειμένης θερμαντικὸν τὸν τοσοῦτον, ἢ τῆσδε τὸν τοσοῦτον εἶναι ψυκτικόν· ἔνεισι γὰρ καὶ τοιαῦται ἐν τῷ τοιούτῳ ἀθροίσματι φύσεις, ἐξ ὧν ἂν ψυχρὸν συσταίη, εἰ δέον γε ἑτέραις παραζυγεῖσαι, ψυχρασίας φύσιν ἀποτελέσειαν· ὅθεν ἐξαπατώμενοι, οἱ μὲν, ψυκτικὸν τὸ καθόλου φασὶν εἶναι τὸν οἶνον, οἱ δὲ, θερμαντικόν. ὁ δὴ λέγων, ἐξηπατῆσθαι τοὺς πολλοὺς, τὸ θερμαῖνον θερμαντικόν, ἢ τὸ ψύχον ψυκτικὸν ὑπολαμβάνοντας, εἰ μὴ νομίζοι, τὸ μὴ μᾶλλον εἶναι τοῖον ἢ τοῖον ἕκαστον ἀκολουθεῖν, οἷς εἴρηκεν, αὐτὸς ἐξηπάτηται. προστίθησι δὲ, ὅτι πολλάκις οὐδ' ἦλθεν εἰς τὸ σῶμα, θερμαντικὴν ἐπιφέρων, ἢ ψυκτικὴν δύναμιν ὁ οἶνος, ἀλλὰ κινηθέντος τοῦ ὄγκου, καὶ γενομένης τῶν σωμάτων μεταστάσεως, αἳ ποιοῦσαι τὸ θερμὸν ἄτομοι νῦν μὲν συνῆλθον εἰς τὸ αὐτό, καὶ παρέσχον ὑπὸ πλήθους θερμότητα καὶ πύρωσιν τῷ σώματι, νῦν δ' ἐκπεσοῦσαι κατέψυξαν.

VII. Ὅτι δὲ τούτοις πρὸς πᾶν ἐστι χρῆσθαι τὸ καλούμενον καὶ νομιζόμενον πικρὸν, γλυκὺ, καθαρτικὸν, ὑπνωτικὸν, φωτεινὸν, ὡς οὐδενὸς ἔχοντος αὐτοτελῆ ποιότητα καὶ δύναμιν, οὐδὲ δρῶντος μᾶλλον ἢ πάσχοντος, ὅταν ἐγγένωνται τοῖς σώμασιν, ἄλλην δ' ἐν ἄλλοις διαφορὰν καὶ κρᾶσιν λαμβάνοντος, οὐκ ἄδηλόν ἐστιν. αὐτὸς γὰρ οὖν ὁ Ἐπίκουρος ἐν τῷ

δευτέρῳ τῶν πρὸς Θεόφραστον, οὐκ εἶναι λέγων τὰ χρώματα συμφυῆ τοῖς σώμασιν, ἀλλὰ γεννᾶσθαι κατὰ πολας τινὰς τάξεις καὶ θέσεις πρὸς τὴν ὄψιν, οὐ μᾶλλον φησὶ κατὰ τοῦτον τὸν λόγον ἄχρωματιστον σῶμα εἶναι, ἢ χρῶμα ἔχον. ἀνωτέρω δὲ κατὰ λέξιν ταῦτα γέγραφεν· Ἀλλὰ καὶ χωρὶς τούτου τοῦ μέρους, οὐκ οἶδα, ὅπως δεῖ τὰ ἐν σκότει ταῦτα ὄντα φῆσαι χρώματα ἔχειν· καίτοι πολλάκις ἀέρος ὁμοίως σκοτώδους περικεχυμένου, οἱ μὲν αἰσθάνονται χρωμάτων διαφορᾶς, οἱ δ' οὐκ αἰσθάνονται δι' ἀμβλύτητα τῆς ὄψεως· ἔτι δ', εἰσελθόντες εἰς σκοτεινὸν οἶκον, οὐδεμίαν ὄψιν χρώματος δρῶμεν· ἀναμείναντες δὲ μικρὸν, δρῶμεν· οὐ μᾶλλον οὖν ἔχειν ἢ μὴ ἔχειν χρῶμα ῥηθήσεται τῶν σωμάτων ἕκαστον. εἰ δὲ τὸ χρῶμα πρός τι, καὶ τὸ λευκὸν ἔσται πρός τι, καὶ τὸ κυανοῦν· εἰ δὲ ταῦτα, καὶ τὸ γλυκὺ καὶ τὸ πικρόν· ὥστε κατὰ πάσης ποιότητος ἀληθῶς, τὸ μὴ μᾶλλον εἶναι, ἢ μὴ εἶναι, κατηγορεῖσθαι· τοῖς γὰρ οὕτω πάσχουσιν ἔσται τοιοῦτον, οὐκ ἔσται δὲ τοῖς μὴ πάσχουσι. τὸν οὖν βόρβορον καὶ τὸν τ * ἐν ᾧ φησι γίνεσθαι τοὺς τὸ μηδὲν μᾶλλον τοῖον ἢ τοῖον ἐπιφθεγγομένους τοῖς πράγμασιν, ἑαυτοῦ κατασκώπτουσι καὶ τοῦ καθηγεμόμος ὁ Κολώτης.

VIII. Ἆρ' οὖν ἐνταῦθα μόνον ὁ γενναῖος,
Ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων
ἀναπέφηνε; οὔμενουν· ἀλλ' ἔτι μᾶλλον ἐν τῷ δευτέρῳ τῶν ἐπιτιμημάτων λέληθε τῷ Δημοκρίτῳ τὸν Ἐπίκουρον ἐκ τοῦ ζῆν συνεξωθῶν. τὸ γὰρ νόμῳ χροιὴν εἶναι, καὶ νόμῳ γλυκὺ, καὶ νόμῳ σύγκρισιν

τὰς ἀτόμους εἰρημένον φησὶν ὑπὸ Δημοκρίτου ταῖς αἰσθήσεσι, καὶ τὸν ἐμμένοντα τῷ λόγῳ τούτῳ καὶ χρώμενον οὐδ' ἂν αὐτόν, ὡς * ἔστιν, ἢ ζῇ, διανοηθῆναι. πρὸς τοῦτον ἀντειπεῖν μὲν οὐδὲν ἔχω τὸν λόγον, εἰπεῖν δὲ, ὅτι ταῦτα τῶν Ἐπικούρου δογμάτων οὕτως ἀχώριστά ἐστιν, ὡς τὸ σχῆμα καὶ τὸ βάρος αὐτοῖ τῆς ἀτόμου λέγουσι. τί γὰρ λέγει Δημόκριτος; οὐσίας ἀπείρους τὸ πλῆθος, ἀτόμους τε καὶ διαφόρους, ἔτι δ' ἀποίους καὶ ἀπαθεῖς ἐν τῷ κενῷ φέρεσθαι διεσπαρμένας· ὅταν δὲ πελάσωσιν ἀλλήλαις, ἢ συμπέσωσιν, ἢ περιπλακῶσι, φαίνεσθαι τῶν ἀθροιζομένων τὸ μὲν ὕδωρ, τὸ δὲ πῦρ, τὸ δὲ φυτὸν, τὸ δ' ἄνθρωπον· εἶναι δὲ πάντα τὰς ἀτόμους ἰδέας ὑπ' αὐτοῦ καλουμένας, ἕτερον δὲ μηδέν· ἐκ μὲν γὰρ τοῦ μὴ ὄντος οὐκ εἶναι γένεσιν, ἐκ δὲ τῶν ὄντων μηδὲν ἂν γενέσθαι, τῷ μήτε πάσχειν μήτε μεταβάλλειν τὰς ἀτόμους ὑπὸ στερρότητος· ὅθεν οὔτε χρόαν ἐξ ἀχρώστων, οὔτε φύσιν ἢ ψυχὴν ἐξ ἀποίων καὶ * ὑπάρχειν. ἐγκλητέος οὖν ὁ Δημόκριτος, οὐχὶ τὰ συμβαίνοντα ταῖς ἀρχαῖς ὁμολογῶν, ἀλλὰ λαμβάνων ἀρχὰς, αἷς ταῦτα συμβέβηκεν. ἔδει γὰρ ἀμετάβλητα μὴ θέσθαι τὰ πρῶτα, θέμενον δὲ, μὴ συνορᾷν, ὅτι ποιότητος οἴχεται πάσης γένεσις· ἀρνεῖσθαι δὲ συνορῶντα τὴν ἀτοπίαν, ἀναισχυντότατα ὁ Ἐπίκουρός φησιν, ἀρχὰς μὲν ὑποτίθεσθαι τὰς αὐτὰς, οὐ λέγειν δὲ νόμῳ χροιὴν, καὶ γλυκὺ καὶ λευκὸν καὶ τὰς ἄλλας ποιότητας. εἰ μὲν οὖν τὸ Οὐ λέγει τοιοῦτόν ἐστιν, Οὐχ ὁμολογεῖ, τῶν εἰθισμένων τι ποιεῖ· καὶ γὰρ τὴν πρόνοιαν ἀναιρῶν, εὐσέβειαν

ἀπολιπεῖν λέγει· καὶ τῆς ἡδονῆς ἕνεκα τὴν φιλίαν αἱρούμενος, ὑπὲρ τῶν φίλων τὰς μεγίστας ἀλγηδόνας ἀναδέχεσθαι· καὶ τὸ μὲν πᾶν ἄπειρον ὑποτίθεσθαι, τὸ δ' ἄνω καὶ κάτω μὴ ἀναιρεῖν. ἔστι δὲ οὓς κύλικα μὲν λαβόντα, καὶ πιεῖν, ὅσην ἂν ἐθέλῃ, καὶ ἀποδοῦναι τὸ λεῖπον: ἐν δὲ τῷ λόγῳ μάλιστα δεῖ τοῦ σοφοῦ τούτου μνημονεύειν ἀποφθέγματος· Ἦν αἱ ἀρχαὶ οὐκ ἀναγκαῖαι, τὰ τέλη ἀναγκαῖα. οὐκ οὖν ἀναγκαῖον ὑποθέσθαι, μᾶλλον δ' ἀφελέσθαι Δημοκρίτου, ἀτόμους εἶναι τῶν ὅλων ἀρχάς. θεμένῳ δὲ τὸ δόγμα, καὶ καλλωπισαμένῳ ταῖς πρώταις πιθανότησιν αὐτοῦ, προσεκποτέον ἐστὶ τὸ δυσχερές· ἢ δεικτέον, ὅπως ἄποια σώματα παντοπδπὰς ποιότητας αὐτῷ μόνῳ τῷ συνελθεῖν παρέσχεν. οἷον εὐθὺς, τὸ καλούμενον θερμὸν ὑμῖν πόθεν ἀφῖκται, καὶ πῶς ἐπιγέγονε ταῖς ἀτόμοις, ἂν μήτ' ἦλθον ἔχουσαι θερμότητα, μήτ' ἐγένοντο θερμαὶ συνελθοῦσαι; τὸ μὲν γὰρ, ἔχοντος ποιότητα· τὸ δὲ, πάσχειν πεφυκότος· οὐδέτερον δὲ ταῖς ἀτόμοις ὑπάρχειν φατὲ προσῆκον εἶναι, διὰ τὴν ἀφθαρσίαν.

IX. Τί οὖν οὐχὶ καὶ Πλάτωνι συνέβαινε καὶ Ἀριστοτέλει καὶ Ξενοκράτει, χρυσὸν ἐκ μὴ χρυσοῦ, καὶ λίθον ἐκ μὴ λίθου, καὶ τἄλλα γεννᾷν ἐκ τεσσάρων ἁπλῶν καὶ πρώτων ἁπάντων; πάνυ μὲν οὖν, ἀλλ' ἐκείνοις μὲν εὐθύς τε συνίασιν αἱ ἀρχαὶ πρὸς τὴν ἑκάστου γένεσιν, ὥσπερ συμβολὰς μεγάλας φέρουσαι τὰς ἐν αὑταῖς ποιότητας, καὶ ὅταν συνέλθωσιν εἰς τὸ αὐτὸ καὶ συμπέσωσι ξηροῖς ὑγρὰ, καὶ ψυχρὰ θερμοῖς, καὶ στερεὰ μαλθακοῖς, σώματα κινοῦ-

μενα παθητικοῖς ἀπ' ἀλλήλων, καὶ μεταβάλλοντα δι' ὅλων, ἑτέραν ἀφ' ἑτέρας κράσεως συναποτίκτει γένεσιν. ἡ δ' ἄτομος, αὕτη τε καθ' ἑαυτὴν ἔρημός ἐστι καὶ γυμνὴ πάσης γονίμου δυνάμεως, καὶ πρὸς ἄλλην προσπεσοῦσα, βραυμὸν ὑπὸ σκληρότητος καὶ ἀντιτυπίας, ἄλλο δ' οὐδὲν ἔσχεν οὐδ' ἐποίησε πάθος, ἀλλὰ παίονται καὶ παίουσι τὸν ἅπαντα χρόνον, οὐχ ὅπως ζῶον ἢ ψυχὴν ἢ φύσιν, ἀλλ' οὐδὲ πλῆθος ἐξ ἑαυτῶν κοινὸν, οὐδὲ σωρὸν ἕνα παλλομένων ἀεὶ καὶ διϊσταμένων δυνάμεναι παρασχεῖν.

X. Ὁ δὲ Κολώτης, ὥσπερ ἀγραμμάτῳ βασιλεῖ προσδιαλεγόμενος, πάλιν ἐξάπτεται τοῦ Ἐμπεδοκλέους τοῦ πνέοντος.

Ἄλλο δέ σοι ἐρέω· φύσις οὐδενός ἐστιν ἑκάστου
Θνητῶν, οὐδέ τις οὐλομένη θανάτοιο γενέθλη·
Ἀλλὰ μόνον μίξις τε διαλλαξίς τε μιγέντων
Ἔστι, φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισι.

ταῦτ' ἐγὼ μὲν οὐχ ὁρῶ καθ' ὅ τι πρὸς τὸ ζῆν ὑπεναντιοῦται, τοῖς ὑπολαμβάνουσι μήτε γένεσιν τοῦ μὴ ὄντος εἶναι, μήτε φθορὰν τοῦ ὄντος, ἀλλ' ὄντων τινῶν συνόδῳ πρὸς ἄλληλα τὴν γένεσιν, διαλύσει δ' ἀπ' ἀλλήλων τὸν θάνατον ἐπονομάζεσθαι· ὅτι γὰρ ἀντὶ τῆς γενέσεως εἴρηκε τὴν φύσιν, ἀντιθεὶς τὸν θάνατον αὐτῇ, δεδήλωκεν ὁ Ἐμπεδοκλῆς. εἰ δὲ οἱ μίξεις τὰς γενέσεις τιθέμενοι, τὰς δὲ φθορὰς διαλύσεις, οὐ ζῶσιν οὐδὲ δύνανται ζῆν, τί ποιοῦσιν ἕτερον οὗτοι; καίτοι ὁ μὲν Ἐμπεδοκλῆς τὰ στοιχεῖα κολλῶν καὶ συναρμόττων θερμότησι καὶ μαλακότησι, καὶ ὑγρότησι, μίξιν αὐτοῖς καὶ συμφυΐαν ἐναντιὴν

ἀμωσγέπως ἐνδίδωσιν· οἱ δὲ τὰς ἀτρέπτους καὶ ἀσυμπαθεῖς ἀτόμους εἰς τὸ αὐτὸ συνελαύνοντες, ἐξ αὐτῶν μὲν οὐδέν, αὐτῶν δὲ πολλὰς ποιοῦσι καὶ συνεχεῖς πληγάς· ἡ γὰρ περιπλοκὴ κωλύουσα τὴν διάλυσιν, μᾶλλον ἐπιτείνει τὴν σύγκρουσιν, ὥστε μηδὲ μίξιν εἶναι μηδὲ κόλλησιν, ἀλλὰ ταραχὴν καὶ μάχην, καθ' αὑτοὺς τὴν λεγομένην γένεσιν. οἱ δ' ἁπαρὰς * νῦν μὲν ἁπλασι διὰ τὴν ἀντίκρουσιν, νῦν δὲ προσίασι, τῆς πληγῆς ἐκλυθείσης πλεῖον ἢ διπλάσιον χωρὶς εἰσιν ἀλλήλων χρόνον, οὐ ψαύουσαι καὶ πίεσιάζουσαι, ὥστε μηδὲν ἐξ αὐτῶν ἀποτελεῖσθαι μηδὲ ἔμψυχον. αἴσθησις δὲ καὶ ψυχὴ καὶ νοῦς καὶ φρόνησις οὐδὲ βουλομένοις ἐπίνοιαν δίδωσιν, ὡς γένοιτ' ἂν ἐν κενῷ καὶ ἀτόμοις· ὧν οὔτε καθ' ἑαυτὸ ποιότης ἐστὶν, οὔτε πάθος, ἢ μεταβολὴ συνελθόντων, ἀλλ' οὐδὲ συνέλευσις, ἡ σύγκρασιν ποιοῦσα καὶ μῖξιν καὶ συμφυΐαν, ἀλλὰ πληγὰς καὶ ἀποπηδήσεις. ὥστε τοῖς τοιούτων δόγμασι τὸ ζῆν ἀναιρεῖται, καὶ τὸ ζῶον εἶναι, κενὰς καὶ ἀπαθεῖς καὶ ἀθέους καὶ ἀψύχους, ἔτι δ' ἀμίκτους καὶ ἀσυγκράτους ἀρχὰς ὑποτιθεμένοις.

XI. *Πῶς οὖν ἀπολείπουσι φύσιν καὶ ψυχὴν καὶ ζῶον; ὡς ὅρκον, ὡς εὐχὴν, ὡς θυσίαν, ὡς προσκύνησιν, ῥήματι καὶ λόγῳ, καὶ τῷ φάναι καὶ προσπεσεῖσθαι καὶ ὀνομάζειν, ἃ ταῖς ἀρχαῖς καὶ τοῖς δόγμασιν ἀναιροῦσιν. εἰ δὲ δὴ τὸ πεφυκὸς αὐτὸ φύσιν, καὶ τὸ γεγονὸς γένεσιν ὀνομάζουσιν, ὥσπερ οἱ ξύλινα τὰ ξύλα, καὶ συμφωνίαν καλοῦντες ἐμφορικῶς τὰ συμφωνοῦντα, πόθεν ἐπῆλθεν αὐτῷ τοιαῦτα προ-*

ἀλλειν ῥηματα τῷ Ἐμπεδοκλεῖ; Τί κόπτομεν, φη-
ὶν, ἡμᾶς αὐτοὺς, σπουδάζοντες ὑπὲρ ἡμῶν αὐτῶν,
αὶ ὀρεγόμενοι τινῶν πραγμάτων, καὶ φυλαττόμενοι
ινὰ πράγματα; οὔτε γὰρ ἡμεῖς ἐσμὲν, οὔτ' ἄλλοις
ρώμενοι ζῶμεν. Ἀλλὰ θάῤῥει, φαίη τις ἄν, ὦ φί-
ον Κολωτάριον, οὐδείς σε κωλύει σπουδάζειν ὑπὲρ
αυτοῦ, διδάσκων, ὅτι Κολώτου φύσις αὐτὸς ὁ
ολώτης ἐστὶν, ἄλλο δ' οὐθέν, οὐδὲ χρῆσθαι τοῖς
ράγμασι, (τὰ δὲ πράγματα ὑμῖν ἡδοναί εἰσιν) ὑπο-
εικνύων, ὡς οὐκ ἔστιν ἀμήτων φύσις, οὐδ' ὀσμῶν,
ὐδὲ πλησιάσεως, ἄμητες δέ εἰσι καὶ μύρα καὶ γυ
αῖκες. οὐδὲ γὰρ ὁ γραμματικὸς λέγων, τὸ Βίην
Ἡρακλείην αὐτὸν εἶναι τὸν Ἡρακλέα, οὐδὲ οἱ τὰς
υμφωνίας καὶ τὰς δοκήσεις ἐκφορὰς μόνον εἶναι φά-
οντες, οὐχὶ καὶ φθόγγους καὶ δοκοὺς ὑπάρχειν
γουσιν· ὅπου καὶ ψυχήν τινες ἀναινοῦντες καὶ φρό-
ησιν, οὔτε τὸ ζῆν ἀναιρεῖν, οὔτε τὸ φρονεῖν δο-
οῦσιν. Ἐπικούρου δὲ λέγοντος· Ἡ τῶν ὄντων
ύσις, σώματά ἐστι καὶ τόπος πότερον οὕτως ἀκού-
ιεν, ὡς ἄλλο τι τὴν φύσιν παρὰ τὰ ὄντα βουλομέ-
ου λέγειν, ἢ τὰ ὄντα δηλοῦντος, ἕτερον δὲ μηθέν;
σπερ ἀμέλει καὶ κενοῦ φύσιν, αὐτὸ τὸ κενόν, καὶ
ὴ Δία τὸ πᾶν παντὸς φύσιν ὀνομάζειν εἰωθε. κἂν
τις ἔροιτο· Τί λέγεις, ὦ Ἐπίκουρε, τὸ μέν τι,
ενὸν εἶναι, τὰ δὲ, φύσιν κενοῦ; Μὰ Δία, φήσει·
νόμισται δέ πως ἡ τοιαύτη τῶν ὀνομάτων ὁμιλία.
νόμῳ δὲ, ἢ τί φημὶ καὶ αὐτός). τί οὖν ἕτερον ὁ
Ἐμπεδοκλῆς πεποίηκε, διδάξας, ὅτι φύσις παρὰ τὸ
ούμενον οὐδέν ἐστιν, οὐδὲ θάνατος παρὰ τὸ θνῆ-

σκον. ἀλλ' ὥσπερ οἱ ποιηταὶ πολλάκις ἀνειδωλοποιοῦντες λέγουσιν·

Ἐν δ' ἔρις, ἐν δὲ κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὸν κῆρ· οὕτω γένεσίν τινα καὶ φθορὰν καλοῦσιν οἱ πολλοὶ ἐπὶ τοῖς συνισταμένοις καὶ διαλυομένοις. τοσοῦτον ἐδέησε τοῦ κινεῖν τὰ ὄντα καὶ μάχεσθαι τοῖς φαινομένοις, ὥστε μηδὲ τὴν φωνὴν ἐκβαλεῖν ἐκ τῆς συνηθείας, ἀλλ' ὅλον εἰς τὰ πράγματα βλάπτουσαν ἀπότην παρεῖχεν ἀφελὼν, αὖθις ἀποδοῦναι τοῖς ὀνόμασι τὸ νενομισμένον ἐν τούτοις.

Οἱ δ' ὅτε μὲν κατὰ φῶτα μίγεν φῶς αἰθέρι *
Ἢ κατὰ θηρῶν ἀγροτέρων γένος, ἢ κατὰ θάμνων,
Ἠὲ κατ' οἰωνῶν, τότε μὲν τὸν * γενέσθαι,
Εὖ τε δ' ἀποκριθῶσι, τὰ δ' αὖ δυσδαίμονα πότμον
Εἶναι καλέουσιν· ὅμως δ' ἐπίφημι, καὶ αὐτός.

ὁ Κολώτης παραθέμενος οὐ συνεῖδεν, ὅτι φῶτας μὲν καὶ θῆρας καὶ θάμνους καὶ οἰωνοὺς ὁ Ἐμπεδοκλῆς οὐκ ἀνῄρηκεν, ἅ γε φησὶ μιγνυμένων τῶν στοιχείων ἀποτελεῖσθαι· τοὺς δὲ τῇ συγκρίσει ταύτῃ καὶ διακρίσει φύσιν τινὰ καὶ πότμον δυσδαίμονα καὶ θάνατον ἀλοιτὴν ἐπικατηγοροῦντας, ᾗ σφάλλονται διδάξας, οὐκ ἀφείλετο τὸ χρῆσθαι ταῖς εἰθισμέναις φωναῖς περὶ αὐτῶν.

XII. Ἐμοὶ μέντοι δοκεῖ μὴ τοῦτο κινεῖν τὸ ἐκφορικὸν ὁ Ἐμπεδοκλῆς, ἀλλ', ὃν τρόπον εἴρηται, πραγματικῶς διαφέρεσθαι περὶ τῆς ἐξ οὐκ ὄντων γενέσεως, ἣν φύσιν τινὲς καλοῦσι· δηλοῖ δὲ μάλιστα διὰ τούτων τῶν ἐπῶν·

Νήπιοι· οὐ γάρ σφιν δολιχόφρονές εἰσι μέριμναι,
Οἷ δὴ γίνεσθαι πάρος οὐκ ἐὸν ἐλπίζουσιν,
Ἤ τι καταθνήσκειν τε καὶ ἐξόλλυσθαι πάντη.

ταῦτα γὰρ τὰ ἔπη μέγα βοῶντος ἐστὶ τοῖς ὦτα ἔχουσιν, ὡς οὐκ ἀναιρεῖ γένεσιν, ἀλλὰ τὴν ἐκ μὴ ὄντος, οὐδὲ φθοράν, ἀλλὰ τὴν πάντη, τουτέστι τὴν εἰς τὸ μὴ ὂν ἀπολλύουσαν. ἐπεὶ τῷ γε βουλομένῳ μὴ ἀγρίως οὕτω, μηδ' ἠλιθίως, ἀλλὰ πρᾳότερον συκοφαντεῖν τὸ μετὰ ταῦτα, ἐπὶ τοὐναντίον ἂν αἰτιάσασθαι παράσχοι, τοῦ Ἐμπεδοκλέους λέγοντος·

Οὐκ ἂν ἀνὴρ τοιαῦτα σοφὸς φρεσὶ μαντεύσαιτο,
Ὡς ὄφρα μέν τε βιῶσι, τὸ δὴ βίοτον καλέουσι·
Τόφρα μὲν οὖν εἶσιν καί σφι παρὰ δεινὰ καὶ ἐσθλά,
Πρὶν δὲ παγέν τε βροτοὶ καὶ λυθέν τ' οὐδὲν ἄρ' εἰσίν·

ταῦτα γὰρ οὐκ ἀρνουμένου μὴ εἶναι τοὺς γεγονότας καὶ ζῶντας, ἐστὶν, εἶναι δὲ μᾶλλον οἰομένου καὶ τοὺς μηδέπω γεγονότας καὶ τοὺς ἤδη τεθνηκότας. ἀλλ' ὅλως ὁ Κολώτης τοῦτο μὲν οὐκ ἐγκέκληκε, λέγει δὲ κατ' αὐτὸν οὐδὲ νοσήσειν ἡμᾶς, οὐδὲ τραυματισθήσεσθαι. καὶ πῶς ὁ πρὸ τοῦ βίου καὶ μετὰ τὸν βίον ἑκάστῳ λέγων παρεῖναι δεινὰ καὶ ἐσθλά, περὶ τοὺς ζῶντας οὐκ ἀπολείπει τὸ πάσχειν; τίσιν οὖν ἀληθῶς ἕπεται τὸ μὴ τραυματίζεσθαι, μηδὲ νοσεῖν, ὦ Κολώτα; ὑμῖν τοῖς ἐξ ἀτόμου καὶ κενοῦ συμπεπηγόσιν, ὧν οὐδετέρῳ μέτεστιν αἰσθήσεως. καὶ οὐ τοῦτο δεινόν, ἀλλ' ὅτι μηδὲ ἡδονὴν τὸ ποιῆσον ὑμῖν ἐστι, τῆς μὲν ἀτόμου μὴ δεχομένης τὰ ποιητικὰ, τοῦ δὲ κενοῦ ἧ πάσχοντος ὑπ' αὐτῶν.

XIII. Ἐπεὶ δὲ ὁ μὲν Κολώτης ἐφεξῆς τῷ Δημοκρίτῳ τὸν Παρμενίδην ἐβούλετο συγκατορύσσειν, ἐγὼ δὲ ὑπερβὰς τὰ ἐκείνου, τὰ τοῦ Ἐμπεδοκλέους συλλαβὼν, διὰ τὸ μᾶλλον ἀκολουθεῖν τοῖς πρώτοις ἐγκλήμασιν αὐτοῖς, ἀναλάβωμεν τὸν Παρμενίδην. ἃ μὲν οὖν αὐτόν φησιν αἰσχρὰ σοφίσματα λέγειν ὁ Κολώτης, τούτοις ἐκεῖνος ὁ ἀνὴρ οὐ φιλίαν ἐποίησεν ἀδοξοτέραν, οὐ φιληδονίαν θρασυτέραν, οὐ τοῦ καλοῦ τὸ ἀγωγὸν ἐφ' ἑαυτὸ καὶ δι' ἑαυτὸ τίμιον ἀφεῖλεν, οὐ τὰς περὶ θεῶν δόξας συνετάραξε· τὸ δὲ πᾶν ἓν εἰπὼν, οὐκ οἶδα ὅπως ζῇν ἡμᾶς κεκώλυκε. καὶ γὰρ Ἐπίκουρος, ὅταν λέγῃ, τὸ πᾶν ἄπειρον εἶναι καὶ ἀγέννητον καὶ ἄφθαρτον, καὶ μήτ' αὐξόμενον, μήτε μειούμενον, ὡς περὶ ἑνός τινος διαλέγεται τοῦ παντός· ἐν ἀρχῇ δὲ τῆς πραγματείας ὑπειπὼν, τὴν τῶν ὄντων φύσιν σώματα εἶναι καὶ κενὸν, ὡς μιᾶς οὔσης, εἰς δύο πεποίηται τὴν διαίρεσιν, ὧν θάτερον ὄντως μὲν οὐθέν ἐστιν, ὀνομάζεται δὲ ὑφ' ὑμῶν ἀναφὲς καὶ κενὸν καὶ ἀσώματον. ὥστε καὶ ὑμῖν ἓν τὸ πᾶν ἐστιν εἰ μὴ βούλεσθε κεναῖς φωναῖς περὶ κενοῦ χρῆσθαι, σκιαμαχοῦντες πρὸς τοὺς ἀρχαίους. ἀλλ' ἄπειρα, νὴ Δία, πλήθει τὰ σώματα κατ' Ἐπίκουρόν ἐστι, καὶ γίνεται τῶν φαινομένων ἕκαστον ἐξ ἐκείνων. ὅρα μὴν, οἵας ὑποτίθεσθε πρὸς γένεσιν ἀρχὰς, ἀπειρίαν καὶ κενόν· ὧν τὸ μὲν ἄπρακτον, ἀπαθές, ἀσώματον· ἡ δ' ἄτακτος, ἄλογος, ἀπερίληπτος, αὐτὴν ἀναλύουσα καὶ ταράττουσα, τῷ μὴ κρατεῖσθαι μηδὲ ὁρίζεσθαι διὰ πλῆθος. ἀλλ' ὅγε Παρμενίδης οὔτε πῦρ ἀνῆρηκεν, οὔτε ὕδωρ, οὔτε κρημνὸν, οὔτε πέλαγος,

ὡς φησι Κολώτης, ἐν Εὐρώπῃ καὶ Ἀσίᾳ κατοικουμένας· ὃς γε καὶ διάκοσμον πεποίηται, καὶ στοιχεῖα μιγνὺς, τὸ λαμπρὸν καὶ σκοτεινόν, ἐκ τούτων τὰ φαινόμενα πάντα καὶ διὰ τούτων ἀποτελεῖ· καὶ γὰρ περὶ γῆς εἴρηκε πολλὰ, καὶ περὶ οὐρανοῦ, καὶ ἡλίου, καὶ σελήνης, καὶ ἄστρων· καὶ γένεσιν ἀνθρώπων ἀφήγηται· καὶ οὐδὲν ἄῤῥητον, ὡς ἀνὴρ ἀρχαῖος ἐν φυσιολογίᾳ, καὶ συνθεὶς γραφὴν ἰδίαν, οὐκ ἄλλοτρίαν διαφορὰν, τῶν κυρίων παρῆκεν. ἐπεὶ δὲ καὶ Πλάτων, καὶ Σωκράτης ἔτι πρότερος, συνεῖδεν, ὡς ἔχει τι δοξαστὸν ἡ φύσις, ἔχει δὲ καὶ νοητόν· ἔστι δὲ τὸ μὲν δοξαστὸν, ἀβέβαιον καὶ πλανητὸν ἐν πάθεσι πολλοῖς καὶ μεταβολαῖς, τῷ φθίνειν καὶ αὔξεσθαι, καὶ πρὸς ἄλλον ἄλλως ἔχειν, καὶ μηδ' ἀεὶ πρὸς τὸν αὐτὸν ὡσαύτως τῇ αἰσθήσει· τοῦ νοητοῦ δὲ ἕτερον εἶδος,

Ἔστι γὰρ οὐλομελές τε καὶ ἀτρεμὲς, ἠδ' ἀγένητον, ὡς αὐτὸς εἴρηκε, καὶ ὅμοιον ἑαυτῷ καὶ μόνιμον ἐν τῷ εἶναι· ταῦτα συνοφαντῶν ἐκ τῆς φωνῆς ὁ Κολώτης, καὶ τῷ ῥήματι διώκων οὐ τῷ πράγματι τὸν λόγον, ἁπλῶς φησι πάντα ἀναιρεῖν τῷ ἓν ὂν ὑποτίθεσθαι τὸν Παρμενίδην. ὁ δ' ἀναιρεῖ μὲν οὐδετέραν φύσιν, ἑκατέρα δ' ἀποδιδοὺς τὸ προσῆκον, εἰς μὲν τὴν τοῦ ἑνὸς καὶ ὄντος ἰδέαν τίθεται τὸ νοητὸν, ὃν μὲν ὡς ἀΐδιον καὶ ἄφθαρτον., ἓν δὲ ὁμοιότητι πρὸς αὐτὸ καὶ τῷ μὴ δέχεσθαι διαφορὰν, προσαγορεύσας· εἰς δὲ τὴν ἄτακτον καὶ φερομένην, τὸ αἰσθητόν· ὧν καὶ κριτήριον ἰδεῖν ἐστιν.

Ἡ μέν ἀληθείης εὐπειθέος ἀτρεκὲς ἦθος

τοῦ νοητοῦ καὶ κατὰ ταὐτὰ ἔχοντος ἑαυτὸν ἐπιόμενον,

Ἡ δὲ βροτῶν δόξας, αἷς οὐκ ἔνι πίστις ἀληθής, διὰ τὸ παντοδαπὰς μεταβολὰς καὶ πάθη καὶ ἀνομοιότητας δεχομένοις ὁμιλεῖν πράγμασι. καίτοι τῆς ἂν ἀπέλιπεν αἴσθησιν καὶ δόξαν, αἰσθητὸν μὴ ἀπολιπών, μηδὲ δοξαστόν, οὐκ ἔστιν εἰπεῖν. ἀλλ' ὅτι τῷ μὲν ὄντος ὄντι προσήκει διαμένειν ἐν τῷ εἶναι· ταῦτα δὲ νῦν μέν ἐστι, νῦν δ' οὐκ ἔστιν, ἐξίσταται δ' ἀεί, καὶ μεταλλάσσει τὴν φύσιν, ἑτέρας ὥσπ μᾶλλον, ἢ τῆς ἐκείνου τοῦ ὄντος ἀεὶ δεῖσθαι προσηγορίας. ἣν αὖν ὁ περὶ τοῦ ὄντος, ὡς ἓν εἴη, λόγος, οὐκ ἀναίρεσις τῶν πολλῶν καὶ αἰσθητῶν, ἀλλὰ δήλωσις αὐτῶν τῆς πρὸς τὸ νοητὸν διαφορᾶς· ἣν ἔτι μᾶλλον ἐνδεικνύμενος Πλάτων τῇ περὶ τὰ εἴδη πραγματείᾳ, καὶ αὐτὸς ἀντίληψιν τῷ Κολώτῃ παρέσχε.

XIV. Διὸ καὶ τὰ πρὸς τοῦτον εἰρημένα δοκεῖ μοι λαβεῖν ἐφεξῆς. καὶ πρῶτόν γε τὴν ἐπιμέλειαν καὶ πολυμάθειαν τοῦ φιλοσόφου σκεψώμεθα, λέγοντες, ὅτι τούτοις τοῖς δόγμασι Πλάτωνος ἐπηκολουθήκασιν Ἀριστοτέλης καὶ Ξενοκράτης καὶ Θεόφραστος, καὶ πάντες οἱ Περιπατητικοί. ποῦ γὰρ ὢν τῆς ἀσκήτου τὸ βιβλίον ἔγραφες; ἵνα ταῦτα συντιθεὶς τὰ ἐγκλήματα, μὴ τοῖς ἐκείνων συντάγμασιν ἐντύχῃς, μηδ' ἀναλάβῃς εἰς χεῖρας Ἀριστοτέλους τὰ περὶ οὐρανοῦ καὶ τὰ περὶ ψυχῆς, Θεοφράστου δὲ τὰ πρὸς τοὺς φυσικούς, Ἡρακλείτου δὲ τὸν Ζωροάστρην, τὸ περὶ τῶν ἐν ᾅδου, τὸ περὶ τῶν φυσικῶς ἀποφαινομένων, Δικαιάρχου δὲ τὰ περὶ ψυχῆς, ἐν οἷς πρὸς τὰ

κυριώτατα καὶ μέγιστα τῶν φυσικῶν ὑπεναντιούμενοι τῷ Πλάτωνι καὶ μαχόμενοι διατελοῦσι. καὶ μὴν τῶν ἄλλων Περιπατητικῶν ὁ κορυφαιότατος Στράτων οὔτ' Ἀριστοτέλει κατὰ πολλὰ συμφέρεται, καὶ Πλάτωνι τὰς ἐναντίας ἔσχηκε δόξας περὶ κινήσεως, περὶ νοῦ, καὶ περὶ ψυχῆς, καὶ περὶ γενέσεως· τελευτῶν τὸν κόσμον αὐτὸν οὐ ζῶον εἶναι φησὶ, τὸ δὲ κατὰ φύσιν ἔπεσθαι τῷ κατὰ τύχην· ἀρχὴν γὰρ ἐνδιδόναι τὸ αὐτόματον, εἶτα οὕτω περαίνεσθαι τῶν φυσικῶν παθῶν ἕκαστον. τάς γε μὴν ἰδέας, περὶ ὧν ἐγκαλεῖ τῷ Πλάτωνι, πανταχοῦ κινῶν ὁ Ἀριστοτέλης, καὶ πᾶσαν ἐπάγων ἀπορίαν αὐταῖς, ἐν τοῖς ἠθικοῖς ὑπομνήμασιν, ἐν τοῖς φυσικοῖς, διὰ τῶν ἐξωτερικῶν διαλόγων, φιλονεικότερον ἐνίοις ἔδοξεν ἢ φιλοσοφώτερον ἐκ τῶν δογμάτων τούτων, ὡς προθέμενος τὴν Πλάτωνος ὑπεριδεῖν φιλοσοφίαν· οὕτω μακρὰν ἦν τοῦ ἀκολουθεῖν. τίνος οὖν εὐχερείας ἐστὶ, τὰ δοκοῦντα τοῖς ἀνδράσι μὴ μαθόντα καταψεύδεσθαι τὰ μὴ δοκοῦντα; καὶ πεπεισμένον ἐλέγχειν ἑτέρους, αὐτόγραφον ἐξενεγκεῖν, ἀμαθίας ἔλεγχον καθ' αὑτοῦ καὶ θρασύτητος· ὁμολογεῖν Πλάτωνι φάσκοντα τοὺς διαφερομένους, καὶ ἀκολουθεῖν τοὺς ἀντιλέγοντας.

XV. Ἀλλὰ δὴ Πλάτων φησὶ, τοὺς ἵππους ὑφ' ἡμῶν ματαίως ἵππους εἶναι καὶ τοὺς ἀνθρώπους. καὶ ποῦ τοῦτο τῶν Πλάτωνος συγγραμμάτων ἀποκεκρυμμένον εὗρεν ὁ Κολώτης; ἡμεῖς γὰρ ἐν πᾶσιν ὑπαγινώσκομεν, καὶ τὸν ἄνθρωπον, ἄνθρωπον, καὶ τὸν ἵππον, ἵππον, καὶ τὸ πῦρ, πῦρ ὑπὲ αὐτοῦ δο-

ξαζόμενον· ἢ καὶ δοξαστὸν ὀνομάζει τοῦτο
στον. ὁ δ' οἷα δὴ σοφίας οὐδ' ἀκαρὲς ἀπέχων,
καὶ ταὐτὸν ἔλαβε τὸ μὴ εἶναι τὸν ἄνθρωπον, ὃ
εἶναι μὴ ὃν τὸν ἄνθρωπον. τῷ Πλάτωνι δὲ θ
στῶς ἐδόκει διαφέρειν τὸ μὴ εἶναι τοῦ μὴ ὄν
τῷ μὲν γὰρ ἀναίρεσιν οὐσίας πάσης, τῷ δὲ
τητα δηλοῦσθαι τοῦ μεθεκτοῦ καὶ τοῦ μετέχ
ἣν οἱ μὲν ὕστερον εἰς γένους καὶ εἴδους, καὶ κ
τινῶν καὶ ἰδίων λεγομένων ποιῶν διαφορὰν ἔ
μόνον, ἀνωτέρω δ' οὐ προῆλθον, εἰς λογικὰ
ἀπορίας ἐμπεσόντες. ἔστι δὲ τοῦ μεθεκτοῦ πρ
μετέχον λόγος, ὃν αἰτία τε πρὸς ὕλην ἔχει, κα
ράδειγμα πρὸς εἰκόνα, καὶ δύναμις πρὸς πάθ
γε δὴ μάλιστα τὸ καθ' αὑτὸ καὶ ταὐτὸν ἀεὶ ὂ
ρει τοῦ δι' ἕτερον καὶ μηδέποτε ὡσαυτως ἔχο
ὅτι τὸ μὲν οὔτ' ἔσται ποτὲ μὴ ὄν, οὔτε γέγονε
διὰ τοῦτο πάντως καὶ ὄντως ὄν ἐστι· τὸ δὲ
ὅσον ἀπ' ἄλλου συμβέβηκε μετέχειν τοῦ εἶναι
βαιόν ἐστιν, ἀλλ' ἐξίσταται δι' ἀσθένειαν, ἅ
ὕλης περὶ τὸ εἶδος ὀλισθαινούσης, καὶ πάθη
καὶ μεταβολὰς ἐπὶ τὴν εἰκόνα τῆς οὐσίας, ὥσ
νεῖσθαι καὶ σαλεύεσθαι, δεχομένης. ὥσπερ
λέγων, Πλάτωνα μὴ εἶναι τὴν εἰκόνα τοῦ Πλά
οὐκ ἀναιρεῖ τὴν ὡς εἰκόνος αἴσθησιν αὐτῆς κα
αρξιν, ἀλλ' ἐνδείκνυται καθ' ἑαυτό τινος ὄντο
πρὸς ἐκεῖνο ἑτέρου γεγονότος διαφοράν· οὕτω
φύσιν, οὔτε χρῆσιν, οὔτ' αἴσθησιν ἀνθρώπων
ροῦσιν ῥῖ κοινῆς τινος οὐσίας μετοχῇ καὶ ἰδί
μενον ἡμῶν ἕκαστον εἰκόνα τοῦ παρασχό

ὁμοιότητα τῇ γενέσει προσαγορεύοντες. οὐδὲ γὰρ ὁ πῦρ μὴ λέγων εἶναι τὸν πεπυρωμένον σίδηρον, ἢ τὴν σελήνην ἥλιον, ἀλλὰ, κατὰ Παρμενίδην,

Νυκτιφαὲς περὶ γαῖαν ἀλώμενον, ἀλλότριον φῶς,

ἀναιρεῖ σιδήρου χρῆσιν, ἢ σελήνης φύσιν· ἀλλ' εἰ μὴ λέγει σῶμα, μηδὲ πεφωτισμένον, ἤδη μάχεται ταῖς αἰσθήσεσιν, ὥσπερ ὁ σῶμα καὶ ζῶον καὶ γένεσιν καὶ αἴσθησιν μὴ ἀπολιπών. ὁ δὲ ταῦτα ὑπάρχειν τῷ μετεσχηκέναι, καὶ ὅσον ἀπολείπεται τοῦ ὄντος ἀεὶ καὶ τὸ εἶναι παρέχοντος αὐτοῖς ὑπονοῶν, οὐ παροράᾷ τὸ αἰσθητὸν, ἀλλὰ τὸ νοητὸν οὐ παροράᾷ· οὐδ' ἀναιρεῖ τὰ γινόμενα καὶ φαινόμενα περὶ ἡμᾶς τῶν παθῶν· ἀλλὰ ὅτι βεβαιότερα τούτων ἕτερα καὶ μονιμώτερα πρὸς οὐσίαν ἐστὶ, τῷ μήτε γίνεσθαι, μήτ' ἀπόλλυσθαι, μήτε πάσχειν μηδὲν, ἐνδείκνυται τοῖς ἑπομένοις· καὶ διδάσκει καθαρώτερον τῆς διαφορᾶς ἁπτόμενος τοῖς ὀνόμασι, τὰ μὲν ὄντα, τὰ δὲ γινόμενα προσαγορεύειν. τοῦτο δὲ καὶ τοῖς νεωτέροις συμβέβηκε· πολλὰ γὰρ καὶ μεγάλα πράγματα τῆς τοῦ ὄντος ἀποστεροῦσι προσηγορίας, τὸ κενὸν, τὸν χρόνον, τὸν τόπον, ἁπλῶς τὸ τῶν λεκτῶν γένος, ἐν ᾧ καὶ τἄληθῆ πάντα ἔνεστι· ταῦτα γὰρ ὄντα μὲν μὴ εἶναι, τινὰ δ' εἶναι λέγουσι· χρώμενοι δ' αὐτοῖς ὡς ὑφεστῶσι καὶ ὑπάρχουσιν ἐν τῷ βίῳ καὶ τῷ φιλοσοφεῖν διατελοῦσιν.

XVI. Ἀλλ' αὐτὸν ἡδέως ἂν ἐροίμην τὸν κατήγορον, εἰ τοῖς ἑαυτῶν πράγμασι τὴν διαφορὰν οὐκ ἐνορῶσι ταύτην, καθ' ἣν τὰ μὲν μόνιμα καὶ ἄτρεπτα ταῖς οὐσίαις ἐστὶν, ὡς λέγουσι καὶ τὰς ἀτόμους

ἀπαθείᾳ καὶ στερρότητι πάντα χρόνον ὡσαύτως ἔχειν, τὰ δὲ συγκρίματα πάντα, φευστὰ καὶ μεταβλητὰ, καὶ γινόμενα καὶ ἀπολλύμενα εἶναι, μυρίων μὲν εἰδώλων ἀπιοχομένων ἀεὶ καὶ φοιτώντων, μυρίων δὲ, ὡς εἰκὸς, ἑτέρων ἐκ τοῦ περιέχοντος ἐπιῤῥεόντων, καὶ ἀναπληρούντων τὸ ἄθροισμα, ποικιλλόμενον ὑπὸ τῆς ἐξαλλαγῆς ταύτης καὶ μεταφερομένου, ἅτε δὴ καὶ τῶν ἐν βάθει τοῦ συγκρίματος ἀτόμων οὐδέποτε λήξαι κινήσεως οὐδὲ παλμῶν πρὸς ἕλληλα δυναμένων, ὥσπερ αὐτοὶ λέγουσιν· ἔλλ' ἴσως μὲν ἐν τοῖς πράγμασιν ἡ τοιαύτη διαφορὰ τῆς οὐσίας· σοφώτερος δὲ τοῦ Πλάτωνος ὁ Ἐπίκουρος, ἢ πάντα ὁμοίως ὄντα προσαγορεύει, τὸ ἀνάφες καὶ τὸ ἀντερεῖδον σῶμα, τὰς ἀρχὰς, τὰ συγκρίματα κοινῆς, ναὶ μὰ Δί', ἡγούμενος οὐσίας μετέχειν τὸ εἶδιον τῷ γινομένῳ, τὸ ἀνώλεθρον τῷ φθειρομένῳ, τὰς ἀπαθείς καὶ διαρκεῖς καὶ ἀμεταβλήτους καὶ μηδέποτε τοῦ εἶναι δυναμένας ἐκπεσεῖν φύσεις ταύτας ἢν ἐν τῷ πάσχειν καὶ μεταβάλλειν τὸ εἶναι, ταῖς μηδένα χρόνον ὡσαύτως ἐχούσαις. εἰ δὲ δικαίως, ἐξ ὧν μάλιστα, διήμαρτε τούτου ὁ Πλάτων, ὀνομάτων ὀφείλει συγχύσεως εὐθύνας ὑπέχειν τοῖς ἀκριβέστερον ἑλληνίζουσι τούτοις, καὶ καθαρώτερον διαλεγομένοις, οὐχ ὡς ἀναιρῶν τὰ πράγματα, καὶ τοῦ ζῆν ἐξάγων ἡμᾶς, αἰτίαν ἔχειν, ὅτι τὰ γινόμενα, καὶ οὐκ ὄντα, καθάπερ αὐτοὶ, προσηγόρευσεν.

XVII. Ἀλλ' ἐπεὶ τὸν Σωκράτην μετὰ τὸν Παρμενίδην ὑπερέβημεν, ἀναληπτέος *. οὐδὲν οὖν τὸν ἀφ' ἑρᾶς κεκίνηκεν ὁ Κολώτης· καὶ δυσχεραίνων

ησμὸν ἐκ Δελφῶν περὶ Σωκράτους ἀνήνεγκε
ῶν, ὃν ἴσμεν ἅπαντες, ταῦτ' ἀπείρηκε· Τὸ
τοῦ Χαιρεφῶντος, διὰ τὸ τελέως σοφιστι-
φορτικὸν διήγημα εἶναι, παρήσομεν. φορ-
άρ οὖν ὁ Πλάτων ὁ τοῦτον ἀναγράψας τὸν
ν, ἵνα τοὺς ἄλλους ἐάσω. φορτικώτεροι δὲ
ιμόνιοι, τὸν περὶ Λυκούργου χρησμὸν ἐν
ελαιοτάταις ἀναγραφαῖς ἔχοντες· σοφιστικὸν
ιήγημα τὸ Θεμιστοκλέους, ᾧ πείσας Ἀθηναί-
ν πόλιν ἐκλιπεῖν, κατεναυμάχησε τὸν βάρ-
φορτικοὶ δὲ οἱ τῆς Ἑλλάδος νομοθέται, τὰ
κ καὶ πλεῖστα τῶν ἱερῶν πυθόχρηστα καθι-
;. εἰ τοίνυν ὁ περὶ Σωκράτους, ἀνδρὸς εἰς ἀ-
θεολήπτου γενομένου χρησμὸς ἀνενεχθεὶς, ὡς
, φορτικὸς ἦν καὶ σοφιστικός, τίνι προσείπω-
ως ὀνόματι τοὺς ὑμετέρους βρόμους καὶ ὀλο-
ς καὶ κροτοθορύβους, καὶ σεβάσεις καὶ ἐπι-
ις, αἷς προτρέπεσθε καὶ καθυμνεῖτε τὸν ἐπὶ
παρακαλοῦντα συνεχεῖς καὶ πυκνάς; ὃς ἐν
ς Ἀνάξαρχον ἐπιστολῇ ταυτὶ γέγραφεν· Ἐγὼ
ήδονὰς συνεχεῖς παρακαλῶ, καὶ οὐκ ἐπ' ἀρε-
ὰς καὶ ματαίας, καὶ ταραχώδεις ἐχούσας τῶν
τὰς ἐλπίδας. ἀλλ' ὅμως ὁ μὲν Μητρόδωρος
ιαρχον παρακαλῶν φησί· Ποιήσωμέν τι κα-
καλοῖς, μονονοὺ καταδύντες ταῖς ὁμοιοπα-
καὶ ἀπαλλαγέντες ἐκ τοῦ χαμαὶ βίου τὰ Ἐπι-
ὡς ἀληθῶς θεόφαντα ὄργια. Κολώτης δ' αὖ-
ιούμενος Ἐπικούρου φυσιολογοῦντος, ἅφνω
ασιν αὐτοῦ προσέπεσε, καὶ ταῦτα γράψαι

σεμνυνόμενος αὐτὸς Ἐπίκουρος· Ὡς σεβομένῳ γάρ σοι τὰ τότε ὑφ' ἡμῶν λεγόμενα, προσέπεσεν ἐπιθύμημα ἀφυσιολόγητον, τὸ περιπλακῆναι ἡμῖν γενέτων ἐφαπτόμενον, καὶ πάσης τῆς εἰθισμένης ἐπιλήψεως γίνεσθαι, κατὰ τὰς σεβάσεις τιμῶν καὶ λιτάς· ἐποίεις οὖν, φησὶ, καὶ ἡμᾶς ἀνθιεροῦν σεαυτὸν καὶ ἀντισέβεσθαι. συγγνωστὰ, νὴ Δία, τοῖς λέγουσιν, ὡς πάντες ἂν πρίαιντο τῆς ὄψεως ἐκείνης εἰκόνα γεγραμμένην θεάσασθαι, τοῦ μὲν προσπίπτοντος εἰς γόνατα καὶ περιπλεκομένου, τοῦ δ' ἀντιλιταινεύοντος καὶ ἀντιπροσκυνοῦντος. οὐ μέντοι τὸ θεράπαινα τοῦτο, καίπερ εὖ τῷ Κολώτῃ συντεθὲν, ἔσχε καιρὸν ἔξιον· οὐ γὰρ ἀνηγορεύθη σοφὸς, ἀλλὰ μόνον· Ἄφθαρτός μοι περιπάτει, φησὶ, καὶ ἡμᾶς ἀφθάρτους διαπονεῖ.

XVIII. Τοιαῦτα μέντοι ῥήματα καὶ κινήματα καὶ πάθη συνειδότες αὐτοῖς, ἑτέρους φορτικοὺς ἀποκαλοῦσι. καὶ δῆτα καὶ προσθεὶς ὁ Κολώτης τὰ σοφὰ ταῦτα καὶ καλὰ περὶ τῶν αἰσθήσεων, ὅτι σιτία προσαγόμεθα, καὶ οὐ χόρτον, καὶ τοὺς ποταμοὺς, ὅταν ὦσι μεγάλοι, πλοίοις διαπεραιοῦμεν, ὅταν δ' εὐδιάβατοι γένωνται, τοῖς ποσὶν, ἐπιπεφώνηκεν· Ἀλλὰ γὰρ ἀλαζόνας ἐπετήδευσας λόγους, ὦ Σώκρατες· καὶ ἕτερα μὲν διελέγου τοῖς ἐντυγχάνουσιν, ἕτερα δ' ἔπραττες· πῶς γὰρ οὐκ ἀλαζόνες οἱ Σωκράτους λόγοι, μηδὲν αὐτοῦ εἰδέναι φάσκοντος, ἀλλὰ μανθάνειν ἀεὶ καὶ ζητεῖν τὸ ἀληθές; εἰ δὲ τοιαύταις, ὦ Κολῶτα, Σωκράτους φωναῖς περιέπεσες, οἵας Ἐπίκουρος γράφει πρὸς Ἰδομενέα· Πέμπε οὖν ἀπαρχὰς ἡμῖν εἰς τὴν τοῦ ἱεροῦ σώματος θεραπείαν, ἵνα

τε αὐτοῦ καὶ τέκνων· οὕτω γάρ μοι λέγειν ἐπέρχεται· τίσιν ἂν ῥήμασιν ἀγροικοτέροις ἐχρήσω; καὶ μὴν ὅτι Σωκράτης ἄλλα μὲν ἔλεγεν, ἄλλα δ' ἔπραττε, θαυμαστῶς μαρτυρεῖ σοι τὰ ἐπὶ Δηλίῳ, τὰ ἐν Ποτιδαίᾳ, τὰ ἐπὶ τῶν Τριάκοντα, τὰ πρὸς Ἀρχέλαον, τὰ πρὸς τὸν δῆμον, ἡ πενία, ὁ θάνατος· οὐ γὰρ ἄξια ταῦτα τῶν Σωκρατικῶν λόγων; ἐκεῖνος ἦν, ὦ μακάριε, κατὰ Σωκράτους ἔλεγχος ἕτερα μὲν λέγοντος, ἕτερα δὲ πράττοντος, εἰ τὸ ἡδέως ζῆν τέλος ἐνθέμενος, οὕτως ἐβίωσε.

XIX. Ταῦτα μὲν οὖν πρὸς τὰς βλασφημίας. ὅτι δὲ, οἷς ἐγκαλεῖ περὶ τῶν ἐναργῶν, ἔνοχος αὐτός ἐστιν, οὐ συνεῖδεν. ἓν γάρ ἐστι τῶν Ἐπικούρου δογμάτων, τὸ μηδὲν ἀμεταπείστως πεπεῖσθαι μηδένα, πλὴν τὸν σοφόν· ἐπεὶ τοίνυν ὁ Κολώτης οὐκ ἦν σοφὸς, οὐδὲ μετὰ τὰς σεβάσεις ἐκείνας, ἐρωτάτω πρῶτον ἐκεῖνα τὰ ἐρωτήματα, πῶς σιτία προσάγεται καὶ οὐ χόρτον ἐπιτήδειος ὤν, καὶ τὸ ἱμάτιον τῷ σώματι, καὶ οὐ τῷ κίονι, περιτίθησι, μήτε ἱμάτιον εἶναι τὸ ἱμάτιον, μήτε σιτίον ἀμεταπείστως πεπεισμένος. εἰ δὲ καὶ ταῦτα πράττει, καὶ τοὺς ποταμοὺς, ὅταν ὦσι μεγάλοι, ποσὶν οὐ διέρχεται, καὶ τοὺς ὄφεις φεύγει, καὶ τοὺς λύκους, μηδὲν εἶναι τούτων, οἷον φαίνεται, πεπεισμένος ἀμεταπείστως, ἀλλὰ πράττων ἕκαστα κατὰ τὸ φαινόμενον· οὐδὲ Σωκράτει δήπουθεν ἐμποδὼν ἦν ἡ περὶ τῶν αἰσθήσεων δόξα τοῦ χρῆσθαι τοῖς φαινομένοις ὁμοίως. οὐ γὰρ Κολώτῃ μὲν ὁ ἄρτος ἄρτος ἐφαίνετο, καὶ χόρτος ὁ χόρτος, ὅτι τοὺς διοπτεύῃς ἀνεγνώκει κανόνας. ὁ δὲ Σωκράτης

ὑπ' ἀλαζονείας, ἄρτου μὲν ὡς χόρτον, χόρτου δὲ ὡς ἄρτου, φαντασίαν ἐλάμβανε. δόγμασι γὰρ ἡμῶν καὶ λόγοις οὗτοι χρῶνται βελτίοσιν οὐ σοφοί· τὸ δ' ἡσθάνεσθαι καὶ τυποῦσθαι πρὸς τὰ φαινόμενα, κοινόν ἐστι πάθος, ἀλόγοις περαινόμενον αἰτίαις. ὃ δὲ τὰς αἰσθήσεις λόγος ἐπαγόμενος, ὡς οὐκ ἐπιβλὰς οὐδ' ἀσφαλεῖς πρὸς πίστιν οὔσας, οὐκ ἀναιρεῖ τὸ φαίνεσθαι τῶν πραγμάτων ἡμῖν ἕκαστον, ἀλλὰ χρώμενος κατὰ τὸ φαινόμενον ἐπὶ τὰς πράξεις ταῖς αἰσθήσεσι, τὸ πιστεύειν ὡς ἀληθέσι πάντῃ καὶ ἀδιαπτώτοις οὐ δίδωσιν αὐταῖς· τὸ γὰρ ἀναγκαῖον ἔφη καὶ χρειῶδες ἀπ' αὐτῶν, ὅτι βέλτιον ἕτερον οὐκ ἔστιν· ἦν δὲ ποθεῖ φιλόσοφος ψυχὴ λαβεῖν ἐπιστήμην περὶ ἑκάστου καὶ γνῶσιν, οὐκ ἔχουσι.

XX. *Περὶ* μὲν οὖν τούτων καὶ πάλιν ὁ Κολώτης εἰπεῖν παρέξει, ταῦτα πολλοῖς ἐγκεκληκώς. ἐν οἷς δὲ κομιδῇ διαγελᾷ καὶ φλαυρίζει τὸν Σωκράτην, ζητοῦντα, τί ἄνθρωπός ἐστι, καὶ νεανιευόμενον, ὡς φησὶν, ὅτι μηδ' αὐτὸς εἰδείη, δῆλος μέν ἐστιν αὐτὸς οὐδέποτε πρὸς τοῦτῳ γενόμενος· ὁ δὲ Ἡράκλειτος, ὡς μέγα τι καὶ σεμνὸν διαπεπραγμένος· Ἐδιζησάμην, φησὶν, ἐμεωυτόν. καὶ τῶν ἐν Δελφοῖς γραμμάτων θειότατον εἶδόκει τὸ, Γνῶθι σαυτόν· ὃ δὴ καὶ Σωκράτει ἀπορίας καὶ ζητήσεως ταύτης ἀρχὴν ἐνέδωκεν, ὡς Ἀριστοτέλης ἐν τοῖς Πλατωνικοῖς εἴρηκε· Κολώτῃ δὲ γελοῖον δοκεῖ. τί οὖν οὐ καταγελᾷ καὶ τοῦ καθηγεμόνος, τοῦτο αὐτὸ πράττοντος, ὁσάκις γράφοι καὶ διαλέγοιτο περὶ οὐσίας ψυχῆς καὶ τοῦ ἄθρόου τῆς καταρχῆς; εἰ γὰρ τὸ ἐξ ἀμφοῖν, ὡς ἀξιοῦσιν οὗτοι,

σώματος τοιοῦδε καὶ ψυχῆς, ἄνθρωπός ἐστιν, ὃ ζητῶν ψυχῆς φύσιν, ἀνθρώπου ζητεῖ φύσιν ἐκ τῆς κυριωτέρας ἀρχῆς. ὅτι δὲ αὕτη λόγῳ δυσθεώρητος, αἰσθήσει δ' ἁληπτός ἐστι, μὴ παρὰ Σωκράτους, σοφιστοῦ καὶ ἀλαζόνος ἀνδρὸς, ἀλλὰ παρὰ τῶν σοφῶν τούτων λάβωμεν, οἳ μέχρι τῶν περὶ σάρκα τῆς ψυχῆς δυνάμεων, αἷς θερμότητα καὶ μαλακότητα καὶ τόνον παρέχει τῷ σώματι, τὴν οὐσίαν συμπηγνύντες αὐτῆς ἔκ τινος θερμοῦ καὶ πνευματικοῦ καὶ ἀερώδους, οὐκ ἐξικνοῦνται πρὸς τὸ κυριώτατον, ἀλλ' ἀπαγορεύουσι. τὸ γὰρ ᾧ κρίνει καὶ μνημονεύει, καὶ φιλεῖ καὶ μισεῖ, καὶ ὅλως τὸ φρόνιμον καὶ λογιστικὸν ἔκ τινος, φησὶν, ἀκατονομάστου ποιότητος ἐπιγίνεσθαι. καὶ ὅτι μὲν αἰσχυνομένης ἐστὶν ἀγνοίας τοῦτὶ τὸ ἀκατονόμαστον ἐξομολόγησις, οὐκ ἔχειν ὀνομάσαι φασκόντων, ὃ μὴ δύνανται καταλαβεῖν, ἴσμεν· ἐχέτω δὲ συγγνώμην καὶ τοῦτο, ὡς λέγουσι. φαίνεται γὰρ οὐ φαῦλον οὐδὲ ῥᾴδιον, οὐδὲ τοῦ τυχόντος εἶναι καταμαθεῖν, ἀλλ' ἐνδεδυκὸς ἀπόρῳ τινὶ τόπῳ, καὶ δεινῶς ἀποκεκρυμμένον, ᾧ γ' ὄνομα μηδὲν ἐν τοσούτοις πρὸς δήλωσιν οἰκεῖόν ἐστιν. οὐ Σωκράτης οὖν ἀβέλτερος, ὅστις εἴη ζητῶν ἑαυτὸν, ἀλλὰ πάντες, οἷς ἔπεισί τι τῶν ἄλλων πρὸ τούτου ζητεῖν ὅτι τὴν γνῶσιν ἀναγκαίαν ἔχον, οὕτως εὑρεθῆναι χαλεπόν ἐστιν· οὐ γὰρ ἂν ἐλπίσειεν ἑτέρου λαβεῖν ἐπιστήμην, ὃν διαπέφευγε τῶν ἑαυτοῦ τὸ κυριώτατον καταλαβεῖν.

XXI. Ἀλλὰ διδόντες αὐτῷ, τὸ μηδὲν οὕτως ἄχρηστον εἶναι μηδὲ φορτικὸν, ὡς τὸ ζητεῖν αὐτὸν,

ἐρώμεθα, τίς αὕτη τοῦ βίου σύγχυσίς ἐστιν, ἢ πῶς ἐν τῷ ζῆν οὐ δύναται διαμένειν ἀνὴρ, ὅτε τύχοι πρὸς ἑαυτὸν ἀναλογιζόμενος, φέρε, τίς ὢν οὗτος ὁ ἐγὼ τυγχάνω; πότερον ὡς κρᾶμα τὸ μεμιγμένον ἔκ τε τῆς ψυχῆς καὶ τοῦ σώματος; ἢ μᾶλλον ἡ ψυχὴ τῷ σώματι χρωμένη, καθάπερ ἱππεὺς ἀνὴρ ἵππῳ χρώμενος; οὐ τὸ ἐξ ἵππου καὶ ἀνδρός; ἢ τῆς ψυχῆς τὸ κυριώτατον, ᾧ φρονοῦμεν καὶ λογιζόμεθα καὶ πράττομεν, ἕκαστος ἡμῶν ἐστι; τὰ δὲ λοιπὰ καὶ ψυχῆς μόρια πάντα καὶ σώματος, ὄργανα τῆς τούτου δυνάμεως; ἢ τὸ παράπαν οὐκ ἔστιν οὐσία ψυχῆς, ἀλλ' αὐτὸ τὸ σῶμα κεκραμένον τὴν τοῦ φρονεῖν καὶ ζῆν ἔσχηκε δύναμιν; ἀλλὰ τούτοις μὲν οὐκ ἀναιρεῖ τὸν βίον ὁ Σωκράτης, ἃ δὴ πάντες οἱ φυσικοὶ ζητοῦσιν· ἐκεῖνα δ' ἦν τὰ ἐν Φαίδρῳ δεινὰ καὶ ταρακτικὰ τῶν πραγμάτων, αὐτὸν οἰομένου δεῖν ἀναθεωρεῖν, εἴτε τυφῶνός ἐστι θηρίον πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμένον, εἴτε θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον. ἀλλὰ τούτοις γε τοῖς ἐπιλογισμοῖς οὐ τὸν βίον ἀνῄρει, τὴν δ' ἐμβροντησίαν ἐκ τοῦ βίου καὶ τὸν τύφον ἐξήλαυνε, καὶ τὰς ἐπαχθεῖς καὶ ὑπερόγκους κατοικήσεις καὶ μεγαλαυχίας· ταῦτα γὰρ ὁ τυφών ἐστιν, ὃν πολὺν ὑμῖν ἐποίησεν ὁ καθηγεμών, καὶ θεοῖς πολεμῶν καὶ θείοις ἀνδράσι.

XXII. *Μετὰ δὲ Σωκράτην καὶ Πλάτωνα προσμάχεται Στίλπωνι· καὶ τὰ μὲν ἀληθινὰ δόγματα καὶ τοὺς λόγους τοῦ ἀνδρὸς, οἷς ἑαυτόν τε κατεκόσμει καὶ πατρίδα καὶ φίλους, καὶ τῶν βασιλέων τοὺς περὶ αὐτὸν σπουδάσαντας, οὔτε γέγραφε, οὐδὲ ὅσων ἦν*

φρόνημα τῇ ψυχῇ μετὰ πραότητος καὶ μετριοπαθείας· ὧν δὲ παίζων καὶ χρώμενος γέλωτι πρὸς τοὺς σοφιστὰς λογαρίων προὔβαλεν αὐτοῖς, ἑνὸς μνησθεὶς, καὶ μηδὲν εἰπὼν πρὸς τοῦτο, μηδὲ λύσας τὴν πιθανότητα, τραγῳδίαν ἐπάγει τῷ Στίλπωνι, καὶ, τὸν βίον ἀναιρεῖσθαι, φησὶν, ὑπ᾽ αὐτοῦ, λέγοντος, ἕτερον ἑτέρου μὴ κατηγορεῖσθαι· πῶς γὰρ βιωσόμεθα, μὴ λέγοντες ἄνθρωπον ἀγαθὸν, μηδ᾽ ἄνθρωπον στρατηγὸν, ἀλλ᾽ ἄνθρωπον ἄνθρωπον, καὶ χωρὶς, ἀγαθὸν ἀγαθὸν, καὶ στρατηγὸν στρατηγὸν, μηδὲ ἱππεῖς μυρίους, μηδὲ πόλιν ἐχυρὰν, ἀλλὰ ἱππεῖς ἱππεῖς, καὶ μυρίους μυρίους, καὶ τἆλλα ὁμοίως. τίς δὲ διὰ ταῦτα χεῖρον ἐβίωσεν ἄνθρωπος; τίς δὲ τὸν λόγον ἀκούσας οὐ συνῆκεν, ὅτι παίζοντός ἐστιν εὐμούσως, ἢ γύμνασμα τοῦτο προβάλλοντος ἑτέροις διαλεκτικόν; οὐκ ἄνθρωπον, ὦ Κολῶτα, μὴ λέγειν ἀγαθὸν, οὐδὲ ἱππεῖς μυρίους, δεινόν ἐστιν· ἀλλὰ τὸν θεὸν μὴ λέγειν θεὸν, μηδὲ νομίζειν, ὃ πράττετε ὑμεῖς, μήτε Δία γενέθλιον, μήτε Δήμητραν θεσμοφόρον εἶναι, μήτε Ποσειδῶνα φυτάλμιον ὁμολογεῖν ἐθέλοντες, οὗτος ὁ χωρισμὸς τῶν ὀνομάτων πονηρός ἐστι, καὶ τὸν βίον ἐμπίπλησιν ὀλιγωρίας ἀθέου καὶ θρασύτητος, ὅταν τὰς συνεζευγμένας τοῖς θεοῖς προσηγορίας ἀποσπῶντες, συναναιρεῖτε θυσίας, μυστήρια, πομπὰς, ἑορτάς. τίνι γὰρ προτέλεια θύσομεν; τίνι σωτήρια; πῶς δὲ φωσφόρεια, βακχεῖα, προτέλεια γάμων ἄξομεν, μὴ ἀπολιπόντες μηδὲ βακχεῖς, καὶ φωσφόρους, καὶ προηρουσίους, καὶ σωτῆρας; ταῦτα γὰρ ἅπτεται τῶν κυριωτάτων καὶ μεγ-

στων, ἐν πράγμασιν ἔχοντα τὴν ἀπάτην, οὐ περὶ φωνάς τινας, οὐδὲ λεκτῶν σύνταξιν, οὐδ' ὀνομάτων συνήθειαν. ὡς εἴ γε καὶ ταῦτα τὸν βίον ἀνατρέπει, τίνες μᾶλλον ὑμῶν πλημμελοῦσι περὶ τὴν διάλεκτον, οἳ τὸ τῶν λεκτῶν γένος οὐσίαν τῷ λόγῳ παρέχοντες, ἄρθρα ἀναιρεῖτε, τὰς φωνὰς καὶ τὰ τυγχάνοντα μόνον ἀπολιπόντες, τὰ δὲ μεταξὺ σημαινόμενα πράγματα, δι' ὧν γίνονται μαθήσεις, διδασκαλίαι, προλήψεις, νοήσεις, ὁρμαί, συγκαταθέσεις, τὸ παράπαν οὐδ' εἶναι λέγοντες.

XXIII. *Οὐ μὴν ἀλλὰ τὸ ἐπὶ Στίλπωνος τοιοῦτόν ἐστιν. εἰ περὶ ἵππου τὸ τρέχειν κατηγορεῖσθαι; οὐ φησι ταὐτὸν εἶναι τῷ περὶ οὗ κατηγορεῖται τὸ κατηγορούμενον, ἀλλ' ἕτερον μὲν ἀνθρώπῳ τοῦ τὶ ἦν εἶναι τὸν λόγον, ἕτερον δὲ τῷ ἀγαθῷ· καὶ πάλιν τὸ, ἵππον εἶναι, τοῦ, τρέχοντα εἶναι, διαφέρειν· ἑκατέρου γὰρ ἀπαιτούμενοι τὸν λόγον, οὐ τὸν αὐτὸν ἀποδίδομεν ὑπὲρ ἀμφοῖν. ὅθεν ἁμαρτάνειν τοὺς ἕτερον ἑτέρου κατηγοροῦντας *. εἰ μὲν γὰρ ταὐτόν ἐστι τῷ ἀνθρώπῳ τὸ ἀγαθόν, καὶ τῷ ἵππῳ τὸ τρέχειν, πῶς καὶ σιτίου καὶ φαρμάκου τὸ ἀγαθόν; καὶ νὴ Δία πάλιν λέοντος καὶ κυνὸς τὸ τρέχειν, κατηγοροῦμεν; εἰ δ' ἕτερον, οὐκ ὀρθῶς ἄνθρωπον ἀγαθόν, καὶ ἵππον τρέχειν, λέγομεν. εἴπερ οὖν ἐν τούτοις ἐξαιμάξει πικρῶς ὁ Στίλπων, τῶν ἐν ὑποκειμένῳ καὶ καθ' ὑποκειμένου λεγομένων μηδεμίαν ἀπολιπὼν συμπλοκὴν πρὸς τὸ ὑποκείμενον, ἀλλ' ἕκαστον αὐτῶν, εἰ μὴ κομιδῇ ταὐτὸν ᾧ συμβέβηκε λέγεται, μηδὲ ὡς συμβεβηκὸς οἰόμενος δεῖν περὶ αὐτοῦ λέγ-*

ιθαι, φωναῖς τισὶ δυσκολαίνων καὶ πρὸς τὴν συνήθειαν ἀνιστάμενος, οὐ τὸν βίον ἀναιρῶν, οὐδὲ τὰ πράγματα δῆλός ἐστι.

XXIV. *Γενόμενος δ' οὖν ὁ Κολώτης ἀπὸ τῶν παλαιῶν, τρέπεται πρὸς τοὺς καθ' ἑαυτὸν φιλοσόφους, οὐδενὸς τιθεὶς ὄνομα· καίτοι καλῶς εἶχε καὶ τούτους ἐλέγχειν ἐπ' ὀνόματος, ἢ μηδὲ τοὺς παλαιούς. ὁ δὲ τὸν Σωκράτην καὶ τὸν Πλάτωνα καὶ τὸν Παρμενίδην τοσαυτάκις θέμενος ὑπὸ τὸ γραφεῖον, δῆλός ἐστιν ἀποδειλιάσας πρὸς τοὺς ζῶντας, οὐ μετριάσας ὑπ' αἰδοῦς, ἣν τοῖς κρείττοσιν οὐκ ἔνειμε. βούλεται δὲ προτέρους μὲν, ὡς ὑπονοῶ, τοὺς Κυρηναϊκοὺς ἐλέγχειν, δευτέρους δὲ τοὺς περὶ Ἀρκεσίλαον ἀκαδημαϊκούς. οὗτοι γὰρ ἦσαν οἱ περὶ πάντων ἐπέχοντες· ἐκεῖνοι δὲ τὰ πάθη καὶ τὰς φαντασίας ἐν αὐτοῖς τιθέντες, οὐκ ᾠοντο, τὴν ἀπὸ τούτων πίστιν εἶναι διαρκῆ πρὸς τὰς ὑπὲρ τῶν πραγμάτων κατασβαιώσεις· ἀλλ' ὥσπερ ἐν πολιορκίᾳ τῶν ἐκτὸς ἀποπάντες, εἰς τὰ πάθη κατέκλεισαν αὐτοὺς, τὸ φαίνεσθαι τιθέμενοι, τὸ δ' ἐστὶ προσαποφαινόμενοι περὶ τῶν ἐκτός. διό φησιν αὐτοὺς ὁ Κολώτης μὴ δύνασθαι ζῆν μηδὲ χρῆσθαι τοῖς πράγμασιν· εἶτα κωμῳδῶν· Οὗτοι, φησὶν, ἄνθρωπον εἶναι καὶ ἵππον καὶ τοῖχον οὐ λέγουσιν, αὐτοὺς δὲ τοιχοῦσθαι καὶ ἱππεύεσθαι καὶ ἀνθρωποῦσθαι· πρῶτον αὐτοῖς, ὥσπερ οἱ γυναικοφάνται, κακοῦργος χρώμενος τοῖς ὀνόμασιν. ἔπειτα μὲν γὰρ ἀμέλει καὶ ταῦτα τοῖς ἀνδράσιν· ἔδει δὲ, ἃ ἐκεῖνοι διδάσκουσι, δηλοῦν τὸ γινόμενον· γλυκέσθαι γάρ λέγουσι καὶ πικραίνεσθαι καὶ φωτι-*

ζεσθαι καὶ σκοτίζεσθαι, τῶν παθῶν τούτων ἑκάστου τὴν ἐνέργειαν οἰκείαν ἐν αὐτῷ καὶ ἀπερίσπαστον ἔχοντος· εἰ δὲ γλυκὺ τὸ μέλι, καὶ πικρὸς ὁ θαλλὸς, καὶ ψυχρὰ ἡ χάλαζα, καὶ θερμὸς ὁ ἄκρατος, καὶ σκοτεινὸς ὁ τῆς νυκτὸς ἀὴρ, ὑπὸ πολλῶν ἀντιμαρτυρεῖσθαι, καὶ θηρίων, καὶ πραγμάτων, καὶ ἀνθρώπων, τῶν μὲν δυσχεραινόντων * τῶν δὲ προσιεμένων τὴν θαλλίαν, καὶ ἀποκαρομένων ὑπὸ τῆς χαλάζης, καὶ καταψυχομένων ὑπὸ οἴνου, καὶ πρὸς τὸν ἥλιον ἀμβλυωττόντων, καὶ νύκτωρ βλεπόντων. ὅθεν ἐμμένουσα τοῖς πάθεσιν ἡ δόξα, διατηρεῖ τὸ ἀναμάρτητον· ἐκβαίνουσα δὲ καὶ πολυπραγμονοῦσα τῷ κρίνειν καὶ ἀποφαίνεσθαι περὶ τῶν ἐκτὸς, αὑτήν τε πολλάκις ταράσσει, καὶ μάχεται πρὸς ἑτέρους ἀπὸ τῶν αὐτῶν ἐναντία πάθη καὶ διαφόρους φαντασίας λαμβάνοντας.

XXV. Ὁ δὲ Κολώτης ἔοικε τὸ αὐτὸ πάσχειν τοῖς νεωστὶ γράμματα μανθάνουσι τῶν παίδων, οἱ τοὺς χαρακτῆρας ἐν τοῖς πυξίοις ἐθιζόμενοι λέγειν, ὅταν ἔξω γεγραμμένους ἐν ἑτέροις ἴδωσιν, ἀμφιγνοοῦσι καὶ ταράττονται· καὶ γὰρ οὗτος, οὓς ἐν τοῖς Ἐπικούρου γράμμασιν ἀσπάζεται καὶ ἀγαπᾷ λόγους, οὐ συνίησιν οὐδὲ γινώσκει, λεγομένους ὑφ' ἑτέρων. οἱ γὰρ, εἰδώλου προσπίπτοντος ἡμῖν περιφεροῦς, ἑτέρου δὲ κεκλασμένου, τὴν μὲν αἴσθησιν ἀληθῶς τυποῦσθαι λέγοντες, προσαποφαίνεσθαι δ' οὐκ ἐῶντες, ὅτι στρογγύλος ὁ πύργος ἐστὶν, ἡ δὲ κώπη κέκλασται, τὰ πάθη τὰ αὑτῶν καὶ τὰ φαντάσματα βεβαιοῦσι, τὰ δ' ἐκτὸς οὕτως ἔχειν ὁμολογῶν οὐκ

υσιν, ἀλλ' ὡς ἐκείνοις τὸ ἱππoῦσθαι καὶ τὸ
ὖσθαι λεκτέον, οὐχ ἵππον οὐδὲ τοῖχον, οὕτως
ὸ στρογγυλoῦσθαι, καὶ τὸ σκαληνoῦσθαι τὴν
οὐ σκαληνὸν οὐδὲ στρόγγυλον ἀνάγκη τὸν
ν λέγειν· τὸ γὰρ εἴδωλον, ὑφ' οὗ πέπονθεν ἢ
κεκλασμένον ἐστίν· ἡ κώπη δὲ, ἀφ' ἧς τὸ εἴ-
, οὐκ ἔστι κεκλασμένη. διαφορὰν οὖν τοῦ πά-
πρὸς τὸ ὑποκείμενον ἐκτὸς ἔχοντος, ἢ μένειν
ῦ πάθους δεῖ τὴν πίστιν, ἢ τὸ εἶναι τῷ φαί-
ι προσαποφαινομένην ἐλέγχεσθαι. τὸ δὲ δὴ
αὐτοὺς, καὶ ἀγανακτεῖν ὑπὲρ τῆς αἰσθήσεως,
ουσι, τὸ ἐκτὸς εἶναι θερμὸν, ἀλλὰ τὸ ἐν αὐτῇ.
; γέγονε τοιοῦτον· ἆρ' οὐ ταὐτόν ἐστι τῷ λεγο-
περὶ τῆς γεύσεως, ὅτι τὸ ἐκτὸς οὔ φησιν εἶναι
, πάθος δέ τι καὶ κίνημα περὶ αὐτὴν γεγονέναι
:ον; ὁ δὲ λέγων ἀνθρωποειδῆ φαντασίαν λαμ-
, εἰ δ' ἄνθρωπός ἐστι μὴ αἰσθάνεσθαι, πό-
ἔληφε τὰς ἀφορμάς; οὐ παρὰ τῶν λεγόντων
ιοειδῆ φαντασίαν λαμβάνειν, εἰ δὲ καμπύλον
μὴ προσαποφαίνεσθαι τὴν ὄψιν, μηδ' ὅτι
γύλον, ἀλλά τι φάντασμα περὶ αὐτὴν καὶ τύ-
στρογγυλοειδὲς γέγονε; νὴ Δία, φήσει τις,
γὼ τῷ πύργῳ προσελθών, καὶ τῆς κώπης ἁψά-
, ἀποφαινοῦμαι, τὴν μὲν εὐθεῖαν εἶναι, τὸν
ύγωνον· ἐκεῖνος δὲ, κἂν ἐγγὺς γένηται, τὸ
', καὶ τὸ φαίνεσθαι, πλέον δ' οὐδέν, ὁμολο-
καὶ μὰ Δία σοῦ γε μᾶλλον, ὦ βέλτιστε, τὸ
νθον ὁρῶν καὶ φυλάττων, τὸ πᾶσαν εἶναι
ίαν ὁμοίως ἀξιόπιστον ὑπὲρ ἑαυτῆς, ὑπὲρ

ἄλλου δὲ μηδεμίαν, ἀλλ' ἐπίσης ἔχειν· σοὶ δ' οἴεται τὸ πάσας ὑπάρχειν ἀληθεῖς, ἄπιστον δὲ παντελῶς μηδεμίαν, εἰ ταύταις μὲν οἷόν δεῖν προσαποφαίνεσθαι περὶ τῶν ἐκτὸς, ἐκείναις δὲ * τοῦ πάσχειν πλέον οὐδὲν ἐπίστευες. εἰ μὲν γὰρ ἐπίσης ἔχουσαι ἐγγὺς γενόμεναι, καὶ μακρὰν οὖσαι, πᾶσι πίστιν, ἃ πάσαις δίκαιόν ἐστιν, ἢ μηδὲ ταύταις ἕπεσθαι τὴν προσαποφαινομένην τὸ εἶναι πρίσιν. εἰ δὲ γίνεται διαφορὰ τοῦ πάθους ἀποστᾶσι καὶ ἐλθοῦσι, φανερόν ἐστι τὸ μήτε φαντασίαν μήτ' αἴσθησιν ἑτέραν ἑτεραγεστέραν ὑπάρχειν. καθάπερ ἃς λέγουσιν ἐκμαγεῖα ῥήσεις καὶ ἀντιμαρτυρήσεις οὐθέν εἰσι πρὸς τὴν αἴσθησιν, ἀλλὰ πρὸς τὴν δόξαν· ὥστε εἰ αὐταῖς ἐπιμένους ἀποφαίνεσθαι περὶ τῶν ἐκτὸς κελεύουσι, τῇ δόξῃ κρίμα τὸ εἶναι, τῇς δ' αἰσθήσεως πάθος τὸ φαινόμενον ποιοῦντες, ἀπὸ τοῦ πάντως ἀληθοῦς τὴν κρίσιν ἐπὶ τὸ διαπίπτον πολλάκις μεταφέρουσιν.

XXVI. Ἀλλὰ ταῦτα μὲν ὅσης ἐστὶ μεστὰ ταραχῆς καὶ μάχης πρὸς ἑαυτὰ, τί δεῖ λέγειν ἐν τῷ παρόντι; τοῦ δ' Ἀρκεσιλάου τὸν Ἐπίκουρον οὐ μετρίως ἔοικεν ἡ δόξα παραλυπεῖν, ἐν τοῖς τότε χρόνοις μάλιστα τῶν φιλοσόφων ἀγαπηθέντος· μηθὲν γὰρ αὐτὸν ἴδιον λέγοντα, φησὶν, ὑπόληψιν ἐμποιῆσαι καὶ δόξαν ἀνθρώποις ἀγραμμάτοις, ἅτε δὴ πολυγράμματος αὐτὸς ὢν καὶ μεμουσωμένος. ὁ δ' Ἀρκεσίλαος τοσοῦτον ἀπέδει τοῦ καινοτομίας τινὰ δόξαν ἀγαπᾶν καὶ ὑποποιεῖσθαι τῶν παλαιῶν, ὥστ' ἐγκαλεῖν τοὺς τότε σοφιστὰς, ὅτι προστρίβεται Σωκράτει καὶ Πλάτωνι καὶ Παρμενίδῃ καὶ Ἡρακλείτῳ τὰ πάντα ῥεῖν

ἐποχῆς δόγματα καὶ τῆς ἀκαταληψίας, οὐδὲν δεομένοις, ἀλλὰ οἷον ἀναγωγὴν καὶ βεβαίωσιν αὐτῶν εἰς ἄνδρας ἐνδόξους ποιούμενος. ὑπὲρ μὲν οὖν τούτου Κολώτῃ χάρις, καὶ παντὶ τῷ τὸν Ἀκαδημαϊκὸν λόγον ἄνωθεν ἥκειν εἰς Ἀρκεσίλαον ἀποφαίνοντι. τὴν δὲ περὶ πάντων ἐποχὴν οὐδ' οἱ πολλὰ πραγματευσάμενοι, καὶ κατατείναντες εἰς τοῦτο συγγράμματα καὶ λόγους, ἐκίνησαν· ἀλλ' ἐκ τῆς Στοᾶς αὐτῆς τελευτῶντες, ὥσπερ Γοργόνα, τὴν ἀπραξίαν ἐπάγοντες ἀπηγόρευσαν, ὡς πάντα πειρῶσι καὶ στρέφουσιν αὐτοῖς οὐχ ὑπήκουσεν ἡ ὁρμὴ γενέσθαι συγκατάθεσις, οὐδὲ τῆς φοπῆς ἀρχὴν ἐδέξατο τὴν αἴσθησιν, ἀλλ' ἐξ ἑαυτῆς ἀγωγὸς ἐπὶ τὰς πράξεις ἐφάνη, μὴ δεομένη τοῦ προστίθεσθαι. νομιμοι γὰρ οἱ πρὸς ἐκείνους ἀγῶνές εἰσι· καὶ

Ὀπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις.

Κολώτῃ δ' οἶμαι τὰ περὶ ὁρμῆς καὶ συγκαταθέσεως, ὅπως λύρας ἀκρόασιν εἶναι. λέγεται δὲ τοῖς συνεπομένοις καὶ ἀκούουσιν, ὅτι, τριῶν περὶ ψυχὴν κινημάτων ὄντων, φανταστικοῦ καὶ ὁρμητικοῦ καὶ συγκαταθετικοῦ, τὸ μὲν φανταστικὸν οὐδὲ βουλομένοις ἀνελεῖν ἐστιν, ἀλλ' ἀνάγκη προεντυγχάνοντες τοῖς πράγμασι, τυποῦσθαι καὶ πάσχειν ὑπ' αὐτῶν· τὸ δὲ ὁρμητικὸν ἐγειρόμενον ὑπὸ τοῦ φανταστικοῦ πρὸς τὰ οἰκεῖα, πρακτικῶς κινεῖ τὸν ἄνθρωπον, οἷον φοπῆς ἐν τῷ ἡγεμονικῷ καὶ νεύσεως γινομένης· οὐδὲ τοῦτο οὖν ἀναιροῦσιν οἱ περὶ πάντων ἐπέχοντες, ἀλλὰ χρῶνται τῇ ὁρμῇ φυσικῶς ἀγούσῃ πρὸς τὸ φαινόμενον οἰκεῖον. τί οὖν φεύγουσι μόνον; ᾧ μόνῳ

ψεῦδος ἐμφύεται καὶ ἀπάτη, τὸ δοξάζειν καὶ πίπτειν τὴν συγκατάθεσιν, εἶξιν οὖσαν ὑπ' νείας τῷ φαινομένῳ, χρήσιμον δ' οὐδὲν ἔχου γὰρ πρᾶξις δυοῖν δεῖται, φαντασίας τοῦ ο καὶ πρὸς τὸ φανὲν οἰκεῖον ὁρμῆς, ὧν οὐδέτε ἐποχῇ μάχεται. δόξης γὰρ, οὐχ ὁρμῆς οὐδὲ σίας, ὁ λόγος ἀφίστησιν. ὅταν οὖν φανῇ τὸ κεῖον, οὐθὲν δεῖ πρὸς τὴν ἐπ' αὐτὸ κίνησιν ρὰν δόξης, ἀλλ' ἦλθεν εὐθὺς ἡ ὁρμὴ, κίνησι καὶ φορὰ τῆς ψυχῆς.

XXVII. Καὶ μὴν αὐτῶν γε τούτων, ὡς σιν ἔχειν δεῖ, καὶ σάρκινον εἶναι, καὶ φανεῖτο νὴ ἀγαθόν. οὐκοῦν καὶ τῷ ἐπέχοντι ἀγαθὸν ται· καὶ γὰρ αἰσθήσεως μετέχει, καὶ σάρκινό καὶ λαβὼν ἀγαθοῦ φαντασίαν, ὁρέγεται καὶ πάντα πράττων, ὅπως οὐ διαφεύξεται αὐτὸν, ὡς ἀνυστὸν ἀεὶ συνέσται τῷ οἰκείῳ, φυσικαὶ γεωμετρικαῖς, ἑλκόμενος ἀνάγκαις· ἄνευ διδασ γὰρ αὐτὰ προκαλεῖται τὰ καλὰ ταῦτα καὶ λεί προσηνῆ κινήματα τῆς σαρκὸς, ὡς αὐτοί φασι τοι, καὶ τὸν πάνυ μὴ φάσκοντα μηδὲ ὁμολογ κάμπτεσθαι καὶ μαλάσσεσθαι τούτοις. ἀλλ οὐκ εἰς ὄρος ἄπεισι τρέχων ὁ ἐπέχων, ἀλλ' εἰς νεῖον; οὐδὲ πρὸς τὸν τοῖχον, ἀλλὰ πρὸς τὰς ἀναστὰς βαδίζει, βουλόμενος εἰς ἀγορὰν προελ τοῦτ' ἐρωτᾷς, ἀκριβῆ τὰ αἰσθητήρια λέγων καὶ τὰς φαντασίας ἀληθεῖς; ὅτι φαίνεται δῆπ κύτῳ βαλανεῖον, οὐ τὸ ὄρος, ἀλλὰ τὸ βαλα καὶ θύρα, οὐχ ὁ τοῖχος, ἀλλὰ ἡ θύρα· καὶ

λων ὁμοίως ἕκαστον. ὁ γὰρ τῆς ἐποχῆς λόγος οὐ παρατρέπει τὴν αἴσθησιν, οὐδὲ τοῖς ἀλόγοις πάθεσιν αὐτοῖς καὶ κινήμασιν ἀλλοίωσιν ἐμποιεῖ διαταράττουσαν τὸ φανταστικὸν, ἀλλὰ τὰς δόξας μόνον ἀναιρεῖ· χρῆται δὲ τοῖς ἄλλοις, ὡς πέφυκεν. ἀλλ' ἀδύνατον· τὸ μὴ συγκατατίθεσθαι τοῖς ἐναργέσι· τὸ γὰρ ἀρνεῖσθαι τὰ πεπιστευμένα, τοῦ μήτ' ἀρνεῖσθαι, μήτε τιθέναι, παραλογώτερον. τίς οὖν κινεῖ τὰ πεπιστευμένα, καὶ μάχεται τοῖς ἐναργέσιν; οἱ καντικὴν ἀναιροῦντες, καὶ πρόνοιαν ὑπάρχειν θεῶν μὴ φάσκοντες, μηδὲ τὸν ἥλιον ἔμψυχον εἶναι, μηδὲ τὴν σελήνην, οἷς πάντες ἄνθρωποι θύουσι καὶ προσεύχονται καὶ σέβονται· τὸ δὲ φύσει περιέχεσθαι τὰ τεκόντα τῶν γειναμένων, οὐχὶ πᾶσι φαινόμενον ἀναιρεῖτε; τὸ δὲ πόνου καὶ ἡδονῆς μηδὲν εἶναι μέσον οὐκ ἀποφαίνεσθε παρὰ τὴν πάντων αἴσθησιν, ἥδεσθαι τὸ μὴ ἀλγεῖν, καὶ πάσχειν τὸ μὴ * λέγοντες.

XXVIII. Ἀλλ' ἵνα τἄλλα ἐάσω, τί μᾶλλον ἐναργὲς οὕτως ἐστὶ καὶ πεπιστευμένον, ὡς τὸ παρορᾷν καὶ παρακούειν ἐν πάθεσιν ἐκστατικοῖς καὶ μελαγχολικοῖς ὄντα; ὅταν ἡ διάνοια τοιαῦτα πάσχῃ καὶ τεράττηται,

Αἱ δέ με δᾳδοφόροι μελανείμονες ὄμμα πυροῦσι

* Μητέρα ἀγκάλαις ἐμὴν ἔχουσα.

Ἀλλ' ἔστι μέντοι καὶ πολλὰ τούτων ἕτερα τραγικώτερα τοῖς Ἐμπεδοκλέους ἐοικότα τεράτεσι, ὧν καταγελῶσιν,

Ἐλλίποδα κριτόχειρα καὶ βουγενῆ ἀνδρόπωρα,

καὶ τίνα γὰρ οὐκ ὄψιν ἢ φάσιν ἔκφυλον εἰς
συνενεγκόντες ἐκ τῶν ἐνυπνίων καὶ τῶν παρ
οὐδὲν εἶναί φασι παρόραμα τούτων, οὐδὲ
οὐδ' ἀσύστατον, ἀλλὰ φαντασίας ἀληθεῖς
καὶ σώματα καὶ μορφὰς ἐκ τοῦ περιέχοντος ἀ
μένας. εἶτα ἐστὶ τί τῶν ὄντων ἀδύνατον ἐπι
ταῦτα πιστεύεσθαι δυνατόν ἐστιν; ἆ γὰ
σκευοποιός, ἢ πλάστης θαυμάτων, ἢ γραφεὺ
ἐτόλμησε μίξαι πρὸς ἅπαντα εἰκάσματα κ
γνια, ταῦτα ὑπάρχειν ἀπὸ σπουδῆς τεθέμεν
λον δὲ ὅλως, εἰ ταῦτα μὴ ὑπάρχοι, πίστιν ο
καὶ βεβαιότητα καὶ κρίσιν ἀληθείας φάσκον
τοὶ καταβάλλουσιν εἰς ἀφασίαν πάντα πρ
καὶ τοῖς κρίσεσι φόβους, καὶ ταῖς πράξεσιν
ἐπάγουσιν, εἰ τὰ πραττόμενα καὶ νομιζόμ
συνήθη καὶ ἀνὰ χεῖρα ἡμῖν ἐπὶ τῆς αὐτῆς
σίας καὶ πίστεως ὀχεῖται τοῖς μανικοῖς καὶ
καὶ παρανόμοις ἐκείνοις φάσμασιν. ἢ γὰρ
ἦν ὑποτίθενται πᾶσι, τῶν νενομισμένων ἀ
μᾶλλον, ἢ προστίθησι τοῖς παραλόγοις τὴν
ὅθεν ἴσμεν οὐκ ὀλίγους τῶν φιλοσόφων ἢ
θεμένους τὸ μηδεμίαν, ἢ πάσας ἀληθεῖς ε
φαντασίας, καὶ μᾶλλον ἄν, οἷς οὐ παρατυγ
διαπιστήσαντας ἀνθρώποις καὶ πράγμασι κο
ἁπλῶς ἅπασιν, ἢ μίαν ἐκείνων ἀληθῆ καὶ ὑ
σαν εἶναι φαντασίαν πεισθέντας, ἃς λυττ
κορυβαντιῶντες ἢ κοιμώμενοι λαμβάνουσιν.
νυν ἔστι μὲν ἀναιρεῖν, ἔστι δ' ὡς οὐκ ἔστιν
περὶ αὐτῶν, εἰ μηδὲν ἄλλο, τήν γε διαφω

τὴν λαβόντας αἰτίαν ἀποχρῶσαν ὑπονοίας πρὸς τὰ πράγματα, καὶ οὕτως ὑγιὲς οὐδέν, ἀσάφειαν δὲ καὶ ταραχὴν ἔχοντας πᾶσαν. ταῖς μέν γε περὶ κόσμων ἀπειρίας, καὶ ἀτόμων φύσεως, καὶ ἀμερῶν καὶ παρεγκλίσεων διαφοραῖς, εἰ καὶ πάνυ πολλοὺς διαταράττουσιν, ἔνεστιν ὅμως παραμυθία, τὸ μηδὲν ἐγγὺς εἶναι, μᾶλλον δὲ ὅλως ἐπέκεινα τῆς αἰσθήσεως ἀπῳκίσθαι τῶν ζητουμένων ἕκαστον· ἡ δ' ἐν ὀφθαλμοῖς αὕτη καὶ ἀκοαῖς καὶ χερσὶν ἀπιστία καὶ ταραχὴ καὶ ἄγνοια περὶ τὰ αἰσθητὰ καὶ τὰς φαντασίας, εἴτ' ἀληθεῖς εἰσιν, εἴτε ψευδεῖς, τίνα δόξαν οὐ σαλεύει; ποίαν δ' οὐκ ἄνω καὶ κάτω ποιεῖ συγκατάθεσιν καὶ κρίσιν; εἰ γὰρ οὐ κραιπαλῶντες, οὐδὲ φαρμακῶντες ἄνθρωποι καὶ παρακόπτοντες, ἀλλὰ νήφοντες καὶ ὑγιαίνοντες καὶ γράφοντες περὶ ἀληθείας καὶ κανόνων καὶ κριτηρίων, ἐν τοῖς ἐναργεστάτοις πάθεσι καὶ κινήμασι τῆς αἰσθήσεως, ἢ τὸ ἀνύπαρκτον ἀληθὲς, ἢ ψεῦδος καὶ ἀνύπαρκτον ἡγοῦνται τὸ ἀληθὲς, οὐκ εἰ περὶ πάντων ἡσυχάζουσιν, ἀλλ' εἴ τισιν ὅλως συγκατατίθενται ἀνθρώποις θαυμάζειν ἄξιον· οὐδ' ἄπιστον, εἰ μηδεμίαν κρίσιν ἔχουσι περὶ τῶν φαινομένων, ἀλλ' εἰ τὰς ἐναντίας ἔχουσι. τοῦ γὰρ ἐναντία λέγειν ἀλλήλοις καὶ ἀντικείμενα, τὸ μηδέτερον τιθέναι, ἀλλ' ἐπέχειν περὶ τῶν ἀντικειμένων, ἧττον ἄν τις θαυμάσειεν· ὁ γὰρ μὴ τιθεὶς, μήτ' ἀρνούμενος, ἀλλὰ ἡσυχάζων, καὶ τῷ τιθέντι τὴν δόξαν ἧττον μάχεται τοῦ ἀρνουμένου, καὶ τῷ ἀρνουμένῳ τοῦ τιθέντος. εἰ δὲ περὶ τούτων δυνατόν ἐστιν ἐπέχειν, οὐδὲ περὶ τῶν ἄλλων ἀδύνατον, κατά γε ὑμᾶς.

αἴσθησιν αἰσθήσεως, καὶ φαντασίαν φαντα
ὅτιοῦν διαφέρειν ἡγουμένους.

XXIX. Οὐ μῦθος οὖν οὐδὲ Θήρα μ
λαμύρων καὶ προπετῶν ὁ περὶ τῆς ἐποχῆς λό
ὡς οἴεται Κολώτης, ἀλλὰ ἕξις ἀνδρῶν καὶ
φυλάττουσα τὸ ἀδιάπτωτον, καὶ μὴ προσιε
διαβεβλημέναις οὕτω καὶ δυστατούσαις α
τὴν κρίσιν, μηδὲ συνεξαπατωμένη τούτοι
φαινόμενα τῶν ἀδήλων πίστιν ἔχειν φάσκου
στίαν τοσαύτην καὶ ἀσάφειαν ἐν τοῖς φαι
ὁρῶντες. ἀλλὰ μῦθος μέν ἐστιν ἡ ἀπειρία κ
δωλα, προπέτειαν δὲ καὶ λίαμυρίαν ἐμποι
περὶ Πυθοκλέους οὔπω γεγονότος ὀκτωκαί
γράφων, οὐκ εἶναι φύσιν ἐν ὅλῃ τῇ Ἑλλάδι
καὶ τερατικῶς αὐτὸν εὖ ἀπαγγέλλειν, καὶ
αὖ τὸ τῶν γυναικῶν, εὐχόμενος, ἀνεμέση
πάντα καὶ ἀνεπίφθονα τῆς ὑπερβολῆς τοῖ
σκου. σοφισταὶ δέ εἰσι καὶ ἀλαζόνες οἱ πρὸ
ἐλλογίμους οὕτως ἀσελγῶς καὶ ὑπερηφάνως
τες. καίτοι Πλάτων καὶ Ἀριστοτέλης καὶ Θε
καὶ Δημόκριτος ἀντειρήκασι τοῖς πρὸ αὐτῶν.
δὲ τοιαύτην ἐπιγραφὴν ἔχον ὁμοῦ πρὸς ἅπα
δεὶς ἄλλος ἐξενεγκεῖν ἐτόλμησεν.

XXX. Ὅθεν, ὥσπερ οἱ περὶ τὸ θεῖον
λήσαντες, ἐξαγορεύων τὰ ἑαυτοῦ κακά, τελ
ἤδη τοῦ βιβλίου φησὶν, ὅτι τὸν βίον, οἱ
διατάξαντες καὶ νόμιμα, καὶ τὸ βασιλεύε
πόλεις καὶ ἄρχεσθαι καταστήσαντες, ὡ
ἀσφάλειαν καὶ ἡσυχίαν ἔθεντο, καὶ θορύ

λεξαν· εἰ δέ τις ταῦτα ἀναιρήσει, θηρίων βίον βιωσόμεθα, καὶ ὁ προστυχὼν τὸν ἐντυγχάνοντα μονονοὶ κατέδεται. τοῦτο γὰρ ὁ Κολώτης αὐταῖς λέξεσιν ἐκπεφώνηκεν, οὐ δικαίως, οὐδ' ἀληθῶς. ἂν γὰρ ἀνελὼν τις τοὺς νόμους, τὰ Παρμενίδου καὶ Σωκράτους καὶ Ἡρακλείτου καὶ Πλάτωνος ἀπολίπῃ δόγματα, πολλοῦ δεήσομεν ἀλλήλους κατεσθίειν, καὶ θηρίων βίον ζῆν· φοβησόμεθα γὰρ τὰ αἰσχρὰ, καὶ τιμήσομεν ἐπὶ τῷ καλῷ δικαιοσύνην, θεοὺς, ἄρχοντας ἀγαθοὺς καὶ δαίμονας ἔχειν τοῦ βίου φύλακας ἡγούμενοι, καὶ τὸν ὑπὲρ γῆς καὶ ὑπὸ γῆν χρυσὸν ἀρετῆς ἀντάξιον μὴ τιθέμενοι, καὶ ποιοῦντες ἑκουσίως διὰ τὸν λόγον, ἢ φησὶ Ξενοκράτης, ἃ νῦν ἄκοντες, διὰ τὸν νόμον. πότε οὖν ἔυται θηριώδης καὶ ἄγριος καὶ ἄμικτος ἡμῶν ὁ βίος; ὅταν ἀναιρεθῶσι μὲν οἱ νόμοι, μένωσι δὲ οἱ πρὸς ἡδονὴν παρακαλοῦντες λόγοι· πρόνοια δὲ θεῶν μὴ νομίζηται σοφοὺς δὲ ἡγῶνται τοὺς τῷ καλῷ προσπτύοντας, ἂν ἡδονὴ μὴ προσῇ· χλευάζωσι δὲ ταῦτα καὶ γελῶσιν·

Ἔστιν δίκης ὀφθαλμὸς, ὃς τὰ πάνθ' ὁρᾷ·

καί·

Πέλας γὰρ ἐστὼς ὁ θεὸς ἐγγύθεν βλέπει.

καί· Ὁ μὲν θεὸς, ὥσπερ δὴ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν ἔχων τοῦ παντὸς, εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος· τῷ δ' ἕπεται Δίκη, τῶν ἀπολειπομένων τιμωρὸς τοῦ θείου νόμου. οἱ γὰρ τούτων καταφρονοῦντες ὡς μύθων, καὶ περὶ γαστέρα τἀγαθὸν ἡγούμενοι, καὶ τοὺς ἄλλους πόρους, δι' ὧν ἡδονὴ παραγίνεται, νόμου δι-

αἴσθησιν αἰσθήσεως, καὶ φαντασίαν φαντασίας οὐδ' ὁτιοῦν διαφέρειν ἡγουμένους.

XXIX. Οὐ μῦθος οὖν οὐδὲ θήρα μειρακίων λαμύρων καὶ προπετῶν ὁ περὶ τῆς ἐποχῆς λόγος ἐστὶν, ὡς οἴεται Κολώτης, ἀλλὰ ἕξις ἀνδρῶν καὶ διάθεσις φυλάττουσα τὸ ἀδιάπτωτον, καὶ μὴ προσιεμένη ταῖς διαβεβλημέναις οὕτω καὶ δυστατούσαις αἰσθήσεσι τὴν κρίσιν, μηδὲ συνεξαπατωμένη τούτοις, οἷ τὰ φαινόμενα τῶν ἀδήλων πίστιν ἔχειν φάσκουσιν, ἀπιστίαν τοσαύτην καὶ ἀσάφειαν ἐν τοῖς φαινομένοις ὁρῶντες. ἀλλὰ μῦθος μέν ἐστιν ἡ ἀπειρία καὶ τὰ εἴδωλα, προπέτειαν δὲ καὶ λίμυρίαν ἐμποιεῖ νέοις ὁ περὶ Πυθοκλέους οὕπω γεγονότος ὀκτωκαιδέκα ἔτη γράφων, οὐκ εἶναι φύσιν ἐν ὅλῃ τῇ Ἑλλάδι ἀμείνω, καὶ τερατικῶς αὐτὸν εὖ ἀπαγγέλλειν, καὶ πάσχειν αὖ τὸ τῶν γυναικῶν, εὐχόμενος, ἀνεμέσητα εἶναι πάντα καὶ ἀνεπίφθονα τῆς ὑπερβολῆς τοῦ νεανίσκου. σοφισταὶ δέ εἰσι καὶ ἀλαζόνες οἱ πρὸς ἄνδρας ἐλλογίμους οὕτως ἀσελγῶς καὶ ὑπερηφάνως γράφοντες. καίτοι Πλάτων καὶ Ἀριστοτέλης καὶ Θεόφραστος καὶ Δημόκριτος ἀντειρήκασι τοῖς πρὸ αὐτῶν. βιβλίον δὲ τοιαύτην ἐπιγραφὴν ἔχον ὁμοῦ πρὸς ἅπαντας οὐδεὶς ἄλλος ἐξενεγκεῖν ἐτόλμησεν.

XXX. Ὅθεν, ὥσπερ οἱ περὶ τὸ θεῖον πλημμελήσαντες, ἐξαγορεύων τὰ ἑαυτοῦ κακὰ, τελευτῶντος ἤδη τοῦ βιβλίου φησὶν, ὅτι τὸν βίον, οἱ νόμους διατάξαντες καὶ νόμιμα, καὶ τὸ βασιλεύεσθαι τὰς πόλεις καὶ ἄρχεσθαι καταστήσαντες, ὡς πολλὴν ἀσφάλειαν καὶ ἡσυχίαν ἔθεντο, καὶ θορύβου ἐκλ-

λεξαν· εἰ δέ τις ταῦτα ἀναιρήσει, θηρίων βίον βιωσόμεθα, καὶ ὁ προστυχὼν τὸν ἐντυγχάνοντα μονονοὶ κατέδεται. τοῦτο γὰρ ὁ Κολώτης αὐταῖς λέξεσιν ἐκπεφώνηκεν, οὐ δικαίως, οὐδ' ἀληθῶς. ἂν γὰρ ἀνελὼν τις τοὺς νόμους, τὰ Παρμενίδου καὶ Σωκράτους καὶ Ἡρακλείτου καὶ Πλάτωνος ἀπολίπῃ δόγματα, πολλοῦ δεήσομεν ἀλλήλους κατεσθίειν, καὶ θηρίων βίον ζῆν· φοβησόμεθα γὰρ τὰ αἰσχρὰ, καὶ τιμήσομεν ἐπὶ τῷ καλῷ δικαιοσύνην, θεοὺς, ἄρχοντας ἀγαθοὺς καὶ δαίμονας ἔχειν τοῦ βίου φύλακας ἡγούμενοι, καὶ τὸν ὑπὲρ γῆς καὶ ὑπὸ γῆν χρυσὸν ἀρετῆς ἀντάξιον μὴ τιθέμενοι, καὶ ποιοῦντες ἑκουσίως διὰ τὸν λόγον, ἃ φησὶ Ξενοκράτης, ἃ νῦν ἄκοντες, διὰ τὸν νόμον. πότε οὖν ἔυται θηριώδης καὶ ἄγριος καὶ ἄμικτος ἡμῶν ὁ βίος; ὅταν ἀναιρεθῶσι μὲν οἱ νόμοι, μένωσι δὲ οἱ πρὸς ἡδονὴν παρακαλοῦντες λόγοι· πρόνοια δὲ θεῶν μὴ νομίζηται· σοφοὺς δὲ ἡγῶνται τοὺς τῷ καλῷ προσπτύοντας, ἂν ἡδονὴ μὴ προσῇ· χλευάζωσι δὲ ταῦτα καὶ γελῶσιν.

Ἔστιν δίκης ὀφθαλμὸς, ὃς τὰ πάνθ' ὁρᾷ·

καὶ·

Πέλας γὰρ ἐστὼς ὁ θεὸς ἐγγύθεν βλέπει.

καὶ· Ὁ μὲν θεὸς, ὥσπερ δὴ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν ἔχων τοῦ παντὸς, εὐθεῖα περαίνει κατὰ φύσιν περιπορευόμενος· τῷ δ' ἕπεται Δίκη, τῶν ἀπολειπομένων τιμωρὸς τοῦ θείου νόμου. οἱ γὰρ τούτων καταφρονοῦντες ὡς μύθων, καὶ περὶ γαστέρα τἀγαθὸν ἡγούμενοι, καὶ τοὺς ἄλλους πόρους, δι' ὧν ἡδονὴ παραγίνεται, νόμου δι-

*οντιαι καὶ φόβου καὶ πληγῆς, καὶ βασιλέως τινὸς καὶ ἄρχοντος ἐν χειρὶ τὴν δίκην ἔχοντος, ἵνα μὴ τοὺς πλησίον κατεσθίωσιν ὑπὸ λαιμαργίας ἀθεότητι θρασυνομένης. καὶ γὰρ ὁ τῶν θηρίων βίος τοιοῦτός ἐστιν, ὅτι τῆς ἡδονῆς οὐδὲν ἐπίσταται κάλλιον, οὐδὲ δίκην θεῶν οἶδεν, οὐδὲ σέβεται τῆς ἀρετῆς τὸ κάλλος, ἀλλ' εἴ τι θαῤῥαλέον αὐτοῖς ἢ πανοῦργον ἢ δραστήριον ἐκ φύσεως ἔνεστι, τούτῳ πρὸς ἡδονὴν σαρκὸς καὶ ἀποπλήρωσιν ὀρέξεως χρῆται· καθάπερ οἴεται δεῖν ὁ σοφὸς Μητρόδωρος, λέγων, τὰ καλὰ πάντα καὶ σοφὰ καὶ περιττὰ τῆς ψυχῆς εὑρήματα τῆς κατὰ σάρκα ἡδονῆς ἕνεκα καὶ τῆς ἐλπίδος τῆς ὑπὲρ ταύτης συνεστάναι, καὶ πᾶν εἶναι κενὸν ἔργον, ὃ μὴ εἰς τοῦτο κατατείνει. τούτοις τοῖς διαλογισμοῖς καὶ φιλοσοφήμασιν ἀρθέντων νόμων, ὄνυχες λύκων ἐνδέουσι καὶ ὀδόντες λεόντων, καὶ γαστέρες βοῶν, καὶ τράχηλοι καμήλων· καὶ ταῦτα τὰ πάθη καὶ τὰ δόγματα λόγων καὶ γραμμάτων ἄπορία τὰ θηρία βρυχήμασι καὶ χρεμετισμοῖς καὶ * καὶ πᾶσα φωνὴ γαστρός ἐστιν αὐτοῖς καὶ σαρκὸς ἡδονὴν ἀσπαζομένη καὶ σαίνουσα παροῦσαν ἢ μέλλουσαν, εἰ μή τι φύσει φιλόφωνόν ἐστι καὶ κωτίλον.*

XXXI. *Οὐδεὶς οὖν ἔπαινος ἄξιος ἂν γένοιτο τῶν ἐπὶ ταῦτα τὰ πάθη τὰ θηριώδη νόμους θεμένων, καὶ πολιτείας καὶ ἀρχάς, καὶ νόμων διάταξιν. ἀλλά τινες εἰσὶν οἱ ταῦτα συγχέοντες καὶ καταλύοντες, καὶ ἄρδην ἀναιροῦντες; οὐχ οἱ πολιτείας ἀφιστάντες αὐτοὺς καὶ τοὺς πλησιάζοντας; οὐχ οἱ τὸν τῆς ἀταραξίας στέφανον ἀσύμβλητον εἶναι τοῖς μ-*

αις ἡγεμονίαις λέγοντες; οὐχ οἱ τὸ βασιλεύειν ρτίαν καὶ διάπτωσιν ἀποφαίνοντες; καὶ ῥάφορ- αὐταῖς λέξεσιν, ὅτι λέγειν δεῖ, πῶς τις ἄριστα ῆς φύσεως τέλος συντηρήσει, καὶ πῶς τις ἀκὼν ι μὴ πρόσεισιν ἐξ ἀρχῆς ἐπὶ τοὺς τῶν πληθῶν ὰς· καὶ ἔτι ταῦτα πρὸς ἐκείνοις· Οὐδὲν οὖν δεῖ τοὺς Ἕλληνας σώζειν, οὐδ' ἐπὶ σοφίᾳ στει- ου παρ' αὐτῶν τυγχάνειν, ἀλλ' ἐσθίειν καὶ πί- , ὦ Τιμόκρατες, ἀβλαβῶς τῇ σαρκὶ καὶ κεχαρι- νως. ἀλλὰ μὴν ἥς γε καὶ Κολώτης ἐπαινεῖ δια ως τῶν νόμων, πρῶτόν ἐστιν ἡ περὶ θεῶν δόξα, μέγιστον, ᾗ καὶ Λυκοῦργος Λακεδαιμονίους, Νομᾶς Ῥωμαίους, καὶ Ἴων ὁ παλαιὸς Ἀθηναί- , καὶ Δευκαλίων Ἕλληνας ὁμοῦ τι πάντας κα ίωσαν, εὐχαῖς καὶ ὅρκοις, καὶ μαντεύμασι καὶ αις, ἐμπαθεῖς πρὸς τὰ θεῖα δι' ἐλπίδων ἅμα καὶ ων κατασκέψαντες. εὗροις δ' ἂν ἐκείνων καὶ πόλεις χίστους, ἀγραμμάτους, ἀβασιλεύτους, ἀοίκους, ημίτους, νομίσματος μὴ δεομένας, ἀπείρους θεά- ν καὶ γυμνασίων· ἀνιέρου δὲ πόλεως καὶ ἀθέου, μὴ ιάσης εὐχαῖς, μηδὲ ὅρκοις, μηδὲ μαντείαις, μηδὲ ίαις ἐπ' ἀγαθοῖς, μηδ' ἀποτροπαῖς κακῶν, οὐ- έστιν, οὐδ' ἔσται γεγονὼς θνατός· ἀλλὰ πόλις ιοι δοκεῖ μᾶλλον ἐδάφους χωρὶς, ἢ πολιτεία τῆς θεῶν δόξης ἀναιρεθείσης παντάπασι, σύστασιν ὧν, ἢ λαβοῦσα τηρῆσαι· τοῦτο μέντοι τὸ συν- κὸν ἁπάσης κοινωνίας καὶ νομοθεσίας ἔρεισμα βέβαιον οὐ κύκλῳ περιϊόντες, οὐδὲ κρύφα καὶ ὑγμάτων, ἀλλὰ τὴν πρώτην τῶν κυριωτάτων

δοξῶν προσλαβόντες εὐθὺς ἀνατρέπουσιν. εἶθ' ὥσπερ ὑπὸ ποινῆς ἑλαυνόμενοι, δεινὰ ποιεῖν ὁμολογοῦσι, συγχέοντες τὰ νόμιμα, καὶ τὰς διατάξεις τῶν νόμων ἀναιροῦντες, ἵνα μηδὲ συγγνώμης τύχωσι. τὸ μὲν γὰρ ἁμαρτάνειν περὶ δόξαν, εἰ καὶ μὴ σοφῶν, ὅμως ἀνθρώπινόν ἐστι· τὸ δ' ἐγκαλεῖν ἑτέροις, ἅπερ αὐτοὶ πράττουσι, πῶς ἄν τις εἴποι, φειδόμενος τῶν ἀξίων ὀνομάτων.

XXXII. *Εἰ γὰρ πρὸς Ἀντίδωρον, ἢ Βίωνα τὸν σοφιστὴν, γράφων ἐμνήσθη νόμων καὶ πολιτείας, καὶ διατάξεως, οὐκ ἄν τις εἶπεν αὐτῷ·*

Μέν', ὦ ταλαίπωρε, ἀτρέμας σοῖς ἐν δεμνίοις, περιστέλλων τὸ σαρκίδιον· ἐμοὶ δὲ περὶ τούτων οἰκονομικῶς καὶ πολιτικῶς βεβιωκότες ἐγκαλείτωσαν; εἰσὶ δὲ οὗτοι πάντες, οἷς Κολώτης λελοιδόρηκεν. ὧν Δημόκριτος μὲν παραινεῖ, τὴν τε πολεμικὴν τέχνην μεγίστην οὖσαν ἐκδιδάσκεσθαι, καὶ τοὺς πόνους διώκειν, ἀφ' ὧν τὰ μεγάλα καὶ λαμπρὰ γίνονται τοῖς ἀνθρώποις. Παρμενίδης δὲ τὴν ἑαυτοῦ πατρίδα διεκόσμησε νόμοις ἀρίστοις, ὥστε τὰς ἀρχὰς καθ' ἕκαστον ἐνιαυτὸν ἐξορκῶσαι τοὺς πολίτας ἐμμένειν τοῖς Παρμενίδου νόμοις. Ἐμπεδοκλῆς δὲ τοὺς τε πρώτους τῶν πολιτῶν ὑβρίζοντας καὶ διαφοραῦντας τὰ κοινὰ ἐξελέγξας, τήν τε χώραν ἀπήλλαξεν ἀκαρπίας καὶ λοιμοῦ, διασφίγας ὄρους ἀποτειχίσας, δι' ὧν ὁ νότος εἰς τὸ πεδίον ὑπερέβαλλε. Σωκράτης δὲ, μετὰ τὴν καταδίκην φυγῆς αὐτῷ μεμηχανημένης ὑπὸ φίλων, οὐκ ἐχρήσατο, τοὺς νόμους βεβαιῶν, ἀλλ' ἀδίκως ἀποθανεῖν εἵλετο μᾶλλον ἢ σωθῆναι, παρα-

νόμως. Μέλισσος δὲ, τῆς πατρίδος στρατηγῶν, Ἀθηναίους κατεναυμάχησε. Πλάτων δὲ καλοὺς μὲν ἐν γράμμασι λόγους περὶ νόμων καὶ πολιτείας ἀπέλιπε, πολὺ δὲ κρείττονας ἐνεποίησε τοῖς ἑταίροις, ἀφ' ὧν Σικελία διὰ Δίωνος ἠλευθεροῦτο, καὶ Θρᾴκη διὰ Πύθωνος καὶ Ἡρακλείδου Κότυν ἀνελόντων, Ἀθηναίων δὲ Χαβρίαι στρατηγοὶ καὶ Φωκίωνες ἐξ Ἀκαδημίας ἀνέβαινον. Ἐπίκουρος μὲν γὰρ εἰς Ἀσίαν ἐξέπεμπε τοὺς Τιμοκράτει λοιδορησομένους, καὶ τῇ βασιλικῇς ἐξελῶν αὐλῆς τὸν ἄνθρωπον, ὅτι Μητροδώρῳ προσέκρουσεν ἀδελφὸς ὤν· καὶ ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται τοῖς ἐκείνων. Πλάτων δὲ τῶν ἑταίρων ἐξαπέστειλεν, Ἀρκάσι μὲν Ἀριστώνυμον διακοσμήσοντα τὴν πολιτείαν, Ἠλείοις δὲ Φορμίωνα, Μενέδημον δὲ Πυῤῥαίοις. Εὔδοξος δὲ Κνιδίοις, καὶ Ἀριστοτέλης Σταγειρίταις, Πλάτωνος ὄντες συνήθεις, νόμους ἔγραψαν· παρὰ δὲ Ξενοκράτους Ἀλέξανδρος ὑποθήκας ᾔτησε περὶ βασιλείας· ὁ δὲ πεμφθεὶς πρὸς Ἀλέξανδρον ὑπὸ τῶν ἐν Ἀσίᾳ κατοικούντων Ἑλλήνων, καὶ μάλιστα διακαύσας καὶ παροξύνας ἄψασθαι τοῦ πρὸς τοὺς βαρβάρους πολέμου, Δήλιος ἦν Ἐφέσιος, ἑταῖρος Πλάτωνος. Ζήνων τοίνυν, ὁ Παρμενίδου γνώριμος, ἐπιθέμενος Δημύλῳ τῷ τυράννῳ, καὶ δυστυχήσας περὶ τὴν πρᾶξιν, ἐν πυρὶ τὸν Παρμενίδου λόγον, ὥσπερ χρυσὸν, ἀκήρατον καὶ δόκιμον παρέσχε, καὶ ἀπέδειξεν ἔργοις, ὅτι τὸ αἰσχρὸν ἀνδρὶ μεγάλῳ φοβερόν ἐστιν, ἀλγηδόνα δὲ παῖδες, καὶ γύναια, καὶ γυναίων ψυχὰς ἔχοντες ἄνδρες δειδίασι· τὴν

γὰρ γλῶτταν αὐτοῦ διατρώγων, τῷ τυράννῳ προσ-
έπτυσεν.

XXXIII. Ἐκ δὲ τῶν Ἐπικούρου λόγων καὶ δο-
γμάτων, οὐ λέγω, τίς τυραννοκτόνος ἢ τίς ἀριστεὺς,
ἢ τίς νομοθέτης, ἢ τίς ἄρχων, ἢ βασιλέως σύμβουλος,
ἢ δήμου προστάτης, βεβασανισμένος ὑπὲρ τῶν δι-
καίων, ἢ τεθνηκώς· ἀλλά τίς τῶν σοφῶν ἔπλευσεν
ὑπὲρ τῆς πατρίδος, ἐπρίσβευσεν, ἀνήλωσε; ποῦ γέ-
γραπται πολιτικὴ πρᾶξις ὑμῖν; καίτοι ὅτι Μητρό-
δωρος εἰς Πειραιᾶ κατέβη σταδίους τεσσαράκοντα,
Μίθρῃ τινὶ Σύρῳ τῶν βασιλικῶν συνειλημμένῳ βοη-
θήσων, πρὸς πάντας ἔγραφέ τε καὶ πάσαις ἐπιστο-
λαῖς, μεγαληγοροῦντος Ἐπικούρου καὶ σεμνύνοντος
ἐκείνην τὴν ὁδόν. τί οὖν, εἴ τι τοιοῦτον ἐπέπρακτο
αὐτοῖς, οἷον Ἀριστοτέλει, τὴν πατρίδα κτίσαι δι-
φθαρμένην ὑπὸ Φιλίππου; Θεοφράστῳ δὲ, δὶς ἐλευ-
θερῶσαι τυραννουμένην; οὐκ ἐπιλιπεῖν ἔδει πρότε-
ρον φέροντα βίβλους τὸν Νεῖλον, ἢ τούτους ἀποκα-
μεῖν γράφοντας περὶ αὐτῶν; καὶ οὐ τοῦτο δεινόν
ἐστι, ὅτι, τοσούτων ὄντων φιλοσόφων, μόνοι σχε-
δὸν ἀσύμβολοι τῶν ἐν ταῖς πόλεσιν ἀγαθῶν κοινω-
νοῦσιν· ἀλλ' ὅτι καὶ τραγῳδιῶν ποιηταὶ καὶ κωμῳ-
διῶν ἀεί τι πειρῶνται χρήσιμον παρέχεσθαι καὶ
λέγειν ὑπὲρ νόμων καὶ πολιτείας. οὗτοι δὲ, κἂν
γράφωσι, γράφουσι περὶ πολιτείας, ἵνα μὴ πολι-
τευώμεθα· καὶ περὶ ῥητορικῆς, ἵνα μὴ ῥητορεύω-
μεν· καὶ περὶ βασιλείας, ἵνα φεύγωμεν τὸ συμβιοῦν
βασιλεῦσι· τοὺς δὲ πολιτικοὺς ἄνδρας ἐπὶ γέλωτι
καὶ καταλύσει τῆς δόξης, ὀνόμασι μόνοις τὸν Ἐπα-

μεινώνδαν ἰσχηκέναι τι λέγοντες ἀγαθὸν, καὶ τοῦτο δὲ μικρὸν, οὐτωσὶ τῷ ῥήματι φράζοντες, αὐτὸν δὲ πιδηροῦν σπλάγχνον ἀποκαλοῦντες, καὶ πυνθανόμενοι, τί παθὼν ἐβάδιζε διὰ τῆς Πελοποννήσου μέσης, καὶ οὐ πιλίδιον ἔχων οἴκοι καθῆτο, δηλαδὴ περὶ τὴν τῆς γαστρὸς ἐπιμέλειαν ὅλος καθεστώς. ἃ δὲ Μητρόδωρος ἐν τῷ περὶ Φιλοσοφίας ἐξορχούμενος πολιτείαν γέγραφεν, οὐκ ὤμην δεῖν παρεῖναι· λέγει δέ, ὅτι τῶν σοφῶν τινες, ὑπὸ δαψιλείας τύφου, οὕτω καλῶς ἐνεῖδον τὸ ἔργον αὐτῆς, ὥστ' οἴχονται φερόμενοι πρὸς τὰς αὐτὰς Λυκούργῳ καὶ Σόλωνι ἐπιθυμίας, κατὰ τοὺς περὶ βίων λόγους καὶ ἀρετῆς. τύφος οὖν ἦν καὶ δαψίλεια τύφου τὸ ἐλευθέρας εἶναι τὰς Ἀθήνας, καὶ τὴν Σπάρτην εὐνομεῖσθαι, καὶ τοὺς νέους μὴ θρασύνεσθαι, μηδ' ἐξ ἑταιρῶν παιδοποιεῖσθαι, μηδὲ πλοῦτον καὶ τρυφὴν καὶ ἀσέλγειαν ἄρχειν, ἀλλὰ νόμον καὶ δικαιοσύνην, ἐν ταῖς πόλεσιν· αὗται γὰρ ἦσαν ἐπιθυμίαι Σόλωνος. καὶ λοιδορῶν ὁ Μητρόδωρος ἐπιλέγει τοῖς εἰρημένοις· Διὸ καὶ καλῶς ἔχει, τὸν ἐλεύθερον ὡς ἀληθῶς γέλωτα γελάσαι ἐπί τε δὴ πᾶσιν ἀνθρώποις, καὶ ἐπὶ τοῖς Λυκούργοις τούτοις, καὶ Σόλωσιν. ἀλλ' οὐκ ἐλεύθερος οὗτος, ὦ Μητρόδωρ', ἐστὶν, ἀλλ' ἀνελεύθερος, καὶ ἀνάγωγος, καὶ οὐδὲ μάστιγος ἐλευθέρας δεόμενος, ἀλλὰ τῆς αὐτραγαλωτῆς ἐκείνης, ἧ τοὺς Γάλλους πλημμελοῦντας ἐν τοῖς Μητρῴοις κολάζουσιν.

XXXIV. Ὅτι δ' οὐ νομοθέταις, ἀλλὰ νόμοις ἐπολέμουν, ἔξεστιν ἀκούειν Ἐπικούρου· ἐρωτᾷ γὰρ

αὐτὸν ἐν ταῖς Διαπορίαις, εἰ πράξει τινὰ ὁ σοφὸς, ὧν οἱ νόμοι ἀπαγορεύουσιν, εἰδὼς, ὅτι λήσει. καὶ ἀποκρίνεται· Οὐκ εὔοδον τὸν ἁπλοῦν ἐστι κατηγόρημα· τουτέστι, πράξω μέν· οὐ βούλομαι δὲ ὁμολογεῖν. πάλιν δὲ, οἶμαι, γράφων πρὸς Ἰδομενέα, διακελεύεται, μὴ νόμοις καὶ δόξαις δουλεύοντα ζῆν, ἐφ' ὅσον ἂν μὴ τὴν διὰ τοῦ πέλας ἐκ πληγῆς ὄχλησιν παρασκευάζωσιν. εἴπερ οὖν οἱ νόμους καὶ πολιτείας ἀναιροῦντες, τὸν βίον ἀναιροῦσι τὸν ἀνθρώπινον, Ἐπίκουρος δὲ καὶ Μητρόδωρος τοῦτο ποιοῦσι, τοὺς μὲν συνήθεις ἀποτρέποντες τοῦ τὰ κοινὰ πράττειν, τοῖς δὲ πράττουσιν ἀπεχθανόμενοι, τοὺς δὲ πρώτους καὶ σοφωτάτους τῶν νομοθετῶν κακῶς λέγοντες, τῶν δὲ νόμων παρακελευόμενοι περιφρονεῖν, ἐὰν μὴ προσῇ φόβος πληγῆς καὶ κολάσεως· οὐκ οἶδα, τί τηλικοῦτο κατέψευσται τῶν ἄλλων ὁ Κολώτης, ἥλικον ἀληθῶς τῶν Ἐπικούρου λόγων καὶ δογμάτων κατηγόρημεν.

ΠΛΟΥΤΑΡΧΟΥ

ΕΙ ΚΑΛΩΣ ΕΙΡΗΤΑΙ ΤΟ, ΛΑΘΕ ΒΙΩΣΑΣ.

Ἀλλ' οὐδὲ ὁ τοῦτο εἰπὼν, λαθεῖν ἠθέλησεν· αὐτὸ γὰρ τοῦτο εἶπεν, ἵνα μὴ λάθῃ, ὥς τι φρονῶν περιττότερον· ἐκ τῆς εἰς ἀδοξίαν προτροπῆς δόξαν ἄδικον πορίζόμενος.

Μισῶ σοφιστὴν, ὅστις οὐχ αὑτῷ σοφός· τοὺς μὲν γὰρ περὶ Φιλόξενον, τὸν Ἐρύξιδος, καὶ Γνάθωνα τὸν Σικελιώτην, ἑπτοημένους περὶ τὰ ὄψα, λέγουσιν ἐναπομύττεσθαι ταῖς παροψίσιν, ὅπως τοὺς συνεσθίοντας διαστρέψαντες, αὐτοὶ μόνοι τῶν παρακειμένων ἐμφορηθῶσιν· οἱ δ' ἀκρατῶς φιλόδοξοι καὶ κατακόρως, διαβάλλουσιν ἑτέροις τὴν δόξαν, ὥσπερ ἀντερασταῖς, ἵνα τυγχάνωσιν αὐτῆς ἀναντα-γωνίστως· καὶ ταυτὸ τοῖς ἐρέσσουσι ποιοῦσιν· ὡς γὰρ ἐκεῖνοι, πρὸς τὴν πρύμναν ἀφορῶντες τῆς νεὼς, τὴν κατὰ πρῶραν ὁρμὴν συνεργοῦσιν, ὡς ἂν ἐκ τῆς ἀνακοπῆς περίῤῥοια καταλαμβάνουσα συνεπωθῇ τὸ πορθμεῖον, οὕτως οἱ τὰ τοιαῦτα παραγγέλματα διδόντες, ὥσπερ ἀπεστραμμένοι τὴν δόξαν διώκουσιν.

ἐπεὶ τί λέγειν ἔδει τοῦτο; τί δὲ γράφειν καὶ γράψαντα ἐκδιδόναι πρὸς τὸν μετὰ ταῦτα χρόνον, εἰ λαθεῖν ἐβούλετο τοὺς ὄντας ὁ μηδὲ τοὺς ἐσομένους.

II. Ἀλλὰ τοῦτο μὲν αὐτὸ τὸ πρᾶγμα πῶς οὐ πονηρὸν, Λάθε βιώσας, ὡς τυμβωρυχήσας; ἀλλ' αἰσχρόν ἐστι τὸ ζῆν, ἵνα μὴ ἀγνοῶμεν πάντες; ἐγὼ δ' ἂν εἴποιμι, μηδὲ κακῶς βιώσας λάθε· ἀλλὰ γνώσθητι, σωφρονίσθητι, μετανόησον. εἴτ' ἀρετὴν ἔχεις, μὴ γένῃ ἄχρηστος· εἴτε κακίαν, μὴ μείνῃς ἀθεράπευτος. μᾶλλον δὲ διελοῦ καὶ διόρισον, τίνι τοῦτο προστάττεις. εἰ μὲν ἀμαθεῖ καὶ πονηρῷ καὶ ἀνοήτῳ, οὐθὲν διαφέρεις τοῦ λέγοντος· Λάθε καὶ πυρέττων, λάθε φρενητίζων, μὴ γνῶ σε ὁ ἰατρὸς, ἴθι ῥίψας ποι κατὰ σκότου σεαυτὸν, ἀγνοούμενός που τοῖς πάθεσι· καὶ σὺ ἴθι τῇ κακίᾳ νόσον ἀνήκεστον νοσῶν καὶ ὀλέθριον, ἀποκρύπτων τοὺς φθόνους, τὰς δεισιδαιμονίας, ὥσπερ τινὰς σφυγμοὺς, δεδιὼς παρασχεῖν τοῖς νουθετεῖν καὶ ἰᾶσθαι δυναμένοις. οἱ δὲ σφόδρα παλαιοὶ καὶ τοὺς νοσοῦντας φανερῶς προσεῖχον· τούτων δὲ ἕκαστος εἴ τι πρόσφορον ἔχοι, παθὼν αὐτὸς, ἢ παθόντα θεραπεύσας, ἔφραζε τῷ δεομένῳ· καὶ τέχνην οὕτω φασὶν ἐκ πείρας συνεργαζομένην, μεγάλην γενέσθαι. ἔδει δὲ καὶ τοὺς νοσώδεις βίους καὶ τὰ τῆς ψυχῆς παθήματα πᾶσιν ἀπογυμνοῦν, καὶ ἅπτεσθαι, καὶ λέγειν ἕκαστον ἐπισκοποῦντα τὰς διαθέσεις· Ὀργίζῃ; τοῦτο φύλαξαι. Ζηλοτυπεῖς; ἐκεῖνο ποίησον. ἐρᾷς; κἀγώ ποτ' ἠράσθην, ἀλλὰ μετενόησα. νῦν δ' ἀρνούμενοι, ἀπωρο

πτόμενοι, περιστέλλοντες, ἐμβαθύνουσι τὴν κακίαν ἑαυτοῖς.

III. Καὶ μὴν εἴ γε τοῖς χρηστοῖς λανθάνειν καὶ ἀγνοεῖσθαι παραινεῖς, Ἐπαμεινώνδᾳ λέγεις· Μὴ στρατήγει· καὶ Λυκούργῳ· Μὴ νομοθέτει· καὶ Θρασυβούλῳ· Μὴ τυραννοκτόνει· καὶ Πυθαγόρᾳ· Μὴ παίδευε· καὶ Σωκράτει· Μὴ διαλέγου· καὶ σεαυτῷ πρῶτον, Ἐπίκουρε· Μὴ γράφε τοῖς ἐν Ἀσίᾳ φίλοις, μηδὲ τοὺς ἀπ' Αἰγύπτου ξενολόγει, μηδὲ τοὺς Λαμψακηνῶν ἐφήβους δορυφόρει· μηδὲ διάπεμπε βίβλους, πᾶσι καὶ πάσαις ἐπιδεικνύμενος τὴν σοφίαν, μηδὲ διατάσσου περὶ ταφῆς. τί γὰρ αἱ κοιναὶ τράπεζαι; τί δὲ αἱ τῶν ἐπιτηδείων καὶ καλῶν σύνοδοι; τί δὲ αἱ τοσαῦται μυριάδες στίχων ἐπὶ Μητρόδωρον, ἐπὶ Ἀριστόβουλον, ἐπὶ Χαιρέδημον γραφόμεναι καὶ συνταττόμεναι φιλοπόνως, ἵνα μηδ' ἀποθανόντες λάθωσιν, ἵν' ἀμνηστίᾳ νομοθετῇς ἀρετήν, καὶ ἀπραξίαν τέχνῃ, καὶ σιωπὴν φιλοσοφίᾳ, καὶ λήθην εὐπραγίᾳ.

IV. Εἰ δὲ ἐκ τοῦ βίου, καθάπερ ἐκ συμποσίου φῶς, ἀναιρεῖς τὴν γνῶσιν, ᾧ πάντα ποιεῖν ἐξ ἡδονῆς πρὸς ἡδονὴν λανθάνουσι, λάθε βιώσας. πάνυ μὲν οὖν, ἂν μεθ' Ἡδείας βιοῦν μέλλω τῆς ἑταίρας, καὶ Λεοντίῳ συγκαταζῆν, καὶ τῷ καλῷ προσπτύειν, καὶ τἀγαθὸν ἐν σαρκὶ καὶ γαργαλισμοῖς τίθεσθαι· ταῦτα δεῖται σκότους τὰ τέλη, ταῦτα νυκτὸς, ἐπὶ ταῦτα τὴν λήθην καὶ τὴν ἄγνοιαν. ἐὰν δέ τις ἐν μὲν φυσικοῖς θεὸν ὑμνῇ, καὶ δίκην, καὶ πρόνοιαν, ἐν δ' ἠθικοῖς νόμον καὶ κοινωνίαν καὶ πολιτείαν, ἐν δὲ πολι-

τείᾳ τὸ καλὸν, ἀλλὰ μὴ τὴν χρείαν, διά τί λείθῃβιώσας; ἵνα μηδένα παιδεύσῃ, μηδενὶ ζῆλος ἀρετῆς μηδὲ παράδειγμα καλὸν γένηται; εἰ Θεμιστοκλῆς Ἀθηναίους ἐλάνθανεν, οὐκ ἂν ἡ Ἑλλὰς ἀπεώσατο Ξέρξην· εἰ Ῥωμαίους Κάμιλλος, οὐκ ἂν ἡ Ῥώμη πόλις ἔμεινεν· εἰ Δίωνα Πλάτων, οὐκ ἂν ἠλευθερώθη ἡ Σικελία. ὥσπερ δὲ, οἶμαι, τὸ φῶς, οὐ μόνον φανεροὺς ἀλλὰ καὶ χρησίμους καθίστησιν ἡμᾶς ἀλλήλοις, οὕτως ἡ γνῶσις οὐ μόνον δόξαν, ἀλλὰ καὶ πρᾶξιν, ταῖς ἀρεταῖς δίδωσιν. Ἐπαμεινώνδας γοῦν, εἰς τεσσαρακοστὸν ἔτος ἀγνοηθεὶς, οὐδὲν ὄντως Θηβαίους· ὕστερον δὲ πιστευθεὶς, καὶ ἄρξας, τὴν μὲν πόλιν ἀπολλυμένην ἔσωσε, τὴν δὲ Ἑλλάδα δουλεύουσαν ἠλευθέρωσε, καθάπερ ἐν φωτὶ τῇ δόξῃ τὴν ἀρετὴν ἐνεργὸν ἐπὶ καιροῦ παρασχόμενος.

Λάμπει γὰρ ἐν χρείαισιν ὥσπερ εὐγενὴς
Χαλκός· χρόνῳ δ' ἀργῆσαν ἤμυσεν,

οὐ μόνον

— στέγος,

ὡς φησι Σοφοκλῆς, ἀλλὰ καὶ ἦθος ἀνδρὸς, οἷον εὑρῶτα καὶ γῆρας ἐν ἀπραξίᾳ δι' ἀγνοίας ἐφελκόμενον. ἡσυχία δὲ κωφὴ, καὶ βίος ἑδραῖος ἐπὶ σχολῆς ἀποκείμενος, οὐ μόνον σώματα, ἀλλὰ καὶ ψυχὰς παραλύει· καὶ καθάπερ τὰ λανθάνοντα τῶν ὑδάτων, τῷ περισκιάζεσθαι καὶ καθῆσθαι μὴ ἀποῤῥέοντα σήπεται, οὕτω τῶν ἀκινήτων βίων, ὡς ἔοικεν, ἂν τι χρήσιμον ἔχωσι, μὴ ἀποῤῥιόντων, μηδὲ κινουμένων, φθείρονται καὶ ἀπογηράσκουσιν αἱ σύμφυτοι δυνάμεις.

V. *Οὐχ ὁρᾷς, ὅτι νυκτὸς μὲν ἐπιούσης τὰ τε σώματα δυσεργεῖς βαρύτητες ἴσχουσι; καὶ τὰς ψυχὰς ὄκνοι καταλαμβάνουσιν ἀδρανεῖς; καὶ συσταλεὶς ὁ λογισμὸς εἰς αὐτὸν, ὥσπερ πῦρ ἀμαυρὸν, ὑπ' ἀργίας καὶ κατηφείας μικρὰ διεσπασμέναις πάλλεται φαντασίαις, ὅσον αὐτὸ τὸ ζῆν τὸν ἄνθρωπον ὑποσημαίνων;*

Ἥμος δὲ στεροπῆας ἀπεπτοίησεν ὀνείρους
ὁ ἥλιος ἀνασχών, καὶ καθάπερ εἰς ταὐτὸ συμμίξας ἐπέστρεψε καὶ συνώρμησε τῷ φωτὶ τὰς πράξεις καὶ τὰς νοήσεις τὰς ἁπάντων, ὥς φησι Δημόκριτος, νέᾳ ἐφ' ἡμέρῃ τρέφοντες ἄνθρωποι τῇ πρὸς ἀλλήλους ὁρμῇ, καθάπερ ἀρτήματι συντόνως πλασθέντες, ἄλλος ἀλλαχόθεν ἐπὶ τὰς πράξεις ἀνίστανται.

VI. *Δοκῶ δ' ἐγὼ καὶ τὸ ζῆν αὐτὸ, καὶ ὅλως τὸ ὖναι καὶ μετασχεῖν ἀνθρώπων γενέσεως, εἰς γνῶσιν ὑπὸ θεοῦ δοθῆναι· ἔστι δ' ἄδηλος καὶ ἄγνωστος ἐν τῷ παντὶ πολλῷ καὶ κατὰ μικρὰ καὶ σποράδην φερόμενος· ὅταν δὲ γένηται συνερχόμενος αὐτῷ καὶ λαμβάνων μέγεθος, ἐκλάμπει καὶ καθίσταται δῆλος ἐξ ἀδήλου, καὶ φανερὸς ἐξ ἀφανοῦς. οὐ γὰρ εἰς οὐσίαν ὁδὸς ἡ γνῶσις, ὡς ἔνιοι λέγουσιν, ἀλλ' οὐσία εἰς γνῶσιν· οὐ γὰρ ποιεῖ τῶν γινομένων ἕκαστον, ἀλλὰ δείκνυσιν· ὥσπερ οὐδὲ ἡ φθορὰ, τοῦ ὄντος ἄρσις εἰς τὸ μὴ ὂν ἐστὶν, ἀλλὰ μᾶλλον εἰς τὸ ἄδηλον ἀπαγωγὴ τοῦ διαλυθέντος. ὅθεν δὴ τὸν μὲν ἥλιον Ἀπόλλωνα κατὰ τοὺς πατρίους καὶ παλαιοὺς θεσμοὺς νομίζοντες, Ἥλιον καὶ Πύθιον προσαγορεύουσι· τὸν δὲ σῆς ἐναντίας κύριον μοίρας, εἴτε θεὸς,*

εἴτε δαίμων ἐστὶν, Ἅδην ὀνομάζουσιν, ὡς ἂν εἰς ἀειδὲς καὶ ἀόρατον ἡμῶν, ὅταν διαλυθῶμεν, βαδιζόντων,

Νυκτὸς ἀϊδνᾶς ἀεργηλοῖο θ' ὕπνου κοίρανον.

οἶμαι δὲ, καὶ τὸν ἄνθρωπον αὐτὸν οὑτωσὶ φῶτα καλεῖν τοὺς παλαιοὺς, ὅτι τοῦ γινώσκεσθαι καὶ γινώσκειν ἑκάστῳ διὰ συγγένειαν ἔρως ἰσχυρὸς ἐμπέφυκεν. αὐτήν τε τὴν ψυχὴν ἔνισι τῶν φιλοσόφων φῶς εἶναι τῇ οὐσίᾳ νομίζουσιν, ἄλλοις τε χρώμενοι τεκμηρίοις, καὶ ὅτι τῶν ὄντων μάλιστα τὴν μὲν ἄγνοιαν ἡ ψυχὴ δυσανασχετεῖ, καὶ πᾶν τὸ ἀφεγγὲς ἐξαιρεῖ, καὶ ταράττεται τὰ σκοτεινὰ, φόβου καὶ ὑποψίας ὄντα πλήρη πρὸς αὐτήν· ἡδὺ δ' αὐτῇ καὶ ποθεινὸν οὕτω τὸ φῶς ἐστιν, ὥστε μηδ' ἄλλο τι τῶν φύσει τερπνῶν ἄνευ φωτὸς ὑπὸ σκότους θέλειν, ἀλλὰ τοῦτο πᾶσαν ἡδονὴν καὶ πᾶσαν διατριβὴν καὶ ἀπόλαυσιν, ὥσπερ τι κοινὸν ἥδυσμα καταμιγνύμενον, ἱλαρὰν ποιεῖ καὶ φιλάνθρωπον. ὁ δ' εἰς τὴν ἄγνοιαν αὐτὸν ἐμβαλὼν, καὶ σκότος περιαμπισχόμενος, καὶ κενοταφῶν τὸν βίον, ἔοικεν αὐτὴν βαρύνεσθαι τὴν γένεσιν, καὶ ἀπαυδᾷν πρὸς τὸ εἶναι.

VII. Καίτοι τῆς γε δόξης καὶ τοῦ εἶναι φύσιν εὐσεβῶν χῶρον,

Τοῖσι λάμπει μένος ἀελίου
Τὰν ἐνθένδε νύκτα κάτω,
Φοινικοδόροις ἐν λειμώνεσσι,
Καὶ τοῖσιν ἀκάρπων μὲν ἀνθηρῶν
Καὶ σκυθίων δένδρων ἄνθεσι τεθηλὸς,
Ἀναπέπταται πεδίον,

καὶ ποταμοί τινες ἄκλυστοι καὶ λεῖοι διαῤῥέουσι, καὶ διατριβὰς ἔχουσιν ἐν μνήμαις καὶ λόγοις τῶν γεγονότων καὶ ὄντων, παραπέμποντες αὐτοὺς καὶ συνόντες. ἡ δὲ τρίτη τῶν ἀνοσίως βεβιωκότων καὶ παρανόμων ὁδός ἐστιν εἰς ἔρεβός τι καὶ βάραθρον ὠθοῦσα τὰς ψυχάς,

Ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον
Βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοὶ,

δεχόμενοι καὶ ἀποκρύπτοντες ἄγνοίᾳ καὶ λήθῃ τοὺς κολαζομένους. οὐ γὰρ οὔτε γύπες κειμένων ἐν γῇ τῶν πονηρῶν κείρουσιν ἀεὶ τὸ ἧπαρ· κατακέκαυται γὰρ ἤ κατασέσηπεν· οὐδὲ βαρῶν τινων ἀχθοφορίαι θλίβουσι καὶ καταπονοῦσι τὰ σώματα τῶν κολαζομένων·

Οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἴνες ἔχουσιν·

οὐδέ ἐστιν ὑπόλειμμα σώματος τοῖς τεθνηκόσι τιμωρίας ἀπέρεισιν ἀντιτύπου δέξασθαι δυνάμενον· ἀλλὰ ἓν κολαστήριον ὡς ἀληθῶς τῶν κακῶς βιωσάντων, ἀδοξία καὶ ἄγνοια, καὶ παντελῶς ἀφανισμός, αἴρων εἰς τὸν ἀμειδῆ ποταμὸν ἀπὸ τῆς λήθης, καταποντίζων εἰς ἄβυσσον καὶ ἀχανὲς πέλαγος, ἀχρηστίαν καὶ ἀπραξίαν, πᾶσάν τ' ἄγνοιαν καὶ ἀδοξίαν συνεφελκόμενον.

ΠΛΟΥΤΑΡΧΟΥ
ΠΕΡΙ
ΜΟΥΣΙΚΗΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ
ΟΝΗΣΙΚΡΑΤΗΣ, ΣΩΤΗΡΙΧΟΣ, ΛΥΣΙΑΣ.

Ἡ μὲν Φωκίωνος τοῦ Χρηστοῦ γυνὴ κόσμον αὑτῆς ἔλεγεν εἶναι τὰ Φωκίωνος στρατηγήματα· ἐγὼ δὲ κόσμον ἐμὸν οὐ μόνον ἴδιον, ἀλλὰ καὶ κοινὸν τῶν οἰκείων πάντων, ἡγοῦμαι τὴν τοῦ ἐμοῦ διδασκάλου περὶ λόγους σπουδήν. τῶν μὲν γὰρ στρατηγῶν τὰ ἐπιφανέστατα κατορθώματα, σωτηρίας μόνον οἴδαμεν τῆς ἐκ τῶν παραχρῆμα κινδύνων αἴτια γιγνόμενα στρατιώταις ὀλίγοις, ἢ πόλει μιᾷ, ἢ κἂν ἑνί τινι ἔθνει, βελτίους δ' οὐδαμῶς ποιοῦντα οὔτε τοὺς στρατιώτας, οὔτε τοὺς πολίτας, ἀλλ' οὐδὲ τοὺς ὁμοεθνεῖς· τὴν δὲ ψσιδείαν, οὐσίαν εὐδαιμονίας οὖσαν, αἰτίαν τ' εὐβουλίας, οὐ μόνον ἔστιν εὑρεῖν ᾗ οἴκῳ, ἢ πόλει, ἢ ἔθνει χρησίμην, ἀλλὰ πανταχοῦ

τῶν ἀνθρώπων γένει. ὅσῳ οὖν ἡ ἐκ παιδείας ὠφέλεια μείζων πάντων στρατηγημάτων, τοσούτῳ καὶ ἡ περὶ αὐτῆς μνήμη ἀξία σπουδῆς.

II. Τῇ γοῦν δευτέρᾳ τῶν Κρονίων ἡμέρᾳ, ὁ καλὸς Ὀνησικράτης ἐπὶ τὴν ἑστίασιν ἄνδρας Μουσικῆς ἐπιστήμονας παρακεκλήκει· ἦσαν δὲ, Σωτήριχος Ἀλεξανδρεὺς, καὶ Λυσίας, εἷς τις τῶν σύνταξιν παρ' αὐτοῦ λαμβανόντων. ἐπεὶ δὲ τὰ νομιζόμενα συντετέλεστο· Τὸ μὲν αἴτιον τῆς ἀνθρώπου φωνῆς, ἔφη, ὅ τι ποτ' ἐστὶν, ὦ ἑταῖροι, νῦν ἐπιζητεῖν, οὐ συμποτικόν· σχολῆς γὰρ νηφαλιωτέρας δεῖται τὸ θεώρημα· ἐπεὶ δ' ὁρίζονται τὴν φωνὴν οἱ ἄριστοι γραμματικοὶ, ἀέρα πεπληγμένον αἰσθητὸν ἀκοῇ, τυγχάνομέν τε χθὲς ἐζητηκότες περὶ γραμματικῆς, ὡς τέχνης ἐπιτηδείου γραμμαῖς τὰς φωνὰς δημιουργεῖν, καὶ ταμιεύειν τῇ ἀναμνήσει, ἴδωμεν, τίς μετὰ ταύτην δευτέρα πρέπουσα φωνῇ ἐπιστήμη. οἶμαι δὲ, ὅτι μουσική. ὑμνεῖν γὰρ εὐσεβὲς καὶ προηγούμενον ἀνθρώποις τοὺς χαρισαμένους αὐτοῖς μόνοις τὴν ἄναρθρον φωνὴν θεούς. τοῦτο δὲ καὶ Ὅμηρος ἐπεσημήνατο, ἐν οἷς λέγει·

Οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο,
Καλὸν ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν,
Μέλποντες ἑκάεργον· ὁ δὲ φρένα τέρπετ' ἀκούων.

ἄγε δή, ὦ μουσικῆς θιασῶται, τίς πρῶτος ἐχρήσατο μουσικῇ, ἀναμνήσατε τοὺς ἑταίρους· καὶ τί εὗρε πρὸς αὔξησιν ταύτης ὁ χρόνος, καὶ τίνες εὐδόκιμοι γεγόνασι τῶν τὴν μουσικὴν ἐπιστήμην μεταχειρισαμένων

ἀλλὰ μὴν καὶ εἰς πόσα καὶ εἰς τίνα χρήσιμον τὸ ἐπιτήδευμα. ταῦτα μὲν εἶπεν ὁ διδάσκαλος.

III. Ὁ δὲ Λυσίας ὑπολαβών· Παρὰ πολλοῖς, ἔφη, ἐζητημένον πρόβλημα ἐπιζητεῖς, ἀγαθὲ Ὀνησίκρατες. τῶν τε γὰρ Πλατωνικῶν οἱ πλεῖστοι, καὶ τῶν ἀπὸ τοῦ Περιπάτου φιλοσόφων οἱ ἄριστοι, περί τε τῆς ἀρχαίας μουσικῆς συντάξαι ἐσπούδασαν, καὶ περὶ τῆς αὐτῇ γεγενημένης παραφθορᾶς· ἀλλὰ γὰρ καὶ γραμματικῶν καὶ ἁρμονικῶν οἱ ἐπ' ἄκρον παιδείας ἐληλακότες, πολλὴν σπουδὴν περὶ τοῦτο πεποίηνται. πολλὴ γοῦν ἡ τῶν συντεταχότων διαφωνία. Ἡρακλείδης δ' ἐν τῇ Συναγωγῇ τῶν ἐν μουσικῇ, τὴν κιθαρῳδίαν καὶ τὴν κιθαρῳδικὴν ποίησιν πρῶτόν φησιν Ἀμφίονα ἐπινοῆσαι, τὸν Διὸς καὶ Ἀντιόπης, τοῦ πατρὸς δηλονότι διδάξαντος αὐτόν. πιστοῦται δὲ τοῦτο ἐκ τῆς ἀναγραφῆς τῆς ἐν Σικυῶνι ἀποκειμένης, δι' ἧς τάς τε ἱερείας τὰς ἐν Ἄργει καὶ τοὺς ποιητὰς καὶ τοὺς μουσικοὺς ὀνομάζει. κατὰ δὲ τὴν αὐτὴν ἡλικίαν καὶ Λίνον, τὸν ἐξ Εὐβοίας, θρήνους πεποιηκέναι λέγει, καὶ Ἄνθην, τὸν ἐξ Ἀνθηδόνος τῆς Βοιωτίας, ὕμνους καὶ Πιέριον, τὸν ἐκ Πιερίας, τὰ περὶ τὰς Μούσας ποιήματα· ἀλλὰ καὶ Φιλάμμωνα, τὸν Δελφὸν, Λητοῦς τε καὶ Ἀρτέμιδος, καὶ Ἀπόλλωνος γένεσιν δηλῶσαι ἐν μέλεσι, καὶ χοροὺς πρῶτον περὶ τὸ ἐν Δελφοῖς ἱερὸν στῆσαι· Θάμυριν δὲ, τὸ γένος Θρᾷκα, εὐφωνότερον καὶ ἐμμελέστερον πάντων τῶν τότε ᾄσαι, ὡς ταῖς Μούσαις, κατὰ τοὺς ποιητὰς, εἰς ἀγῶνα καταστῆναι· πεποιηκέναι δὲ τοῦτον ἱστορεῖται Τιτάνων πρὸς τοὺς θεοὺς πόλεμον· γεγονέναι δὲ καὶ Δημόδοκον Κερκυραῖον πα-

λαιὸν μουσικὸν, ὃν πεποιηκέναι Ἰλίου τε πόρθησιν, καὶ Ἀφροδίτης καὶ Ἡφαίστου γάμον· ἀλλὰ μὴν καὶ Φήμιον Ἰθακήσιον, νόστον τῶν ἀπὸ Τροίας μετ' Ἀγαμέμνονος ἀνακομισθέντων ποιῆσαι· οὐ λελυμένην δ' εἶναι τῶν προειρημένων τὴν τῶν ποιημάτων λέξιν, καὶ μέτρον οὐκ ἔχουσαν, ἀλλὰ καθάπερ Στησιχόρου τε καὶ τῶν ἀρχαίων μελοποιῶν, οἱ ποιοῦντες ἔπη, τούτοις μέλη περιετίθεσαν· καὶ γὰρ τὸν Τέρπανδρον, ἴφη, κιθαρῳδικῶν ποιητὴν ὄντα νόμων, κατὰ νόμον ἕκαστον τοῖς ἔπεσι τοῖς ἑαυτοῦ καὶ τοῖς Ὁμήρου μέλη περιτιθέντα, ᾄδειν ἐν τοῖς ἀγῶσιν· ἀποφῆναι δὲ τοῦτον λέγει ὀνόματα πρῶτον τοῖς κιθαρῳδικοῖς νόμοις· ὁμοίως δὲ Τερπάνδρῳ Κλονᾶν, τὸν πρῶτον συστησάμενον τοὺς αὐλῳδικοὺς νόμους καὶ τὰ προσόδια, ἐλεγείων τε καὶ ἐπῶν ποιητὴν γεγονέναι· καὶ Πολύμνηστον τὸν Κολοφώνιον, τὸν μετὰ τοῦτον γενόμενον, τοῖς αὐτοῖς χρήσασθαι ποιήμασιν.

IV. Οἱ δὲ νόμοι οἱ κατὰ τούτους, ἀγαθὲ Ὀνησίκρατες, αὐλῳδικοὶ ἦσαν, Ἀπόθετος, Ἔλεγοι, Κωμάρχιος. Σχοινίων, Κηπίων τε καὶ Λεῖος, καὶ Τριμελής· ὑστέρῳ δὲ χρόνῳ καὶ τὰ Πολυμνάστια καλούμενα ἐξευρέθη. οἱ δὲ τῆς κιθαρῳδίας νόμοι πρότερον πολλῷ χρόνῳ τῶν αὐλῳδικῶν καθεστάθησαν ἐπὶ Τερπάνδρου· ἐκεῖνος γοῦν τοὺς κιθαρῳδικοὺς πρότερον ὠνόμασε, Βοιώτιόν τινα καὶ Αἰόλιον, Τροχαῖόν τε καὶ Ὀξὺν, Κηπίωνά τε καὶ Τερπάνδριον καλῶν, ἀλλὰ μὴν καὶ Τετραοίδιον. πεποίηται δὲ τῷ Τερπάνδρῳ καὶ προοίμια κιθαρῳδικὰ ἐν ἔπεσιν. ὅτι δὲ κιθαρῳδικοὶ νόμοι οἱ πάλαι ἐξ ἐπῶν συνίσταντο,

Τιμόθεος ἐδήλωσε· τοὺς γοῦν πρώτους νόμους ἐν ἔπεσι διαμιγνύων, διθυραμβικὴν λέξιν ἦδεν, ὅπως μὴ εὐθὺς φανῇ παρανομῶν εἰς τὴν ἀρχαίαν μουσικήν. ἔοικε δὲ κατὰ τὴν τέχνην τὴν κιθαρῳδικὴν ὁ Τέρπανδρος διενηνοχέναι· τὰ Πύθια γὰρ τετράκις ἑξῆς νενικηκὼς ἀναγέγραπται· καὶ τοῖς χρόνοις δὲ σφόδρα παλαιός ἐστι· πρεσβύτερον γοῦν αὐτὸν Ἀρχιλόχου ἀποφαίνει Γλαῦκος ὁ ἐξ Ἰταλίας, ἐν συγγράμματί τινι τῷ περὶ τῶν ἀρχαίων ποιητῶν τε καὶ μουσικῶν· φησὶ γὰρ, αὐτὸν δεύτερον γενέσθαι μετὰ τοὺς πρώτους ποιήσαντας αὐλῳδίαν.

V. Ἀλέξανδρος δ' ἐν τῇ Συναγωγῇ τῶν περὶ Φρυγίας, κρούματα Ὄλυμπον, ἔφη, πρῶτον εἰς τοὺς Ἕλληνας κομίσαι, ἔτι δὲ καὶ τοὺς Ἰδαίους δακτύλους· Ἅγνιν δὲ πρῶτον αὐλῆσαι, εἶτα τὸν τούτου υἱὸν Μαρσύαν, εἶτ' Ὄλυμπον· ἐζηλωκέναι δὲ τὸν Τέρπανδρον, Ὁμήρου μὲν τὰ ἔπη, Ὀρφέως δὲ τὰ μέλη· ὁ δ' Ὀρφεὺς οὐδένα φαίνεται μεμιμημένος· οὐδεὶς γάρ πω γεγένητο, εἰ μὴ οἱ τῶν αὐλῳδικῶν ποιηταί· τούτοις δὲ κατ' οὐδὲν τὸ Ὀρφικὸν ἔργον ἔοικε. Κλονᾶς δὲ, ὁ τῶν αὐλῳδικῶν νόμων ποιητὴς, ὀλίγῳ ὕστερον Τερπάνδρου γενόμενος, ὡς μὲν Ἀρκάδες λέγουσι, Τεγεάτης ἦν, ὡς δὲ Βοιωτοὶ, Θηβαῖος. μετὰ δὲ Τέρπανδρον καὶ Κλονᾶν Ἀρχίλοχος παραδίδοται γενέσθαι. ἄλλοι δέ τινες τῶν συγγραφέων Ἀρδαλὸν φασι Τροιζήνιον πρότερον Κλονᾶ τὴν αὐλῳδικὴν συστήσασθαι μοῦσαν· γεγονέναι δὲ καὶ Πολύμνηστον ποιητὴν, Μέλητος τοῦ Κολοφωνίου υἱόν· οἱ Πολύμνηστόν τε καὶ Πολυμνήστην νόμους ποιῆσαι

περὶ δὲ Κλονᾶ, ὅτι τὸν Ἀπόθετον νόμον καὶ Σχοινίωνα πεποιηκὼς εἴη, μνημονεύουσιν οἱ ἀναγεγραφότες· τοῦ δὲ Πολυμνήστου καὶ Πίνδαρος καὶ Ἀλκμὰν, οἱ τῶν μελῶν ποιηταὶ, ἐμνημόνευσαν· τινὰς δὲ τῶν νόμων τῶν κιθαρῳδικῶν, τῶν ὑπὸ Τερπάνδρου πεποιημένων, Φιλάμμωνά φασι τὸν ἀρχαῖον, τὸν Δελφὸν, συστήσασθαι.

VI. Τὸ δ' ὅλον ἡ μὲν κατὰ Τέρπανδρον κιθαρῳδία, καὶ μέχρι τῆς Φρυνίδος ἡλικίας παντελῶς ἁπλῆ τις οὖσα διετέλει· οὐ γὰρ ἐξῆν τὸ παλαιὸν οὕτω ποιεῖσθαι τὰς κιθαρῳδίας ὡς νῦν, οὐδὲ μεταφέρειν τὰς ἁρμονίας καὶ τοὺς ῥυθμούς· ἐν γὰρ τοῖς νόμοις ἑκάστῳ διετήρουν τὴν οἰκείαν τάσιν· διὸ καὶ ταύτην ἐπωνυμίαν εἶχον· νόμοι γὰρ προσηγορεύθησαν, ἐπειδὴ οὐκ ἐξῆν παραβῆναι καθ' ἕκαστον νενομισμένον εἶδος τῆς τάσεως. τὸ γὰρ πρὸς τοὺς θεούς, ὡς βούλονται, ἀφοσιωσάμενοι, ἐξέβαινον εὐθὺς ἐπί τε τὴν Ὁμήρου καὶ τῶν ἄλλων ποίησιν. δῆλον δὲ τοῦτ' ἔστι διὰ τῶν Τερπάνδρου προοιμίων. ἐποιήθη δὲ καὶ τὸ σχῆμα τῆς κιθάρας πρῶτον κατὰ Κηπίωνα, τὸν Τερπάνδρου μαθητήν· ἐκλήθη δ' Ἀσιὰς, διὰ τὸ κεχρῆσθαι τοὺς Λεσβίους αὐτῇ κιθαρῳδοὺς πρὸς τῇ Ἀσίᾳ κατοικοῦντας. τελευταῖον δὲ Περικλειτόν φασι κιθαρῳδὸν νικῆσαι ἐν Λακεδαίμονι Κάρνεια, τὸ γένος ὄντα Λέσβιον· τούτου δὲ τελευτήσαντος, τέλος λαβεῖν Λεσβίοις τὸ συνεχὲς τῆς κατὰ τὴν κιθαρῳδίαν διαδοχῆς. ἔνιοι δὲ πλανώμενοι νομίζουσι, κατὰ τὸν χρόνον Τερπάνδρου Ἱππώνακτα γεγονέναι· φαίνεται δὲ Ἱππώνακτος καὶ Περικλειτος ὢν πρεσβύτερος.

VII. Ἐπεὶ δὲ τοὺς αὐλῳδικοὺς νόμους καὶ κιθαρῳδικοὺς ὁμοῦ τοὺς ἀρχαίους ἐμπεφανίκαμεν, μεταβησόμεθα ἐπὶ μόνους τοὺς αὐλῳδικούς. λέγεται γάρ, τὸν προειρημένον Ὄλυμπον, αὐλητὴν ὄντα τῶν ἐκ Φρυγίας, ποιῆσαι νόμον αὐλητικὸν εἰς Ἀπόλλωνα τὸν καλούμενον Πολυκέφαλον. εἶναι δὲ τὸν Ὄλυμπον τοῦτον φασὶν ἕνα τῶν ἀπὸ πρώτου Ὀλύμπου τοῦ Μαρσύου, πεποιημότος εἰς τοὺς θεοὺς τοὺς νόμους· οὗτος γὰρ παιδικὰ γενόμενος Μαρσύου, καὶ τὴν αὔλησιν μαθὼν παρ' αὐτοῦ, τοὺς νόμους τοὺς ἁρμονικοὺς ἐξήνεγκεν εἰς τὴν Ἑλλάδα, οἷς νῦν χρῶνται οἱ Ἕλληνες ἐν ταῖς ἑορταῖς τῶν θεῶν. ἄλλοι δὲ Κράντητος εἶναί φασι τὸν πολυκέφαλον νόμον, γενομένου μαθητοῦ Ὀλύμπου. ὁ δὲ Πρατίνας Ὀλύμπου φησὶν εἶναι τοῦ νεωτέρου τὸν νόμον τοῦτον. τὸν δὲ καλούμενον ἁρμάτιον νόμον λέγεται ποιῆσαι ὁ ἱρῶτος Ὄλυμπος, ὁ Μαρσύου μαθητής. τὸν δὲ Μαρσύαν φασί τινες Μάσσην καλεῖσθαι. οἱ δ' οὔ, ἀλλὰ Μαρσύαν· εἶναι δ' αὐτὸν Τάγνιδος υἱόν, τοῦ πρώτου εὑρόντος τὴν αὐλητικὴν τέχνην. ὅτι δ' ἐστὶν Ὀλύμπου ὁ ἁρμάτιος νόμος, ἐκ τῆς Γλαύκου ἀναγραφῆς τῆς ὑπὲρ τῶν ἀρχαίων ποιητῶν, μάθοι ἄν τις· καὶ ἔτι γνοίη, ὅτι Στησίχορος ὁ Ἱμεραῖος οὔτ' Ὀρφέα, οὔτε Τέρπανδρον, οὔτ' Ἀρχίλοχον, οὔτε Θαλήταν ἐμιμήσατο, ἀλλ' Ὄλυμπον, χρησάμενος τῷ ἁρματίῳ νόμῳ καὶ τῷ κατὰ δάκτυλον εἴδει, ὃ τινες ἐξ ὀρθίου νόμου φασὶν εἶναι. ἄλλοι δέ τινες ὑπὸ Μυσῶν εὑρῆσθαι τοῦτον τὸν νόμον· γενέσθαι γὰρ τινας ἀρχαίους αὐλητὰς Μυσούς.

VIII. Καὶ ἄλλος δ' ἐστὶν ἀρχαῖος νόμος, καλούμενος Κραδίας, ὃν φησιν Ἱππώναξ Μίμνερμον αὐλῆσαι. ἐν ἀρχῇ γὰρ ἐλεγεῖα μεμελοποιημένα οἱ αὐλῳδοὶ ᾖδον· τοῦτο δὲ δηλοῖ ἡ τῶν Παναθηναίων γραφὴ ἡ περὶ τοῦ μουσικοῦ ἀγῶνος. γέγονε δὲ καὶ Σακάδας Ἀργεῖος ποιητὴς μελῶν τε καὶ ἐλεγείων μεμελοποιημένων· ὁ δ' αὐτός, καὶ ποιητὴς ἀγαθός, καὶ τὰ Πύθια τρὶς νενικηκὼς ἀναγέγραπται· τούτου καὶ Πίνδαρος μνημονεύει· τόνων γοῦν τριῶν ὄντων κατὰ Πολύμνηστον καὶ Σακάδαν, τοῦ τε Δωρίου καὶ Φρυγίου καὶ Λυδίου, ἐν ἑκάστῳ τῶν εἰρημένων τόνων στροφὰν ποιήσαντά φασι τὸν Σακάδαν, διδάξαι ᾄδειν τὸν χορὸν, Δωριστὶ μὲν τὴν πρώτην, Φρυγιστὶ δὲ τὴν δευτέραν, Λυδιστὶ δὲ τὴν τρίτην· καλεῖσθαι δὲ τριμερῆ τὸν νόμον τοῦτον διὰ τὴν μεταβολήν. ἐν δὲ τῇ ἐν Σικυῶνι Ἀναγραφῇ τῇ περὶ τῶν ποιητῶν Κλονᾶς εὑρετὴς ἀναγέγραπται τοῦ τριμεροῦς νόμου.

IX. Ἡ μὲν οὖν πρώτη κατάστασις τῶν περὶ τὴν μουσικὴν ἐν τῇ Σπάρτῃ, Τερπάνδρου καταστήσαντος, γεγένηται· τῆς δευτέρας δὲ Θαλήτας τε ὁ Γορτύνιος, καὶ Ξενόδαμος ὁ Κυθήριος, καὶ Ξενόκριτος ὁ Λοκρὸς, καὶ Πολύμνηστος ὁ Κολοφώνιος, καὶ Σακάδας ὁ Ἀργεῖος, μάλιστα αἰτίαν ἔχουσιν ἡγεμόνες γενέσθαι· τούτων γὰρ εἰσηγησαμένων τὰ περὶ τὰς γυμνοπαιδίας τὰς ἐν Λακεδαίμονι, λέγεται κατασταθῆναι τὰ περὶ τὰς ἀποδείξεις τὰς ἐν Ἀρκαδίᾳ, τῶν τε ἐν Ἄργει τὰ ἐνδυμάτια καλούμενα. ἦσαν δὲ οἱ περὶ Θαλήταν τε καὶ Ξενόδαμον καὶ Ξενόκριτον,

ποιηταὶ Παιάνων· οἱ δὲ περὶ Πολύμνηστον, τῶν ὀρθίων καλουμένων· οἱ δὲ περὶ Σακάδαν, Ἐλεγείων. ἄλλοι δὲ Ξενόδαμον ὑπορχημάτων ποιητὴν γεγονέναι φασὶ, καὶ οὐ παιάνων, καθάπερ Πρατίνας· καὶ αὐτοῦ δὲ Ξενοδάμου ἀπομνημονεύεται ᾆσμα, ὅ ἐστι φανερῶς ὑπόρχημα. κέχρηται δὲ τῷ γένει τῆς ποιήσεως ταύτης καὶ Πίνδαρος· ὃ δὲ παιὰν ὅτι διαφορὰν ἔχει πρὸς τὰ ὑπορχήματα, τὰ Πινδάρου ποιήματα δηλώσει· γέγραφε γὰρ καὶ παιᾶνας καὶ ὑπορχήματα.

Χ. Καὶ Πολύμνηστος δ' αὐλῳδικοὺς νόμους ἐποίησεν· ἐν δὲ τῷ ὀρθίῳ τῇ μελοποιΐᾳ κέχρηται, καθάπερ οἱ ἁρμονικοί φασιν· οὐκ ἔχομεν δ' ἀκριβῶς εἰπεῖν· οὐ γὰρ εἰρήκασιν οἱ ἀρχαῖοί τι περὶ τούτου. καὶ περὶ Θαλήτα δὲ, τοῦ Κρητὸς, εἰ παιάνων γέγνηται ποιητὴς, ἀμφισβητεῖται. Γλαῦκος γὰρ μετ' Ἀρχίλοχον φάσκων γεγενῆσθαι Θαλήταν, μεμιμῆσθαι μὲν αὐτόν φησι τὰ Ἀρχιλόχου μέλη, ἐπὶ δὲ τὸ μακρότερον ἐκτεῖναι, καὶ Μάρωνα καὶ Κρητικὸν ῥυθμὸν εἰς τὴν μελοποιΐαν ἐνθεῖναι· οἷς Ἀρχίλοχον μὴ κεχρῆσθαι, ἀλλ' οὐδ' Ὀρφέα, οὐδὲ Τέρπανδρον· ἐκ γὰρ τῆς Ὀλύμπου αὐλήσεως, Θαλήταν φασὶν ἐξεργάσθαι ταῦτα, καὶ δόξαι ποιητὴν ἀγαθὸν γεγονέναι. περὶ δὲ Ξενοκρίτου, ὃς ἦν τὸ γένος ἐκ Λοκρῶν τῶν ἐν Ἰταλίᾳ, ἀμφισβητεῖται, εἰ παιάνων ποιητὴς γέγονεν· ἡρωϊκῶν γὰρ ὑποθέσεων πράγματα ἐχουσῶν ποιητὴν γεγονέναι φασὶν αὐτόν· διὸ καί τινας διθυράμβους καλεῖν αὐτοῦ τὰς ὑποθέσεις· πρεσβύτερον δὲ τῇ ἡλικίᾳ φησὶν ὁ Γλαῦκος Θαλήταν Ξενοκρίτου γεγονέναι.

XI. Ὄλυμπος δὲ, ὡς Ἀριστόξενός φησιν, ὑπολαμβάνεται ὑπὸ τῶν μουσικῶν τοῦ ἐναρμονίου γένους εὑρετὴς γεγενῆσθαι· τὰ γὰρ πρὸ ἐκείνου πάντα, διάτονα καὶ χρωματικὰ ἦν. ὑπονοοῦσι δὲ, τὴν εὕρεσιν τοιαύτην τινὰ γενέσθαι· ἀναστρεφόμενον τὸν Ὄλυμπον ἐν τῷ διατόνῳ, καὶ διαβιβάζοντα τὸ μέλος πολλάκις ἐπὶ τὴν διάτονον παρυπάτην, τοτὲ μὲν ἀπὸ τῆς παραμέσης, τοτὲ δ' ἀπὸ τῆς μέσης, καὶ παραβαίνοντα τὴν διάτονον λιχανόν, καταμαθεῖν τὸ κάλλος τοῦ ἤθους, καὶ οὕτω τὸ ἐκ τῆς ἀναλογίας συνεστηκὸς σύστημα θαυμάσαντα καὶ ἀποδεξάμενον, ἐν τούτῳ ποιεῖν ἐπὶ τοῦ Δωρίου τόνου· οὔτε γὰρ τῶν τοῦ διατόνου ἰδίων, οὔτε τῶν τοῦ χρώματος ἅπτεσθαι, ἀλλ' οὐδὲ τῶν τῆς ἁρμονίας· εἶναι δ' αὐτῷ τὰ πρῶτα τῶν ἐναρμονίων τοιαῦτα. τιθέασι γὰρ τούτων πρῶτον τὸν σπονδεῖον, ἐν ᾧ οὐδεμία τῶν διαιρέσεων τὸ ἴδιον ἐμφαίνει, εἰ μή τις εἰς τὸν συντονώτερον σπονδειασμὸν βλέπων αὐτὸ τοῦτο διάτονον εἶναι ἀπεικάσῃ. δῆλον δ', ὅτι καὶ ψεῦδος καὶ ἐκμελὲς θήσει ὁ τοιοῦτο τιθείς· ψεῦδος μὲν, ὅτι διέσει ἔλατόν ἐστι τόνου τοῦ περὶ τὸν ἡγεμόνα κειμένου· ἐκμελὲς δὲ, ὅτι καὶ εἴ τις ἐν τῇ τοῦ τονιαίου δυνάμει τιθείη τὸ τοῦ συντονωτέρου σπονδειασμοῦ ἴδιον, συμβαίνοι ἂν δύο ἑξῆς τίθεσθαι διάτονα, τὸ μὲν ἀσύνθετον, τὸ δὲ σύνθετον· τὸ γὰρ ἐν ταῖς μέσαις ἐναρμόνιον πυκνὸν, ᾧ νῦν χρῶνται, οὐ δοκεῖ τοῦ ποιητοῦ εἶναι. ῥᾴδιον δ' ἐστὶ συνιδεῖν, ἐάν τις ἀρχαϊκῶς τινος αὐλοῦντος ἀκούσῃ· ἀσύνθετον γὰρ βούλεται εἶναι καὶ τὸ ἐν ταῖς μέσαις ἡμιτόνιον. τὰ μὲν οὖν

πρῶτα τῶν ἐναρμονίων τοιαῦτα· ὕστερον δὲ τὸ ἡμιτόνιον διῃρέθη, ἔν τε τοῖς Λυδίοις καὶ ἐν τοῖς Φρυγίοις. φαίνεται δ' Ὄλυμπος αὐξήσας μουσικὴν, τῷ ἀγένητόν τι καὶ ἀγνοούμενον ὑπὸ τῶν ἔμπροσθεν εἰσαγαγεῖν, καὶ ἀρχηγὸς γενέσθαι τῆς Ἑλληνικῆς καὶ καλῆς Μουσικῆς.

XII. Ἔστι δέ τις καὶ περὶ τῶν ῥυθμῶν λόγος· γένη γάρ τινα καὶ εἴδη ῥυθμῶν προσεξευρέθη, ἀλλὰ μὴν καὶ μελοποιῶν τε καὶ ῥυθμοποιῶν. πρότερα μὲν γὰρ ἡ Τερπάνδρου καινοτομία καλόν τινα τρόπον εἰς τὴν μουσικὴν εἰσήγαγε. Πολύμνηστος δὲ μετὰ τὸν Τερπάνδρειον τρόπον καὶ ᾧ ἐχρήσατο, καὶ αὐτὸς μέντοι ἐχόμενος τοῦ καλοῦ τύπου, ἀσαύτως δὲ καὶ Θαλήτας καὶ Σακάδας· καὶ γὰρ οὗτοι μετά γε τὰς ῥυθμοποιΐας ἱκανοὶ, οὐκ ἐκβαίνοντες μὲν τοῦ καλοῦ τύπου. ἔστι δέ τις Ἀλκμανικὴ καινοτομία Στησιχόρειος, καὶ αὗται οὐκ ἀφεστῶσαι τοῦ καλοῦ. Κρέξος δὲ, καὶ Τιμόθεος, καὶ Φιλόξενος, καὶ οἱ κατ' αὐτὴν τὴν ἡλικίαν γεγονότες ποιηταὶ, φορτικώτεροι καὶ φιλόκαινοι γεγόνασι, τὸν φιλάνθρωπον καὶ θεματικὸν νῦν ὀνομαζόμενον διώξαντες· τὴν ὀλιγοχορείαν καὶ τὴν ἁπλότητα καὶ σεμνότητα τῆς μουσικῆς παντελῶς ἀρχαϊκὴν εἶναι συμβέβηκεν.

XIII. Εἰρηκὼς κατὰ δύναμιν περί τε τῆς πρώτης μουσικῆς, καὶ τῶν πρώτων εὑρόντων αὐτὴν, καὶ ὑπὸ τίνων κατὰ χρόνους ταῖς προσεξευρέσεσιν ηὐξήθη, καταπαύσω τὸν λόγον, καὶ παραδώσω τῷ ἑταίρῳ Σωτηρίχῳ, ἐσπουδακότι οὐ μόνον περὶ μουσικὴν,

ἀλλὰ καὶ περὶ τὴν ἄλλην ἐγκύκλιον παιδείαν· ἡμεῖς
γὰρ μᾶλλον χειρουργικῷ μέρει τῆς μουσικῆς ἐγγυ-
νάσμεθα. ὁ μὲν Λυσίας ταῦτ' εἰπὼν κατέπαυσε
τὸν λόγον.

XIV. Σωτήριχος δὲ μετὰ τοῦτον ὧδέ πως ἔφη·
Ὑπὲρ σεμνοῦ ἐπιτηδεύματος καὶ Θεοῖς μάλιστα ἀρέ-
σκοντος, ὦ Ἀγαθὲ Ὀνησίκρατες, τοὺς λόγους ἡμᾶς
προετρέψω ποιήσασθαι. ἀποδέχομαι μὲν οὖν τῆς
συνέσεως τὸν διδάσκαλον Λυσίαν· ἀλλὰ μὴν καὶ τῆς
ἐπιμήνης, ἣν ἐπεδείξατο περί τε τοὺς εὑρετὰς τῆς πρώ-
της μουσικῆς, καὶ περὶ τοὺς τὰ τοιαῦτα συγγεγρα-
φότας. ὑπομνήσω δὲ τοῦθ', ὅτι τοῖς ἀναγεγραμμέ-
νοις μόνοις κατακολουθήσας πεπύηται τὴν δεῖξιν.
ἡμεῖς δ' οὐκ ἄνθρωπόν τινα παρελάβομεν εὑρετὴν
ὧν τῆς μουσικῆς ἀγαθῶν, ἀλλὰ τὸν πάσαις ταῖς
εὑρεταῖς κεκοσμημένον θεὸν, Ἀπόλλωνα. οὔτε γὰρ
Μαρσύου, ἢ Ὀλύμπου, ἢ Φάγνιδος, ὡς τινες οἴον-
ται, εὕρημα ὁ αὐλός. οὐ μόνη δὲ κιθάρα Ἀπόλλω-
νος, ἀλλὰ καὶ αὐλητικῆς καὶ κιθαριστικῆς εὑρετὴς
θεός. δῆλον δ' ἐκ τῶν χορῶν καὶ τῶν θυσιῶν, ἃς
προσῆγον μετ' αὐλῶν τῇ Θεῷ· καθάπερ ἄλλοι τε,
καὶ Ἀλκαῖος ἔν τινι τῶν ὕμνων ἱστορεῖ. καὶ ἡ ἐν
Δήλῳ δὲ τοῦ ἀγάλματος αὐτοῦ ἀφίδρυσις ἔχει ἐν μὲν
τῇ δεξιᾷ τόξον, ἐν δὲ τῇ ἀριστερᾷ Χάριτας, τῶν τῆς
μουσικῆς ὀργάνων ἑκάστην τι ἔχουσαν· ἡ μὲν γὰρ
λύραν κρατεῖ, ἡ δ' αὐλούς, ἡ δ' ἐν μέσῳ προκειμένην
ἔχει τῷ στόματι σύριγγα. ὅτι δ' οὗτος οὐκ ἐμὸς ὁ
λόγος, Ἀντικλῆς καὶ Ἴστρος ἐν ταῖς Ἐπιφανείαις περὶ
αὐτῶν ἀφηγήσαντο· οὕτω δὲ παλαιόν ἐστι τὸ ἀφι-

δρυμα τοῦτο, ὥστε τοὺς ἐργασαμένους αὐτό, τῶν καθ' Ἡρακλέα Μερόπων φασὶν εἶναι. ἀλλὰ μὴν καὶ τῷ κατακομίζοντι παιδὶ τὴν Τεμπικὴν δάφνην εἰς Δελφοὺς παρομαρτεῖ αὐλητής. καὶ τὰ ἐξ Ὑπερβορέων δὲ ἱερὰ μετ' αὐλῶν καὶ συρίγγων καὶ κιθάρας εἰς τὴν Δῆλόν φασι τὸ παλαιὸν στέλλεσθαι. ἄλλοι δὲ καὶ αὐτὸν τὸν Θεὸν φασιν αὐλῆσαι, καθάπερ ἱστορεῖ ὁ ἄριστος μελῶν ποιητὴς Ἀλκμάν. ἡ δὲ Κόρινna, καὶ διδαχθῆναί, φησι, τὸν Ἀπόλλω ὑπ' Ἀθηνᾶς αὐλεῖν. σεμνὴ οὖν κατὰ πάντα ἡ μουσικὴ, θεῶν εὕρημα οὖσα.

XV. Ἐχρήσαντο δ' αὐτῇ οἱ παλαιοὶ κατὰ τὴν ἀξίαν, ὥσπερ καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασι πᾶσιν. οἱ δὲ νῦν τὰ σεμνὰ αὐτῆς παραιτησάμενοι, ἀντὶ τῆς ἀνδρώδους ἐκείνης καὶ θεσπεσίας, καὶ θεοῖς φίλης, κατεαγυῖαν καὶ κωτίλην εἰς τὰ θέατρα εἰσάγουσι. τοιγάρτοι Πλάτων ἐν τῷ τρίτῳ τῆς Πολιτείας δυσχεραίνει τῇ τοιαύτῃ μουσικῇ· τὴν γοῦν Λύδιον ἁρμονίαν παραιτεῖται, ἐπειδὴ ὀξεῖα· καὶ ἐπιτήδειος πρὸς θρῆνον. ἢ καὶ τὴν πρώτην σύστασιν αὐτῆς φασι θρηνώδη τινὰ γενέσθαι. Ὄλυμπον γὰρ πρῶτον Ἀριστόξενος ἐν τῷ πρώτῳ περὶ Μουσικῆς ἐπὶ τῷ Πύθωνί φησιν ἐπικήδειον αὐλῆσαι Λυδιστί. εἶναι δ' οἱ Μελανιππίδην τούτου τοῦ μέλους ἄρξασθαι φασι. Πίνδαρος δ' ἐν παιᾶσιν ἐπὶ τοῖς Νιόβης γάμοις φησὶ Λύδιον ἁρμονίαν πρῶτον διδαχθῆναι. ἄλλοι δὲ Τέρηβον πρῶτον τῇ ἁρμονίᾳ χρήσασθαι, καθάπερ Διονύσιος ὁ Ἴαμβος ἱστορεῖ.

XVI. Καὶ ἡ Μιξολύδιος δὲ παθητικὴ τὶς ὑπα-

τραγῳδίαις ἁρμόζουσα. Ἀριστόξενος δέ φησι, Σαπ
φὼ πρώτην εὕρασθαι τὴν Μιξολυδιστὶ, παρ' ἧς
τοὺς τραγῳδοποιοὺς μαθεῖν· λαβόντας γοῦν αὐτοὺς
συζεῦξαι τῇ Δωριστὶ, ἐπεὶ ἡ μὲν τὸ μεγαλοπρεπὲς
καὶ ἀξιωματικὸν ἀποδίδωσιν, ἡ δὲ τὸ παθητικόν,
μέμικται δὲ διὰ τούτων τραγῳδία. ἐν δὲ τοῖς Ἱστο-
ρικοῖς τῆς Ἁρμονικῆς, Πυθοκλείδην, φασὶ, τὸν αὐ-
λητὴν εὑρετὴν αὐτῆς γεγονέναι. Λύσις δὲ Λαμπρο
κλέα τὸν Ἀθηναῖον, συνιδόντα, ὅτι οὐκ ἐνταῦθα
ἔχει τὴν διάζευξιν, ὅπου σχεδὸν ἅπαντες ᾠοντο, ἀλλ'
ἐπὶ τὸ ὀξὺ, τοιοῦτον αὐτῆς ἀπεργάσασθαι τὸ σχῆμα,
οἷον τὸ ἀπὸ παραμέσης ἐπὶ ὑπάτην ὑπατῶν. ἀλλὰ
μὴν καὶ τὴν Ἐπανειμένην Λυδιστὶ, εἴπερ ἐναντία
τῇ Μιξολυδιστὶ, παραπλησίαν οὖσαν τῇ Ἰάδι, ὑπὸ
Δάμωνος εὑρῆσθαί φασι τοῦ Ἀθηναίου.

XVII. Τούτων δὴ τῶν ἁρμονιῶν, τῆς μὲν θρη-
νῳδικῆς τινος οὔσης, τῆς δ' ἐκλελυμένης, εἰκότως ὁ
Πλάτων παραιτησάμενος αὐτὰς, τὴν Δωριστὶ ὡς πο-
λεμικοῖς ἀνδράσι καὶ σώφροσιν ἁρμόζουσαν εἵλετο·
οὐ μὰ Δία ἀγνοήσας, ὡς Ἀριστόξενός φησιν ἐν τῷ
δευτέρῳ τῶν Μουσικῶν, ὅτι καὶ ἐκείναις τι χρήσι-
μον ἦν πρὸς πολιτείαν φυλακικήν· πάνυ γὰρ προσ-
έσχε τῇ μουσικῇ ἐπιστήμῃ Πλάτων, ἀκουστὴς γε-
νόμενος Δράκοντος τοῦ Ἀθηναίου, καὶ Μετέλλου
τοῦ Ἀκραγαντίνου· ἀλλ' ἐπεὶ, ὡς προείπομεν, πολὺ
τὸ σεμνόν ἐστιν ἐν τῇ Δωριστὶ, ταύτην προὐτίμησεν·
οὐκ ἠγνόει δὲ, ὅτι πολλὰ Δώρια Παρθένεια ἄλλα
Ἀλκμᾶνι, καὶ Πινδάρῳ, καὶ Σιμωνίδῃ, καὶ Βακχυ-
λίδῃ πεποίηται, ἀλλὰ μὴν καὶ ἔτι προσόδια καὶ

παιᾶνες, καὶ μέντοι ὅτι καὶ τραγικοὶ οἶκτοι ποτὲ ἐπὶ τοῦ Δωρίου τρόπου ἐμελῳδήθησαν, καί τινα ἐρωτικά. ἐξήρκει δ' αὐτῷ τὰ εἰς τὸν Ἄρην καὶ Ἀθηνᾶν, καὶ τὰ σπονδεῖα· ἐπιῤῥῶσαι γὰρ ταῦτα ἱκανὰ ἀνδρὸς σώφρονος ψυχήν· καὶ περὶ τοῦ Ἀυδίου δ' οὐκ ἠγνόει, καὶ περὶ τῆς Ἰάδος· ἠπιστατο γὰρ, ὅτι ἡ τριγωδία ταύτη τῇ μελοποιΐᾳ κέχρηται.

XVIII. Καὶ οἱ παλαιοὶ δὲ πάντες οὐκ ἀπείρως ἔχοντες πασῶν τῶν ἁρμονιῶν, ἐνίαις ἐχρήσαντο· οὐ γὰρ ἡ ἄγνοια τῆς τοιαύτης στενοχωρίας καὶ ὀλιγοχορδίας αὐτοῖς αἰτία γεγένηται· οὐδὲ δι' ἄγνοιαν οἱ περὶ Ὄλυμπον καὶ Τέρπανδρον καὶ οἱ ἀκολουθήσαντες τῇ τούτων προαιρέσει, περιεῖλον τὴν πολυχορδίαν τε καὶ ποικιλίαν. μαρτυρεῖ γοῦν τὰ Ὀλύμπου τε καὶ Τερπάνδρου ποιήματα, καὶ τῶν τούτοις ὁμοιοτρόπων πάντων· τρίχορδα γὰρ ὄντα καὶ ἁπλᾶ διαφέρει τῶν ποικίλων καὶ πολυχόρδων, ὡς μηδένα δύνασθαι μιμήσασθαι τὸν Ὀλύμπου τρόπον, ὑσιείζειν δὲ τούτους ἐν τῷ πολυχόρδῳ τε καὶ πολυτρόπῳ καταγινομένους.

XIX. Ὅτι δὲ οἱ παλαιοὶ οὐ δι' ἄγνοιαν ἀπεῖχοντο τῆς τρίτης ἐν τῷ σπονδειάζοντι τρόπῳ, φανερὸν ποιεῖ ἡ ἐν τῇ κρούσει γινομένη χρῆσις· οὐ γὰρ ἄν ποτ' αὐτῇ πρὸς τὴν παρυπάτην κεχρῆσθαι συμφώνως, μὴ γνωρίζοντας τὴν χρῆσιν· ἀλλὰ δῆλον, ὅτι τὸ τοῦ κίθαρις ἦθος, ὃ γίνεται ἐν τῷ σπονδειακῷ τρόπῳ διὰ τὴν τῆς τρίτης ἐξαίρεσιν, τοῦτ' ἦν τὸ τὴν αἴσθησιν αὐτῶν ἐπάγον ἐπὶ τὸ διαβιβάζειν τὸ μέλος ἐπὶ τὴν παρανήτην. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῆς

νήτης· καὶ γὰρ ταύτῃ πρὸς μὲν τὴν κροῦσιν ἐχρῶντο, καὶ πρὸς παρανήτην διαφώνων καὶ πρὸς μέσην συμφώνων· κατὰ δὲ τὸ μέλος οὐκ ἐφαίνετο αὐτοῖς οἰκεία εἶναι τῷ σπονδειακῷ τρόπῳ. οὐ μόνον δὲ τούτοις, ἀλλὰ καὶ τῇ συνημμένου νήτῃ οὕτω κέχρηνται πάντες· κατὰ μὲν γὰρ τὴν κροῦσιν αὐτὴν διεφώνουν πρός τε παρανήτην, καὶ πρὸς παραμέσην, καὶ πρὸς λιχανόν· κατὰ δὲ τὸ μέλος, κᾆν αἰσχυνθῆναι τῷ χρησαμένῳ ἐπὶ τῷ γινομένῳ δι' αὐτὴν ἤθει. δῆλον δ' εἶναι καὶ ἐκ τῶν Φρυγίων, ὅτι οὐκ ἠγνόητο ὑπ' Ὀλύμπου τε καὶ τῶν ἀκολουθησάντων ἐκείνῳ· ἐχρῶντο γὰρ αὐτῇ οὐ μόνον κατὰ τὴν κροῦσιν, ἀλλὰ καὶ κατὰ τὸ μέλος ἐν τοῖς μητρῴοις καὶ ἔν τισι τῶν Φρυγίων. δῆλον δὲ καὶ τὸ περὶ τῶν ὑπατῶν, ὅτι οὐ δι' ἄγνοιαν ἀπείχοντο ἐν τοῖς Δωρίοις τοῦ τετραχόρδου τούτου· αὐτίκα ἐπὶ τῶν λοιπῶν τόνων ἐχρῶντο, δηλονότι εἰδότες· διὰ δὲ τὴν τοῦ ἤθους φυλακὴν ἐφῄρουν ἐπὶ τοῦ Δωρίου τόνου τιμῶντες τὸ καλὸν αὐτοῦ.

XX. Οἷόν τι καὶ ἐπὶ τῶν τῆς τραγῳδίας ποιη-
ν· τῷ γὰρ χρωματικῷ γένει καὶ τῷ ῥυθμῷ τραγῳ-
ι μὲν οὐδέπω καὶ τήμερον κέχρηται· κιθάρα δέ,
λαῖς γενεαῖς πρεσβυτέρα τραγῳδίας οὖσα, ἐξ
ἧς ἐχρήσατο. τὸ δὲ χρῶμα ὅτι πρεσβύτερόν ἐστι
ἁρμονίας, σαφές. δεῖ γὰρ δηλονότι κατὰ τὴν
ἀνθρωπίνης φύσεως ἔντευξιν καὶ χρῆσιν τὸ πρεσ-
ρον λέγειν· κατὰ γὰρ αὐτὴν τὴν τῶν γενῶν φύ-
ὐκ ἔστιν ἕτερον ἑτέρου πρεσβύτερον. εἰ οὖν τις
ον ἢ Φρύνιχον φαίη δι' ἄγνοιαν ἀπεσχῆσθαι

τοῦ χρώματος, ἆρά γ' οὐκ ἂν ἄτοπος εἴη; ὁ γὰρ αὐτὸς καὶ Παγκράτην ἄν ἔνιοι ἀγνοεῖν τὸ χρωματικὸν γένος ἀπείχετο γὰρ καὶ οὗτος ὡς ἐπιτοπολὺ τούτου, ἐχρήσατο δ' ἔν τισιν· οὐ δι' ἄγνοιαν οὖν δηλονότι, ἀλλὰ διὰ τὴν προαίρεσιν, ἀπείχετο· ἐζήλου γοῦν, ὡς αὐτὸς ἔφη, τὸν Πινδαρεῖόν τε καὶ Σιμωνίδειον τρόπον, καὶ καθόλου τὸν ἀρχαῖον καλούμενον ὑπὸ τῶν νῦν.

XXI. Ὁ αὐτὸς δὲ λόγος καὶ περὶ Τυρταίου τε τοῦ Μαντινέως, καὶ Ἀνδρέα τοῦ Κορινθίου, καὶ Θρασύλλου τοῦ Φλιασίου, καὶ ἑτέρων πολλῶν, οὓς πάντας ἴσμεν διὰ προαίρεσιν ἀπεσχημένους χρώματός τε καὶ μεταβολῆς καὶ πολυχορδίας καὶ ἄλλων πολλῶν ἐν μέσῳ ὄντων ῥυθμῶν τε καὶ ἁρμονιῶν καὶ λέξεων καὶ μελοποιΐας καὶ ἑρμηνείας. αὐτίκα Τηλεφάνης ὁ Μεγαρικὸς οὕτως ἐπολέμησε ταῖς σύριγξιν, ὥστε τοὺς αὐλοποιοὺς οὐδ' ἐπιθεῖναι πώποτε εἶασεν ἐπὶ τοὺς αὐλούς, ἀλλὰ καὶ τοῦ Πυθικοῦ ἀγῶνος μάλιστα διὰ ταῦτ' ἀπέστη. καθόλου δ' εἴ τις τῷ μὴ χρῆσθαι τεκμαιρόμενος, καταγνώσεται τῶν μὴ χρωμένων ἄγνοιαν, πολλῶν ἂν τις φθάνοι καὶ τῶν νῦν καταγινώσκων· οἷον, τῶν μὲν Δωριωνίων τοῦ Ἀντιγενιδείου τρόπου καταφρονούντων, ἐπειδήπερ οὐ χρῶνται αὐτῷ· τῶν δ' Ἀντιγενιδείων τοῦ Δωριωνίου διὰ τὴν αὐτὴν αἰτίαν· τῶν δὲ κιθαρῳδῶν τοῦ Τιμοθείου τρόπου, σχεδὸν γὰρ ἀποπεφοιτήκασιν εἴς τε τὰ καττύματα, καὶ εἰς τὰ Πολυείδου ποιήματα. πάλιν δ' αὖ εἴ τις καὶ περὶ τῆς ποικιλίας ὀρθῶς τε καὶ ἐμπείρως, ἐπισκοποίη, τὰ τότε καὶ τὰ νῦν συν-

κρίνων, εὗροι ἂν ἐν χρήσει οὖσαν καὶ τότε τὴν ποικιλίαν. τῇ γὰρ περὶ τὰς ῥυθμοποιΐας ποικιλίᾳ οὐ-σῃ ποικιλωτέρᾳ ἐχρήσαντο οἱ παλαιοί· ἐτίμων γοῦν τὴν ῥυθμικὴν ποικιλίαν, καὶ τὰ περὶ τὰς κρουσματικὰς δὲ διαλέκτους τότε ποικιλώτερα ἦν· οἱ μὲν γὰρ νῦν, φιλομαθεῖς, οἱ δὲ τότε, φιλόῤῥυθμοι. δῆλον οὖν, ὅτι οἱ παλαιοὶ οὐ δι' ἄγνοιαν, ἀλλὰ διὰ προαίρεσιν, ἀπείχοντο τῶν κεκλασμένων μελῶν. καὶ τί θαυμαστόν; πολλὰ γὰρ καὶ ἄλλα τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων οὐκ ἀγνοεῖται μὲν ὑπὸ τῶν χρωμένων, ἀπηλλοτρίωται δ' αὐτῶν, τῆς χρείας ἀφαιρεθείσης, διὰ τὸ εἰς ἕνια ἀπρεπὲς δεδειγμένον.

XXII. Ὅτι δὲ ὁ *Πλάτων* οὔτ' ἀγνοίᾳ, οὔτ' ἀπειρίᾳ, τὰ ἄλλα παρῃτήσατο, ἀλλ' ὡς οὐ πρέποντα τοιαύτῃ πολιτείᾳ, δείξομεν ἐξῆς, ὅτι ἔμπειρος ἁρμονίας ἦν. ἐν γοῦν τῇ ψυχογονίᾳ τῇ ἐν τῷ *Τιμαίῳ* τήν τε περὶ τὰ μαθήματα καὶ μουσικὴν σπουδὴν ἐπεδείξατο οὐδέ πως· Καὶ μετὰ ταῦτα συνεπλήρου τά τε διπλάσια καὶ τὰ τριπλάσια διαστήματα, μοίρας τ' ἐκεῖθεν ἀποτέμνων, καὶ τιθεὶς εἰς τὸ μεταξὺ τούτων· ὥστ' ἐν ἑκάστοι διαστήματι δύο εἶναι μεσότητας. ἁρμονικῆς γὰρ ἦν ἐμπειρίας τοῦτο τὸ προοίμιον, ὡς αὐτίκα δείξομεν. τρεῖς εἰσι μεσότητες αἱ πρῶται, ἀφ' ὧν λαμβάνεται πᾶσα μεσότης, ἀριθμητική, ἁρμονικὴ, γεωμετρουμένη. τούτων ἡ μὲν ἴσῳ ἀριθμῷ ὑπερέχει καὶ ὑπερέχεται, ἡ δ' ἴσῳ λόγῳ, ἡ δ' οὔτε λόγῳ, οὔτ' ἀριθμῷ. ὁ τοίνυν *Πλάτων* τὴν ψυχικὴν ἁρμονίαν τῶν τεσσάρων στοιχείων, καὶ τὴν αἰτίαν τῆς πρὸς ἄλληλα ἐξ ἀνομοίων συμφωνίας δεῖξαι

ἁρμονικῶς βουληθεὶς, ἐν ἑκάστῳ διαστήματι δύο μεσότητας ψυχικὰς ἀπέφηνε κατὰ τὸν μουσικὸν λόγον τῆς γὰρ διὰ πασῶν ἐν μουσικῇ συμφωνίας δύο διαστήματα μέσα εἶναι συμβέβηκεν, ὧν τὴν ἀναλογίαν δείξομεν. ἡ μὲν γὰρ διὰ πασῶν ἐν διπλασίονι λόγῳ θεωρεῖται. ποιήσει δ' εἰκόνος χάριν τὸν διπλάσιον λόγον κατ' ἀριθμὸν τὰ ἓξ καὶ τὰ δώδεκα· ἔστι δὲ τοῦτο τὸ διάστημα ἀπὸ ὑπάτης μέσων ἐπὶ νήτην διεζευγμένων. ὄντων οὖν τῶν ἓξ καὶ δώδεκα ἄκρων, ἔχει ἡ μὲν ὑπάτη μέσων, τὸν τῶν ἓξ ἀριθμόν, ἡ δὲ νήτη διεζευγμένων, τὸν τῶν δώδεκα. λαβεῖν δὴ λοιπὸν χρὴ πρὸς τούτοις ἀριθμοὺς τοὺς μεταξὺ πίπτοντας, ὧν οἱ ἄκροι, ὁ μὲν ἐπίτριτος, ὁ δὲ ἡμιόλιος φανήσεται· εἰσὶ δὲ ὁ τῶν ὀκτὼ καὶ τῶν ἐννέα· τῶν γὰρ ἓξ τὰ μὲν ὀκτὼ, ἐπίτριτα, τὰ δ' ἐννέα, ἡμιόλια. τὸ μὲν ἓν ἄκρον, τοιοῦτο· τὸ δ' ἄλλο τὸ τῶν δώδεκα, τῶν μὲν ἐννέα ἐπίτριτα, τῶν δ' ὀκτὼ ἡμιόλια. τούτων οὖν τῶν ἀριθμῶν ὄντων μεταξὺ τῶν ἓξ καὶ τῶν δώδεκα, καὶ τοῦ διὰ πασῶν διαστήματος ἐκ τοῦ διὰ τεττάρων καὶ τοῦ διὰ πέντε συνεστῶτος, δῆλον, ὅτι ἕξει ἡ μὲν μέση τὸν τῶν ὀκτὼ ἀριθμὸν, ἡ δὲ παραμέση τὸν τῶν ἐννέα. τούτου γενομένου, ἕξει ἡ ὑπάτη πρὸς μέσην, ὡς παραμέση πρὸς νήτην διεζευγμένων· ἀπὸ γὰρ παρυπάτης μέσων διὰ τεττάρων ἐπὶ μέσην· ἀπὸ δὲ παραμέσης ἐπὶ νήτην διεζευγμένων, διὰ πασῶν. ἡ αὐτὴ δ' ἀναλογία καὶ ἐπὶ τῶν ἀριθμῶν εὑρίσκεται· ὡς γὰρ ἔχει τὰ ἓξ πρὸς τὰ ὀκτὼ, οὕτω τὰ ἐννέα πρὸς τὰ δώδεκα· καὶ ὡς ἔχει τὰ ἓξ πρὸς τὰ ἐννέα, οὕτω τὰ ὀκτὼ πρὸς τὰ δώδεκα· ἐπι-

ρικα γὰρ τὰ μὲν ὀκτὼ τῶν ἕξ, τὰ δὲ δώδεκα τῶν
ννέα· ἡμιόλια δὲ τὰ μὲν ἐννέα τῶν ἕξ· τὰ δὲ δώ-
εκα τῶν ὀκτώ. ἀρκέσει τὰ εἰρημένα εἰς τὸ ἐπιδεδει-
ῆναι, ἣν εἶχε περὶ τὰ μαθήματα σπουδὴν καὶ ἐμπει-
ίαν Πλάτων.

XXIII. Ὅτι δὲ σεμνὴ ἡ ἁρμονία, καὶ θεῖόν τι
αὶ μέγα, Ἀριστοτέλης ὁ Πλάτωνος ταυτὶ λέγει· Ἡ
ὲ ἁρμονία ἐστὶν οὐρανία, τὴν φύσιν ἔχουσα θείαν
αὶ καλὴν καὶ δαιμονίαν· τετραμερὴς δὲ τῇ δυνάμει
εφυκυῖα, δύο μεσότητας ἔχει, ἀριθμητικήν τε καὶ
ρμονικήν· φαίνεταί τε τὰ μέρη αὐτῆς, καὶ τὰ με-
έθη καὶ αἱ ὑπεροχαὶ, κατ' ἀριθμὸν καὶ ἰσομετρίαν·
γὰρ δυσὶ τετραχόρδοις ῥυθμίζεται τὰ μέλη. ταῦ-
α μὲν τὰ ῥητά. συνεστάναι δ' αὐτῆς τὸ σῶμα ἔλεγεν
ε μερῶν ἀνομοίων, συμφωνούντων μέντοι πρὸς ἄλ-
ηλα. ἀλλὰ μὴν καὶ τὰς μεσότητας αὐτῆς κατὰ τὸν
ριθμητικὸν λόγον συμφωνεῖν· τὸν γὰρ νέατον,
ρὸς τὸν ὕπατον ἐκ διπλασίου λόγου ἡρμοσμένον,
ὴν διὰ πασῶν συμφωνίαν ἀποτελεῖν. ἔχει γάρ, ὡς
ροείπομεν, τὸν νέατον, δώδεκα μονάδων, τὸν δὲ
πατον, ἕξ· τὴν δὲ παραμέσην συμφωνοῦσαν πρὸς
πάτην καθ' ἡμιόλιον λόγον, ἐννέα μονάδων· τῆς
μέσης ὀκτὼ εἶναι μονάδας ἐλέγομεν. συγκεῖσθαι
διὰ τούτων τῆς μουσικῆς τὰ κυριώτατα διαστή-
ατα συμβαίνει· τό τε διὰ τεσσάρων, ὅ ἐστι κατὰ
ὸν ἐπίτριτον λόγον· καὶ τὸ διὰ πέντε, ὅ ἐστι κατὰ
ὸν ἡμιόλιον λόγον· καὶ τὸ διὰ πασῶν, ὅ ἐστι κατὰ
ὸν διπλάσιον· ἀλλὰ γὰρ καὶ τὸν ἐπόγδοον σώζε-
θαι, ὃς ἐστι κατὰ τὸν τονιαῖον λόγον· ταῖς αὐταῖς

δ' ὑπεροχαῖς ὑπερέχειν καὶ ὑπερέχεσθαι τῆς ἁρμονίας τὰ μέρη ὑπὸ τῶν μερῶν, καὶ τὰς μεσότητας ὑπὸ τῶν μεσοτήτων, κατά τι τὴν ἐν ἀριθμοῖς ὑπεροχὴν, καὶ κατὰ τὴν γεωμετρικὴν δύναμιν συμβαίνει. ἀποφαίνει γοῦν αὐτὰς Ἀριστοτέλης τὰς δυνάμεις ἐχούσας τοιαύτην, τὴν μὲν νεάτην, τῆς μέσης τῷ τρίτῳ μέρει τῷ αὐτῆς ὑπερέχουσαν· τὴν δὲ ὑπάτην ὑπὸ τῆς παραμέσης ὑπερεχομένην ὁμοίως. ὡς γίνεσθαι τὰς ὑπεροχὰς τῶν πρός τι· τοῖς γὰρ αὐτοῖς μέρεσιν ὑπερέχουσι καὶ ὑπερέχονται. τοῖς γοῦν αὐτοῖς λόγοις οἱ ἄκροι τῆς μέσης καὶ παραμέσης ὑπερέχουσι καὶ ὑπερέχονται, ἐπιτρίτῳ καὶ ἡμιολίῳ· τοιαύτη δὴ ὑπεροχὴ ἐστιν ἡ ἁρμονική. ἡ δὲ τῆς νεάτης ὑπεροχὴ καὶ τῆς μέσης κατ' ἀριθμητικὸν λόγον ἴσῳ μέρει τὰς ὑπεροχὰς ἐμφαίνουσιν· ὡσαύτως καὶ ἡ παραμέση τῆς ὑπάτης· τῆς γὰρ μέσης ἡ παραμέση κατὰ τὸν ἐπόγδοον λόγον ὑπερέχει. πάλιν ἡ νεάτη τῆς ὑπάτης δὶς τλασία ἐστὶν, ἡ δὲ παραμέση τῆς ὑπάτης ἡμιόλιος ἡ δὲ μέση ἐπίτριτος πρὸς ὑπάτην ἥρμοσται. καὶ τοῖς μὲν μέρεσι καὶ τοῖς πλήθεσι καὶ κατ' Ἀριστοτέλην ἡ ἁρμονία οὕτως ἔχουσα πέφυκε.

XXIV. Συνέστηκε δὲ φυσικώτατα ἔκ τε τῆς ἀπείρου καὶ περαινούσης καὶ ἐκ τῆς ἀρτιοπερίσσου φύσεως, καὶ αὐτὴ καὶ τὰ μέρη αὐτῆς πάντα· αὐτὴ μὲν γὰρ ὅλη ἀρτία ἐστὶ, τετραμερὴς οὖσα τοῖς ὅροις· τὰ δὲ μέρη αὐτῆς, καὶ οἱ λόγοι, ἄρτιοι καὶ περισσοὶ καὶ ἀρτιοπέρισσοι. τὴν μὲν γὰρ νεάτην ἔχει ἀρτίαν, ἐκ δώδεκα μονάδων· τὴν δὲ παραμέσην, πεντεκαίδεκα ἐξ ἑννέα μονάδων· τὴν δὲ μέσην ἑπτὰ καὶ

ἐκτὼ μονάδων. τὴν δὲ ὑπάτην, ἀρτιοπέρισσον, ἐξ μονάδων οὖσαν. οὕτω δὲ πεφυκυῖα αὐτή τε καὶ τὰ μέρη αὐτῆς πρὸς ἄλληλα ταῖς ὑπεροχαῖς τε καὶ τοῖς λόγοις, ὅλη τε ὅλῃ καὶ τοῖς μέρεσι συμφωνεῖ.

XXV. Ἀλλὰ μὴν καὶ αἱ αἰσθήσεις, αἱ τοῖς σώμασιν ἐγγινόμεναι, διὰ τὴν ἁρμονίαν, αἱ μὲν οὐράνιαι θεῖαι οὖσαι, μετὰ θεοῦ τὴν αἴσθησιν παρεχόμεναι τοῖς ἀνθρώποις, ὄψις τε καὶ ἀκοή, μετὰ φωνῆς καὶ φωτὸς τὴν ἁρμονίαν ἐπιφαίνουσι· καὶ ἄλλαι δ' αὐταῖς ἀκόλουθοι, ᾗ αἰσθήσεις καθ' ἁρμονίαν συνεστᾶσι· πάντα γὰρ καὶ αὗται ἐπιτελοῦσιν οὐκ ἄνευ ἁρμονίας, ἐλάττους μὲν ἐκείνων οὖσαι, οὐκ ἄπο δ' ἐκείνων· ἐκεῖναι γὰρ ἅμα θεοῦ παρουσίᾳ παραγινόμεναι τοῖς σώμασι κατὰ λογισμόν, ἰσχυράν τε καὶ καλὴν φύσιν ἔχουσι.

XXVI. Φανερὸν οὖν ἐκ τούτων, ὅτι τοῖς παλαιοῖς τῶν Ἑλλήνων εἰκότως μάλιστα πάντων ἐμέλησε πεπαιδεῦσθαι μουσικήν. τῶν γὰρ νέων τὰς ψυχὰς ᾤοντο δεῖν διὰ μουσικῆς πλάττειν τε καὶ ῥυθμίζειν ἐπὶ τὸ εὔσχημον, χρησίμης δηλονότι τῆς μουσικῆς ὑπαρχούσης πρὸς πάντα καὶ πᾶσαν εὐπρεπῆ πρᾶξιν, προηγουμένως δὲ πρὸς τοὺς πολεμικοὺς κινδύνους· πρὸς οὓς οἱ μὲν αὐλοῖς ἐχρῶντο, καθάπερ Λακεδαιμόνιοι· παρ' οἷς τὸ καλούμενον Καστόρειον ηὐλεῖτο μέλος, ὁπότε τοῖς πολεμίοις ἐν κόσμῳ προσῄεσαν μαχεσόμενοι. οἱ δὲ καὶ πρὸς λύραν ἐποίουν τὴν πρόσοδον τὴν πρὸς τοὺς ἐναντίους· καθάπερ ἱστοροῦνται μέχρι πολλοῦ χρήσασθαι τῷ τρόπῳ τούτῳ τῆς ἐπὶ τοὺς πολεμικοὺς κινδύνους

ἐξόδου Κρῆτες. οἱ δ' ἔτι καὶ καθ' ἡμᾶς σάλπιγξι διατελοῦσι χρώμενοι. Ἀρχεῖοι δὲ πρὸς τὴν τῶν Σθενείων τῶν καλουμένων παρ' αὐτοῖς πάλην ἐχρῶντο τῷ αὐλῷ· τὸν δ' ἀγῶνα τοῦτον ἐπὶ Δαναῷ μὲν τὴν ἀρχὴν τεθῆναί φασιν, ὕστερον δ' ἀνατεθῆναι Διὶ Σθενίῳ· οὐ μὴν ἀλλ' ἔτι καὶ νῦν τοῖς πεντάθλοις νενόμισται προσαυλεῖσθαι, οὐδὲν μὲν κεκριμένον, οὐδ' ἀρχαῖον, οὐδ' οἷον ἐνομίζετο παρὰ τοῖς ἀνδράσιν ἐκείνοις, ὥσπερ τὸ ὑπὸ Τέρακος πεποιημένον πρὸς τὴν ἀγωνίαν ταύτην, ὃ ἐκαλεῖτο ἐνδρομή· ὅμως δὲ καὶ εἰ ἀσθενές τι καὶ οὐ κεκριμένον, ἀλλ' οὖν προσαυλεῖται.

XXVII. Ἐπὶ μέντοι τῶν ἔτι ἀρχαιοτέρων οὐδ' εἰδέναι, φασὶ, τοὺς Ἕλληνας τὴν θεατρικὴν μοῦσαν· ὅλην δ' αὐτῆς τὴν ἐπιστήμην πρός τε θεῶν τιμὴν, καὶ τὴν τῶν νέων παίδευσιν παραλαμβάνεσθαι, μηδὲ τὸ παράπαν ἤδη θεάτρου παρὰ τοῖς ἀνδράσιν ἐκείνοις κατεσκευασμένου, ἀλλ' ἔτι τῆς μουσικῆς ἐν τοῖς ἱεροῖς ἀναστρεφομένης, ἐν οἷς τιμήν τε τοῦ θείου διὰ ταύτης ἐποιοῦντο, καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἐπαίνους· εἰκὸς δ' εἶναι, ὅτι τὸ θέατρον ὕστερον, καὶ τὸ θεωρεῖν πολὺ πρότερον, ἀπὸ τοῦ θεοῦ τὴν προσηγορίαν ἔλαβεν. ἐπὶ μέντοι τῶν καθ' ἡμᾶς χρόνων τοσοῦτον ἐπιδέδωκε τὸ τῆς διαφορᾶς εἶδος, ὥστε τοῦ μὲν παιδευτικοῦ τρόπου μηδεμίαν μνείαν μηδ' ἀντίληψιν εἶναι, πάντας δὲ τοὺς μουσικῆς ἁπτομένους πρὸς τὴν θεατρικὴν προσεχωρηκέναι μοῦσαν.

XXVIII. Εἴποι τις· Ὦ τᾶν, οὐδὲν οὖν ὑπὸ τῶν ἀρχαίων προσεξεύρηται καὶ κεκαινοτόμηται;

καὶ αὐτὸς, ὅτι προσεξεύρηται, ἀλλὰ μετα τοῦ σεμνοῦ καὶ πρέποντος. οἱ γὰρ ἱστορήσαντες τὰ τοιαῦτα Τερπάνδρῳ μὲν τὴν τε Δώριον νήτην προσεπίθεσαν, οὐ χρησαμένων αὐτῇ τῶν ἔμπροσθεν κατὰ τὸ μέλος. καὶ τὸν Μιξολύδιον δὲ τόνον ὅλον προσεξευρῆσθαι λέγεται, καὶ τὸν τῆς ὀρθίου μελῳδίας τρόπον τὸν κατὰ τοὺς ὀρθίους πρὸς τὸν ὄρθιον σημαντὸν τροχαῖον. εἰ δὲ, καθάπερ Πίνδαρός φησι, καὶ τῶν σκολιῶν μελῶν Τέρπανδρος εὑρετὴς ἦν, ἀλλὰ μὴν καὶ Ἀρχίλοχος τὴν τῶν τριμέτρων ῥυθμοποιΐαν προσεξεῦρε, καὶ τὴν εἰς τοὺς οὐχ ὁμογενεῖς ῥυθμοὺς ἔντασιν, καὶ τὴν παρακαταλογὴν, καὶ τὴν περὶ ταῦτα κροῦσιν· πρώτῳ δὲ αὐτῷ τά τ' ἐπῳδὰ, καὶ τὰ τετράμετρα, καὶ τὸ προκριτικὸν καὶ τὸ προσοδιακὸν ἀποδέδοται, καὶ ἡ τοῦ πρώτου αὔξησις, ὑπ' ἐνίων δὲ καὶ τὸ ἐλεγεῖον, πρὸς δὲ τούτοις ἥ τε τοῦ ἰαμβείου πρὸς τὸν ἐπιβατὸν παίωνα ἔντασις, καὶ ἡ τοῦ ηὐξημένου ἡρῴου, εἴς τε τὸν προσοδιακὸν, καὶ τὸν κρητικόν· ἔτι δὲ τῶν ἰαμβείων, τὸ τὰ μὲν λέγεσθαι παρὰ τὴν κροῦσιν, τὰ δ' ᾄδεσθαι, Ἀρχίλοχόν φασι καταδεῖξαι, εἶθ' οὕτω χρήσασθαι τοὺς τραγικοὺς ποιητὰς, Κρέξον δὲ λαβόντα εἰς διθύραμβον χρῆσιν ἀγαγεῖν. οἴονται δὲ, καὶ τὴν κροῦσιν τὴν ὑπὸ τὴν ᾠδὴν τοῦτον πρῶτον εὑρεῖν, τοὺς δ' ἀρχαίους πάντας πρόσχορδα κρούειν.

XXIX. *Πολυμνήστῳ δὲ τὸν Θ' ὑπολύδιον νῦν ὀνομαζόμενον τόνον ἀνατιθέασι, καὶ τὴν ἔκλυσιν καὶ τὴν ἐκβολὴν πολὺ μείζω πεποιηκέναι φασὶν αὐτὸν. καὶ αὐτόν δὲ τὸν Ὄλυμπον ἐκεῖνον, ᾧ δὴ τὴν ἀρχὴν*

τῆς Ἑλληνικῆς τε καὶ νομικῆς μούσης ἀποδιδόασι, τό τε τῆς ἁρμονίας γένος ἐξευρεῖν φασι, καὶ τῶν ῥυθμῶν τόν τε προσοδιακὸν, ἐν ᾧ ὁ τοῦ Ἄρεως νόμος, καὶ τὸν χορεῖον, ᾧ πολλῷ κέχρηνται ἐν τοῖς Μητρῴοις· ἔνιοι δὲ καὶ τὸν βακχεῖον Ὄλυμπον εἶναι εὑρηκέναι. δῆλον δ' ἕκαστον τῶν ἀρχαίων μελῶν, ὅτι ταῦτα οὕτως ἔχει. Λάσος δὲ ὁ Ἑρμιονεὺς εἰς τὴν διθυραμβικὴν ἀγωγὴν μεταστήσας τοὺς ῥυθμούς, καὶ τῇ τῶν αὐλῶν πολυφωνίᾳ κακοπολουθήσας, πλείοσί τε φθόγγοις καὶ διεῤῥιμμένοις χρησάμενος, εἰς μετάθεσιν τὴν προϋπάρχουσαν ἦγαγε μουσικήν.

XXX. Ὁμοίως δὲ καὶ Μελανιππίδης ὁ μελοποιὸς ἐπιγενόμενος, οὐκ ἐνέμεινε τῇ προϋπαρχούσῃ μουσικῇ, ἀλλ' οὐδὲ Φιλόξενος, οὐδὲ Τιμόθεος· οὗτος γὰρ, ἑπταφθόγγου τῆς λύρας ὑπαρχούσης ἕως εἰς Τέρπανδρον τὸν Ἀντισσαῖον, διεῤῥιψεν εἰς πλείονας φθόγγους. ἀλλὰ γὰρ καὶ αὐλητικὴ ἀπὸ ἁπλουστέρας εἰς ποικιλωτέραν μεταβέβηκε μουσικήν· τὸ γὰρ παλαιὸν, ἕως εἰς Μελανιππίδην, τὸν τῶν διθυράμβων ποιητὴν, συμβεβήκει τοὺς αὐλητὰς παρὰ τῶν ποιητῶν λαμβάνειν τοὺς μισθοὺς, πρωταγωνιστούσης δηλονότι τῆς ποιήσεως, τῶν δ' αὐλητῶν ὑπηρετούντων τοῖς διδασκάλοις· ὕστερον δὲ καὶ τοῦτο διεφθάρη· ὡς καὶ Φερεκράτην τὸν κωμικὸν εἰσαγαγεῖν τὴν μουσικὴν ἐν γυναικείῳ σχήματι, ὅλην κατηκισμένην τὸ σῶμα· ποιεῖ δὲ τὴν δικαιοσύνην διαπυνθανομένην τὴν αἰτίαν τῆς λώβης, καὶ τὴν ποίησιν λέγουσαν.

ΜΟΥΣ. Λέξω μὲν οὐκ ἄκουσα· σοί τε γὰρ ἄλλως

Ἐμοί τε λέξαι θυμὸς ἡδονὴν ἔχει.
Ἐμοὶ γὰρ ἦρξε τῶν κακῶν Μελανιππίδης
Ἐν τοῖσι πρώτοις, ὃς λαβὼν ἀνῆκέ με,
Χαλαρωτέραν τ' ἐποίησε χορδαῖς δώδεκα.
Ἀλλ' οὖν ὅμως οὗτος μὲν ἦν ἀποχρῶν ἀνὴρ
Ἔμοιγε πρὸς τὰ νῦν κακά —
Κινησίας δὲ, ὁ κατάρατος Ἀττικὸς,
Ἐξαρμονίους καμπὰς ποιῶν ἐν ταῖς στροφαῖς
Ἀπολώκεκέ μ' οὕτως, ὥστε τῆς ποιήσεως
Τῶν διθυράμβων, καθάπερ ἐν ταῖς ἀσπίσιν,
Ἀριστερ' αὐτοῦ φαίνεται τὰ δεξιά.
Ἀλλ' οὐκ ἂν εἴποις οὕτως, ἦν ὅμως ὅμως.
Φρύννις δ' ἴδιον στρόβιλον ἐμβαλών τινα,
Κάμπτων με καὶ στρέφων, ὅλην διέφθορεν,
Ἐν πέντε χορδαῖς δώδεκα ἁρμονίας ἔχων.
Ἀλλ' οὖν ἔμοιγε χ' οὗτος ἦν ἀποχρῶν ἀνήρ·
Εἰ γάρ τι κἀξήμαρτεν, αὖθις ἀνέλαβεν.
Ὁ δὲ Τιμόθεός μ', ὦ φιλτάτη, κατορώρυχε
Καὶ διακέκναικ' αἴσχιστα. ΔΙΚ. Ποῖος οὑτοσὶ
Τιμόθεος; ΜΟΥΣ. Μιλήσιός τις Πυῤῥίας
Κακά μοι παρέσχεν· οὗτος ἅπαντας, οὓς λέγω,
Παρελήλυθεν ἄγων ἑκτραπέλους μυρμηκίας.
Κἂν ἐντύχῃ πού μοι βαδιζούσῃ μόνῃ,
Ἀπέλυσε, κἀνέλυσε χορδαῖς δώδεκα.

καὶ Ἀριστοφάνης ὁ κωμικὸς μνημονεύει Φιλοξένου, καί φησι, ὅτι εἰς τοὺς κυκλίους χοροὺς μέλη εἰσηνέγκατο. ἡ δὲ μουσικὴ λέγει ταῦτα·

Ἐξαρμονίους ὑπερβολαίους τε ἀνοσίους
Καὶ νιγλάρους, ὥσπερ τε τὰς φαφάρους ὅλην
Κάμπτων με κατεμέστωσε.

καὶ ἄλλοι δὲ κωμῳδοποιοὶ ἔδειξαν τὴν ἀτοπίαν τῶν μετὰ ταῦτα τὴν μουσικὴν κατακεκερματικότων.

XXXI. Ὅτι δὲ περὶ τὰς ἀγωγὰς καὶ τὰς μαθήσεις διόρθωσις ἡ διαστροφὴ γίνεται, δῆλον Ἀριστόξενος ἐποίησε. τῶν γὰρ κατὰ τὴν αὐτοῦ ἡλικίαν, φησὶ, Τελεσίᾳ τῷ Θηβαίῳ συμβῆναι νέῳ μὲν ὄντι, τραφῆναι ἐν τῇ καλλίστῃ μουσικῇ, καὶ μαθεῖν ἄλλα τε τῶν εὐδοκιμούντων, καὶ δὴ καὶ τὰ Πινδάρου, τά τε Διονυσίου τοῦ Θηβαίου, καὶ τὰ Λάμπρου, καὶ τὰ Πρατίνου, καὶ τῶν λοιπῶν, ὅσοι τῶν λυρικῶν ἄνδρες ἐγένοντο ποιηταὶ κρουμάτων ἀγαθοί· καὶ αὐλῆσαι δὲ καλῶς, καὶ περὶ τὰ λοιπὰ μέρη τῆς συμπάσης παιδείας ἱκανῶς διαπονηθῆναι· παραλλάξαντα δὲ τὴν τῆς ἀκμῆς ἡλικίαν, οὕτω σφόδρα ἐξαπατηθῆναι ὑπὸ τῆς σκηνικῆς τε καὶ ποικίλης μουσικῆς, ὡς καταφρονῆσαι τῶν καλῶν ἐκείνων, ἐν οἷς ἀνετράφη, τὰ Φιλοξένου δὲ καὶ Τιμοθέου ἐκμανθάνειν, καὶ τούτων αὐτῶν τὰ ποικιλώτατα καὶ πλείστην ἐν αὑτοῖς ἔχοντα καινοτομίαν· ὁρμήσαντά τε ἐπὶ τὸ ποιεῖν μέλη, καὶ διαπειρώμενον ἀμφοτέρων τῶν τρόπων, τοῦ τε Πινδαρείου καὶ Φιλοξενείου, μὴ δύνασθαι κατορθοῦν ἐν τῷ Φιλοξενείῳ γένει· γεγενῆσθαι δ' αἰτίαν τὴν ἐκ παιδὸς καλλίστην ἀγωγήν.

XXXII. Εἰ οὖν τις βούλεται μουσικῇ καλῶς καὶ κεκριμένως χρῆσθαι, τὸν ἀρχαῖον ἀπομιμείσθω τρόπον· ἀλλὰ μὴν καὶ τοῖς ἄλλοις αὐτὴν μαθήμασιν ἀναπληρούτω, καὶ φιλοσοφίαν ἐπιστησάτω παιδαγωγόν· αὕτη γὰρ ἱκανὴ κρῖναι τὸ μουσικῇ πρέπον μέτρον καὶ τὸ χρήσιμον. τριῶν γὰρ ὄντων μερῶν, ἐκ

ἐ διῄρηται τὴν καθόλου διαίρεσιν ἡ πᾶσα μουσικὴ, διατόνου, χρώματος, ἁρμονίας, ἐπιστήμονα χρὴ εἶναι τῆς τούτοις χρωμένης ποιήσεως τὸν μουσικῇ προσιόντα, καὶ τῆς ἑρμηνείας τῆς τὰ πεποιημένα παραδιδούσης ἐπήβολον. πρῶτον μὲν οὖν κατανοητέον, ὅτι πᾶσα μάθησις τῶν περὶ τὴν μουσικὴν, θισμός ἐστιν οὐδέπω προσειληφὼς τὸ τίνος ἕνεκα τῶν διδασκομένων ἕκαστον τῷ μανθάνοντι μαθητέον ἐστί. μετὰ δὲ τοῦτο ἐνθυμητέον, ὅτι πρὸς τὴν τοιαύτην ἀγωγήν τε καὶ μάθησιν οὐδέπω προσάγεται τρόπων ἐξαρίθμησις. ἀλλὰ οἱ μὲν πολλοὶ εἰκῇ μανθάνουσιν, ὃ ἂν τῷ διδάσκοντι ἢ τῷ μανθάνοντι ἀρέσῃ· οἱ δὲ συνετοὶ τὸ εἰκῇ ἀποδοκιμάζουσιν, ὥστερ Λακεδαιμόνιοι τὸ παλαιὸν καὶ Μαντινεῖς καὶ Πελληνεῖς· ἕνα γάρ τινα τρόπον ἢ παντελῶς ὀλίγους κλεξάμενοι, οὓς ᾠοντο πρὸς τὴν τῶν ἠθῶν ἐπανόρθωσιν ἁρμόττειν, αὐτῇ τῇ μουσικῇ ἐχρῶντο.

XXXIII. *Φανερὸν δ' ἂν γένοιτο, εἴ τις ἑκάστην ξετάζοιτο τῶν ἐπιστημῶν, τίνος ἐστὶ θεωρητική· ῆλον γὰρ, ὅτι ἡ μὲν ἁρμονικὴ, γενῶν τε τῶν τοῦ ἡρμοσμένου, καὶ διαστημάτων καὶ συστημάτων καὶ θθόγγων καὶ τόνων καὶ μεταβολῶν συστηματικῶν στι γνωστική· ποῤῥωτέρω δ' οὐκέτι ταύτῃ προσελθεῖν οἷόν τε. ὥστ' οὐδὲ ζητεῖν παρὰ ταύτης τὸ διαγνῶναι δύνασθαι, πότερον οἰκείως εἴληφεν ὁ ποιητὴς ὅμοιον εἰπεῖν ἐν μούσοις τὸν Ὑποδώριον τόνον πὶ τὴν ἀρχὴν, ἢ τὸν Μιξολύδιόν τε καὶ Λύδιον ἐπὶ ὴν ἔκβασιν, ἢ τὸν Ὑποφρύγιόν τε καὶ Φρύγιον ἐπὶ ὴν μέσην. οὐ γὰρ διατείνει τῇ ἁρμονικῇ πραγμα-*

τείᾳ πρὸς τὰ τοιαῦτα, προσδεῖται δὲ πολλῶν ἑτέρων· τὴν γὰρ τῆς οἰκειότητος δύναμιν ἀγνοεῖ. οὔτε γὰρ τὸ χρωματικὸν γένος, οὔτε τὸ ἐναρμόνιον ἥξει ποτὲ ἔχον τὴν τῆς οἰκειότητος δύναμιν τελείαν, καὶ καθ' ἣν τὸ τοῦ πεποιημένου μέλους ἦθος ἐπιφαίνεται, ἀλλὰ τοῦτο τοῦ τεχνίτου ἔργον. φανερὸν δέ, ὅτι ἑτέρα τοῦ συστήματος ἡ φωνὴ τῆς ἐν τῷ συστήματι κατασκευασθείσης μελοποιΐας, περὶ ἧς οὐκ ἔστι θεωρῆσαι τῆς ἁρμονικῆς πραγματείας. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῶν ῥυθμῶν. οὐθεὶς γὰρ ῥυθμὸς τὴν τῆς τελείας οἰκειότητος δύναμιν ἥξει ἔχων ἐν αὑτῷ· τὸ γὰρ οἰκείως ἀεὶ λεγόμενον, πρὸς ἦθός τι βλέποντες λέγομεν· τούτου δὲ φαμὲν αἰτίαν σύνθεσίν τινα, ἢ μίξιν, ἢ ἀμφότερα. οἷον Ὀλύμπῳ τὸ ἐναρμόνιον γένος ἐπὶ Φρυγίου τόνου τεθέν, παίωνι ἐπιβατῷ μιχθέν· τοῦτο γὰρ τῆς ἀρχῆς τὸ ἦθος ἐγέννησεν ἐπὶ τῷ τῆς Ἀθηνᾶς νόμῳ· προσληφθείσης γὰρ μελοποιΐας καὶ ῥυθμοποιΐας, τεχνικῶς τε μεταληφθέντος τοῦ ῥυθμοῦ μόνον αὐτοῦ, καὶ γενομένου τροχαίου ἀντὶ παίωνος, συνέστη τὸ Ὀλύμπου ἐναρμόνιον γένος. ἀλλὰ μὴν καὶ τοῦ ἐναρμονίου γένους καὶ τοῦ Φρυγίου τόνου διαμενόντων, καὶ πρὸς τούτοις τοῦ συστήματος παντὸς, μεγάλην ἀλλοίωσιν ἔσχηκε τὸ ἦθος· ἡ γὰρ καλουμένη ἁρμονία ἐν τῷ τῆς Ἀθηνᾶς νόμῳ πολὺ διέστηκε τὸ ἦθος τῆς ἀναπείρας. εἰ οὖν προσγένοιτο τῷ τῆς μουσικῆς ἐμπείρῳ τὸ κριτικὸν, δῆλον, ὅτι οὗτος ἂν εἴη ὁ ἀκριβὴς ἐν μουσικῇ· ὁ γὰρ εἰδὼς τὸ Δωριστὶ ἄνευ τοῦ κρίνειν ἐπίστασθαι τὴν τῆς χρήσεως αὐτοῦ οἰκειότητα, οὐκ ἔστιν, ὃ

ποιεῖ· ἀλλ' οὐδὲ τὸ ἦθος σώσει. ἐπεὶ καὶ περὶ αὐτῶν τῶν Δωρίων μελοποιϊῶν ἀπορεῖται, πότερόν ἐστι διαγνωστικὴ ἡ ἁρμονικὴ πραγματεία, καθάπερ τινὲς οἴονται, τῶν Δωρίων, ἢ οὔ. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῆς ῥυθμικῆς ἐπιστήμης πάσης. ὁ γὰρ εἰδὼς τὸν παίωνα, τὴν τῆς χρήσεως αὐτοῦ οἰκειότητα οὐκ ἴσται, διὰ τὸ αὐτὴν μόνην εἰδέναι τὴν τοῦ παίωνος ξύνοισιν. ἐπεὶ καὶ περὶ αὐτῶν τῶν παιωνικῶν ῥυθμοποιϊῶν ἀπορεῖται, πότερόν ἐστι διαγνωστικὴ ἡ ῥυθμικὴ πραγματεία τούτων ἢ, καθάπερ τινές φασιν, οὐ διατείνει μέχρι τούτου. ἀναγκαῖον οὖν, δύο τοὐλάχιστον γνώσεις ὑπάρχειν τῷ μέλλοντι διαγνώσεσθαι τό τ' οἰκεῖον καὶ τὸ ἀλλότριον· πρῶτον μέν, τοῦ ἤθους, οὗ ἕνεκα ἡ σύνθεσις γεγένηται· ἔπειτα, τούτων, ἐξ ὧν ἡ σύνθεσις. ὅτι μὲν οὖν οὔθ' ἡ ἁρμονικὴ, οὔθ' ἡ ῥυθμικὴ, οὔτ' ἄλλη οὐδεμία τῶν καθ' ἓν μέρος λεγομένων, αὐτάρκης αὐτὴ καθ' αὑτὴν τοῦ ἤθους εἶναι καὶ γνωστικὴ καὶ τῶν ἄλλων κριτικὴ, ἀρκέσει τὰ εἰρημένα.

XXXIV. Τριῶν δ' ὄντων γενῶν, εἰς ἃ διαιρεῖται τὸ ἡρμοσμένον, ἴσον τοῖς τε τῶν συστημάτων μεγέθεσι καὶ ταῖς τῶν φθόγγων δυνάμεσιν, ὁμοίως δὲ καὶ ταῖς τῶν τετραχόρδων, περὶ ἑνὸς μόνου οἱ παλαιοὶ ἐπραγματεύσαντο· ἐπειδήπερ οὔτε περὶ χρώματος, οὔτε περὶ διατόνου οἱ πρὸ ἡμῶν ἐπεσκόπουν, ἀλλὰ περὶ μόνου τοῦ ἐναρμονίου, καὶ αὖ τούτου περὶ ἕν τι μέγεθος συστήματος, τοῦ καλουμένου διὰ πασῶν· περὶ μὲν γὰρ τῆς χρόας διεφέροντο, περὶ δὲ τοῦ μίαν εἶναι αὐτὴν τὴν ἁρμονίαν

σχεδὸν πάντες συνεφώνουν. οὐκ ἂν οὖν ποτε συνίδοι τὰ περὶ τὴν ἁρμονικὴν πραγματείαν ὁ μέχρι αὐτῆς τῆς γνώσεως ταύτης προειληλυθὼς, ἀλλὰ δηλονότι παρακολουθῶν ταῖς τε κατὰ μέρος ἐπιστήμαις, καὶ τῷ συνόλῳ σώματι τῆς μουσικῆς, καὶ ταῖς τῶν μερῶν μίξεσί τε καὶ συνθέσεσιν. ὁ γὰρ μόνον ἁρμονικὰς περιγέγραπται τρόπῳ τινί. καθόλου μὲν οὖν εἰπεῖν, ὁμοδρομεῖν δεῖ τὴν τ' αἴσθησιν καὶ τὴν διάνοιαν ἐν τῇ κρίσει τῶν τῆς μουσικῆς μερῶν, καὶ μήτε προάγειν, ὃ ποιοῦσιν αἱ προπετεῖς τε καὶ φερόμεναι τῶν αἰσθήσεων, μήτε ὑστερίζειν, ὃ ποιοῦσιν αἱ βραδεῖαί τε καὶ δυσκίνητοι. γίνεται δέ ποτ' ἐπί τινων αἰσθήσεων καὶ τὸ συγκείμενον ἐκ τοῦ συνεφοτέρου, καὶ ὑστεροῦσιν αἱ αὐταὶ καὶ προτεροῦσι διά τινα φυσικὴν ἀνωμαλίαν. περιαιρετέον οὖν τῆς μελλούσης ὁμοδρομεῖν αἰσθήσεως ταῦτα.

XXXV. Ἀεὶ γὰρ ἀναγκαῖον, τρία ἐλάχιστα εἶναι τὰ πίπτοντα ἅμα εἰς τὴν ἀκοὴν, φθόγγον τε, καὶ χρόνον, καὶ συλλαβὴν ἢ γράμμα. συμβήσεται δ' ἐκ τῆς μὲν κατὰ τὸν φθόγγον πορείας τὸ ἡρμοσμένον γνωρίζεσθαι· ἐκ δὲ τῆς κατὰ χρόνον, τὸν ῥυθμόν· ἐκ δὲ τῆς κατὰ γράμμα ἢ συλλαβὴν, τὸ λεγόμενον· ὁμοῦ δὲ προβαινόντων, ἅμα τὴν τῆς αἰσθήσεως ἐπιφορὰν ἀναγκαῖον ποιεῖσθαι. ἀλλὰ μὴν κἀκεῖνο φανερὸν, ὅτι οὐκ ἐνδέχεται, μὴ δυναμένης τῆς αἰσθήσεως χωρίζειν ἕκαστον τῶν εἰρημένων, παρακολουθεῖν τε δύνασθαι τοῖς καθ' ἕκαστα, καὶ συνορᾷν τό θ' ἁμαρτανόμενον ἐν ἑκάστῳ αὐτῶν, καὶ τὸ μή. πρῶτον οὖν περὶ συνιχείας γνωστέον. ἔστιν

καῖον γάρ ἐστιν, ὑπάρχειν τῇ κριτικῇ δυνάμει συνέχειαν· τὸ γὰρ εὖ καὶ τὸ ἐναντίως οὐκ ἐν ἀφωρισμένοις τοῖσδέ τισιν γίνεται φθόγγοις, ἢ χρόνοις, ἢ γράμμασιν, ἀλλ' ἐν συνεχέσιν· ἐπειδὴ μίξις τις ἐστὶ τῶν κατὰ τὴν χρῆσιν ἀσυνθέτων μερῶν. περὶ μὲν οὖν τῆς παρακολουθήσεως τοσαῦτα.

XXXVI. Τὸ δὲ μετὰ τοῦτο ἐπισκεπτέον, ὅτι οἱ μουσικῆς ἐπιστήμονες πρὸς τὴν κριτικὴν πραγματείαν οὐκ εἰσὶν αὐτάρκεις. οὐ γὰρ οἷόν τε τέλεον γενέσθαι μουσικόν τε καὶ κριτικόν, ἐξ αὐτῶν τῶν δοκούντων εἶναι μερῶν τῆς ὅλης μουσικῆς, οἷον ἔκ τε τῆς τῶν ὀργάνων ἐμπειρίας καὶ τῆς περὶ τὴν ᾠδήν, ἔτι δὲ τῆς περὶ τὴν αἴσθησιν συγγυμνασίας· λέγω δὲ τῆς συντεινούσης εἰς τὴν τοῦ ἡρμοσμένου ξύνεσιν, καὶ ἔτι τὴν τοῦ ῥυθμοῦ· πρὸς δὲ τούτοις, ἔκ τε τῆς ῥυθμικῆς καὶ τῆς ἁρμονικῆς πραγματείας, καὶ τῆς περὶ τὴν κροῦσίν τε καὶ λέξιν θεωρίας, καὶ εἴ τινες ἄλλαι τυγχάνουσι λοιπαὶ οὖσαι. δι' ἃς δ' αἰτίας οὐχ οἷόν τ' ἐξ αὐτῶν τούτων γενέσθαι κριτικόν, πειρατέον καταμαθεῖν. πρῶτον ἐκ τοῦ ἡμῖν ὑποθεῖσθαι τὰ μὲν τῶν κρινομένων τέλεια, τὰ δ' ἀτελῆ· τέλεια μὲν αὐτό τε τῶν ποιημάτων ἕκαστον, οἷον τὸ ᾀδόμενον, ἢ αὐλούμενον, ἢ κιθαριζόμενον, ἢ ἡ ἑκάστου αὐτοῦ ἑρμηνεία, οἷον ἥ τ' αὔλησις καὶ ἡ ᾠδὴ καὶ τὰ λοιπὰ τῶν τοιούτων· ἀτελῆ δὲ τὰ πρὸς ταῦτα συντείνοντα, καὶ τὰ τούτων ἕνεκα γινόμενα. τοιαῦτα δὲ τὰ μέρη τῆς ἑρμηνείας. δεύτερον ἐκ τῆς ποιήσεως· ὥσαύτως γὰρ καὶ αὐτή· ὑποκρίνειε γὰρ ἄν τις ἀκούων αὐλητοῦ, πότερόν ποτε συμφωνοῦσιν οἱ αὐ-

λοὶ, ἢ οὔ, καὶ πότερον ἡ διάλεκτος σαφὴς, ἢ τοὐναντίον· τούτων δ' ἕκαστον μέρος ἐστὶ τῆς αὐλητικῆς ἑρμηνείας, οὐ μέντοι τέλος, ἀλλ' ἕνεκα τοῦ τέλους γινόμενον· παρὰ ταῦτα γὰρ αὖ καὶ τὰ τοιαῦτα πάντα κριθήσεται τὸ τῆς ἑρμηνείας ἦθος, εἰ οἰκεῖον ἀποδίδοται τῷ παραποιηθέντι ποιήματι, ὃ μεταχειρίσασθαι καὶ ἑρμηνεῦσαι ὁ ἐνεργῶν βεβούληται. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τῶν παθῶν τῶν ὑπὸ τῆς ποιητικῆς σημαινομένων ἐν τοῖς ποιήμασιν.

XXXVII. Ἀτ' οὖν ἠθῶν μάλιστα φροντίδα πεποιημένοι οἱ παλαιοὶ, τὸ σεμνὸν καὶ ἀπερίεργον τῆς ἀρχαίας μουσικῆς προετίμων. Ἀργείους μὲν γὰρ καὶ κόλασιν ἐπιθεῖναί ποτε φασὶ τῇ εἰς τὴν μουσικὴν παρανομίᾳ, ζημιῶσαί τε τὸν ἐπιχειρήσαντα πρῶτον τοῖς πλείοσι τῶν ἑπτὰ χρήσασθαι παρ' αὐτοῖς χορδῶν, καὶ παραμιξολυδιάζειν ἐπιχειρήσαντα. Πυθαγόρας δ' ὁ σεμνὸς ἀπεδοκίμαζε τὴν κρίσιν τῆς μουσικῆς τὴν διὰ τῆς αἰσθήσεως· νῷ γὰρ ληπτὴν τὴν ταύτης ἀρετὴν ἔφασκεν εἶναι. τοιγάρτοι τῇ μὲν ἀκοῇ οὐκ ἔκρινεν αὐτὴν, τῇ δ' ἀναλογικῇ ἁρμονίᾳ· αὐταρκές τ' ἐνόμιζε μέχρι τοῦ διὰ πασῶν στῆσαι τὴν τῆς μουσικῆς ἐπίγνωσιν.

XXXVIII. Οἱ δὲ νῦν τὸ μὲν κάλλιστον τῶν γενῶν, ὅπερ μάλιστα διὰ σεμνότητα παρὰ τοῖς ἀρχαίοις ἐσπουδάζετο, παντελῶς παρῃτήσαντο, ὥστε μηδὲ τὴν τυχοῦσαν ἀντίληψιν τῶν ἐναρμονίων διαστημάτων τοῖς πολλοῖς ὑπάρχειν. οὕτω δ' ἀργῶς διάκεινται καὶ ῥᾳθύμως, ὥστε μηδ' ἔμφασιν νομίζειν παρέχειν καθ' ὅλου τῶν ὑπὸ τὴν αἴσθησιν πιπτόντων

τὴν ἐναρμόνιον διέσιν, ἐξερίζειν δ' αὐτὴν ἐκ τῶν μελῳδημάτων, πεφλυαρηκέναι τε τοὺς δόξαντάς τι περὶ τούτου, καὶ τῷ γένει τούτῳ κεχρημένους. ἀπόδειξιν δ' ἰσχυροτάτην τοῦ ταληθῆ λέγειν φέρειν οἴονται, μάλιστα μὲν τὴν αὐτῶν ἀναισθησίαν, ὡς πᾶν, ὅ τι περ ἂν αὐτοὺς ἐκφύγῃ, τοῦτο καὶ δὴ πάντως ἀνύπαρκτον ὂν παντελῶς καὶ ἄχρηστον· εἶτα καὶ τὸ μὴ δύνασθαι ληφθῆναι διὰ συμφωνίας τὸ μέγεθος, καθάπερ τό τε ἡμιτόνιον καὶ τὸν τόνον, καὶ τὰ λοιπὰ δὲ τῶν τοιούτων διαστημάτων. ἠγνοήκασι δ', ὅτι καὶ τὸ τρίτον μέγεθος οὕτως ἂν καὶ τὸ πέμπτον ἐκβάλλοιτο καὶ τὸ ἕβδομον· ὧν τὸ μὲν τριῶν, τὸ δὲ πέντε, τὸ δὲ ἑπτὰ διέσεών ἐστι· καὶ καθόλου πάνθ', ὅσα περιττὰ φαίνεται τῶν διαστημάτων, ἀποδοκιμάζοιτ' ἂν ὡς ἄχρηστα, παρ' ὅσον οὐδὲν αὐτῶν διὰ συμφωνίας λαβεῖν ἐστι· ταῦτα δ' ἂν εἴη, ὅσα ὑπὸ τῆς ἐλαχίστης διέσεως μετρεῖται περισσάκις. οἷς ἀκολουθεῖν ἀνάγκη καὶ τὸ μηδεμίαν τῶν τετραχορδικῶν διαιρέσεων χρησίμην εἶναι, πλὴν μόνην ταύτην, δι' ἧς πᾶσιν ἀρτίοις χρῆσθαι διαστήμασι συμβέβηκεν· αὕτη δ' ἂν εἴη ἥ τε τοῦ συντόνου καὶ διατόνου, καὶ ἡ τοῦ τονιαίου χρώματος.

XXXIX. Τὸ δὲ τὰ τοιαῦτα λέγειν τε καὶ ὑπολαμβάνειν, οὐ μόνον τοῖς φαινομένοις ἐναντιουμένων ἐστὶν, ἀλλὰ καὶ αὐτοῖς μαχομένων. χρώμενοι γὰρ αὐτοὶ τοιαύταις τετραχόρδων μάλιστα φαίνονται διαιρέσεσιν, ἐν αἷς τὰ πολλὰ τῶν διαστημάτων ἤτοι περιττά ἐστιν ἢ ἀνάλογα· μαλάττουσι γὰρ αἰεὶ τήν τε λιχανὸς καὶ τὰς παρανήτας· ἤδη δὲ καὶ τῶν

ἐστώτων τινὰς παρανιᾶσι φθόγγων, ἄλογῳ τινὶ διαστήματι προσανιέντες αὐτοῖς τὰς τε τρίτας καὶ τὰς παφανήτας· καὶ τὴν τοιαύτην εὐδοκιμεῖν μάλιστά πως οἴονται τῶν συστημάτων χρῆσιν, ἐν ᾗ τὰ πολλὰ τῶν διαστημάτων ἐστὶν ἄλογα, οὐ μόνον τῶν κινεῖσθαι πεφυκότων φθόγγων, ἀλλὰ καὶ τῶν ἀκινήτων ἀνιεμένων, ὡς ἔστι δῆλον τοῖς αἰσθάνεσθαι τῶν τοιούτων δυναμένοις.

XL. Χρῆσιν δὲ μουσικῆς προσήκουσαν ἀνδρὶ ὁ καλὸς Ὅμηρος ἐδίδαξε· δηλῶν γάρ, ὅτι ἡ μουσικὴ πολλαχοῦ χρησίμη, τὸν Ἀχιλλέα πεποίηκε τὴν ὀργὴν πέττοντα τὴν πρὸς τὸν Ἀγαμέμνονα, διὰ μουσικῆς, ἧς ἔμαθε παρὰ τοῦ σοφωτάτου Χείρωνος·

Τὼ δ' εὗρον, φησὶ, φρένα τερπόμενον φόρμιγγι λιγείῃ,
Καλῇ, δαιδαλέῃ· περὶ δ' ἀργύρεον ζυγὸν ἦεν·
Τὴν ἄρετ' ἐξ ἐνάρων πόλιν Ἠετίωνος ὀλέσσας.

Τῇ ὅ γε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν. μάθε, φησὶν Ὅμηρος, πῶς δεῖ μουσικῇ χρῆσθαι· κλέα γὰρ ἀνδρῶν ᾄδειν καὶ πράξεις ἡμιθέων ἔπρεπε Ἀχιλλεῖ, τῷ Πηλέως τοῦ δικαιοτάτου. ἔτι δὲ καὶ τὸν καιρὸν τῆς χρήσεως τὸν ἁρμόττοντα διδάσκων Ὅμηρος, ἀργοῦντι γυμνάσιον ἐξεῦρεν ὠφέλιμον καὶ ἡδύ· πολεμικὸς γὰρ ὢν καὶ πρακτικὸς ὁ Ἀχιλλεὺς, διὰ τὴν γενομένην αὐτῷ πρὸς τὸν Ἀγαμέμνονα μῆνιν, οὐ μετεῖχε τῶν κατὰ τὸν πόλεμον κινδύνων· ᾠήθη οὖν Ὅμηρος, πρέπον εἶναι τὴν ψυχὴν τοῖς καλλίστοις τῶν μελῶν παραθήγειν τὸν ἥρωα, ἵν' ἐπὶ τὴν μετὰ μικρὸν αὐτῷ γενησομένην ἔξοδον παρασκευαζόμε-

τοῦτο δ' ἐποίει δηλονότι μνημονεύων τῶν παλαι ῥήξεων. τοιαύτη ἦν ἡ ἀρχαία μουσική, καὶ εἰς οὗτο χρησίμη. Ἡρακλέα τε γὰρ ἀκούομεν κεχρημένον μουσικῇ, καὶ Ἀχιλλέα, καὶ πολλοὺς ἄλλους, ν παιδευτὴς ὁ σοφώτατος Χείρων παραδέδοται ουσικῆς τε ἅμα ὢν καὶ δικαιοσύνης καὶ ἰατρικῆς ιδάσκαλος.

XLI. Καθόλου δὲ ὅ γε νοῦν ἔχων, οὐ τῶν ἐπιτημῶν ἔγκλημα δήπου θείη, εἴ τις αὐταῖς μὴ κατὰ ρόπον χρῷτο, ἀλλὰ τῆς τῶν χρωμένων κακίας ἴδιον ναι τοῦτο νομίσειεν. εἶτ' οὖν τις τὸν παιδευτικὸν ῆς μουσικῆς τρόπον ἐπονήσας, τύχοι ἐπιμελείας ῆς προσηκούσης ἐν τῇ τοῦ παιδὸς ἡλικίᾳ, τὸ μὲν πλον ἐπαινέσει τε καὶ ἀποδέξεται, ψέξει δὲ τὸ ἐναν- ίον ἔν τε τοῖς ἄλλοις καὶ ἐν τοῖς κατὰ μουσικὴν, αὶ ἔσται ὁ τοιοῦτος καθαρὸς πάσης ἀγεννοῦς ῥᾳξεως ιὰ μουσικῆς τε τὴν μεγίστην ὠφέλειαν καρπωσάμενος, φελος ἂν μέγα γένοιτο αὐτῷ τε καὶ πόλει, μηθενὶ ήτ' ἔργῳ μήτε λόγῳ χρώμενος ἁναρμόστῳ, σώζων ιεῖ καὶ παντιχοῦ τὸ πρέπον καὶ σῶφρον καὶ κόσμιον.

XLII. Ὅτι δὲ καὶ ταῖς εὐνομωτάταις τῶν πό- ων ἐπιμελὲς γεγένηται φροντίδα ποιεῖσθαι τῆς γεν- αίας μουσικῆς, πολλὰ μὲν καὶ ἄλλα μαρτύρια πα- αθέσθαι ἐστί. Τέρπανδρον δ' ἄν τις παραλάβοι, ὃν τὴν γενομένην ποτὲ παρὰ Λακεδαιμονίοις στά- ιν καταλύσαντα· καὶ Θαλήταν τὸν Κρῆτα, ὃν φασι ατά τε πυθόχρηστον Λακεδαιμονίους παραγενόμε- ν διὰ μουσικῆς ἰάσασθαι, ἀπαλλάξαι τε τοῦ κα- αχόντος λοιμοῦ τὴν Σπάρτην, καθάπαξ φυγὴ

Πρατίνας. ἀλλὰ γὰρ καὶ Ὅμηρος τὸν κατασχόντα λοιμὸν τοὺς Ἕλληνας παύσασθαι λέγει διὰ μουσικῆς· ἔφη γοῦν·

Οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο,
Καλὸν ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν,

Μέλποντες ἑκάεργον· ὁ δὲ φρένα τέρπετ' ἀκούων. τούτους τοὺς στίχους, ἀγαθὲ διδάσκαλε, πολοφῶνα τῶν περὶ τῆς μουσικῆς λόγων πεποίημαι, ἐπεὶ φθάσας σὺ τὴν μουσικὴν δύναμιν διὰ τούτων προαπέφηνας ἡμῖν· τῷ γὰρ ὄντι τὸ πρῶτον αὐτῆς καὶ κάλλιστον ἔργον, ἡ εἰς τοὺς θεοὺς εὐχάριστός ἐστιν ἀμοιβή· ἑπόμενον δὲ τούτῳ καὶ δεύτερον τὸ τῆς ψυχῆς καθάρσιον καὶ ἐμμελὲς καὶ ἐναρμόνιον σύστημα. ταῦτ' εἰπὼν ὁ Σωτήριχος· Ἔχεις, ἔφη, τοὺς ἐπικυκλίους περὶ μουσικῆς λόγους, ἀγαθὲ διδάσκαλε.

XLIII. Ἐθαυμάσθη μὲν οὖν ὁ Σωτήριχος ἐπὶ τοῖς λεχθεῖσι· καὶ γὰρ ἐνέφαινε διὰ τοῦ προσώπου καὶ τῆς φωνῆς τὴν περὶ μουσικὴν σπουδήν. ὁ δ' ἐμὸς διδάσκαλος· Μετὰ τῶν ἄλλων, ἔφη, καὶ τοῦτο ἀποδέχομαι ἑκατέρου ὑμῶν, ὅτι τὴν τάξιν ἑκάτερος τὴν αὐτὸς αὑτοῦ ἐφύλαξεν· ὁ μὲν γὰρ Λυσίας, ὅσα μόνον χειρουργοῦντι κιθαρῳδῷ προσῆκεν εἰδέναι, τούτοις ἡμᾶς εἰστίασεν· ὁ δὲ Σωτήριχος, ὅσα καὶ πρὸς ὠφέλειαν καὶ πρὸς θεωρίαν, ἀλλὰ γὰρ καὶ δύναμιν καὶ χρῆσιν μουσικῆς συντείνει, διδάσκων ἡμᾶς ἐπεδαψιλεύσατο. ἐκεῖνο δ' οἶμαι ἐκόντας αὐτοὺς ἡμᾶς καταλελοιπέναι· οὐ γὰρ καταγνώσομαι αὐτῶν δειλίαν, ὡς αἰσχυνθέντων καταπᾶν μουσικὴν εἰς τὰ

συσσίτια· εἰ γάρ που καὶ χρησίμη καὶ παρὰ πότον, ὡς ὁ καλὸς Ὅμηρος ἀπέφηνε.

Μολπὴ (γάρ που φησὶν,) ὀρχηστύς τε, τὰ γάρ τ ἀναθήματα δαιτός.

καί μοι μηδεὶς ὑπολαβέτω, ὅτι πρὸς τέρψιν μόνον χρησίμην ᾠήθη μουσικὴν Ὅμηρος διὰ τούτων. ἀλλὰ γὰρ βαθύτερός ἐστι νοῦς ἐγκεκρυμμένος τοῖς ἔπεσιν· εἰς γὰρ ὠφέλειαν καὶ βοήθειαν τὴν μεγίστην αὐτοῖς καιροῖς παρέβαλε μουσικὴν, λέγω δ', εἰς τὰ δεῖπνα καὶ τὰς συνουσίας τῶν ἀρχαίων· συνέβαινε γὰρ εἰσάγεσθαι μουσικὴν, ὡς ἱκανὴν ἀντισπᾶν καὶ πραΰνειν τὴν τοῦ οἴνου ὑπόθερμον δύναμιν· καθάπερ που φησὶ καὶ ὁ ἡμέτερος Ἀριστόξενος· ἐκεῖνος γάρ ἔλεγεν, εἰσάγεσθαι μουσικὴν, παρ' ὅσον ὁ μὲν οἶνος σφάλλειν πέφυκε τῶν ἄδην αὐτῷ χρησαμένων τά τε σώματα καὶ τὰς διανοίας· ἡ δὲ μουσικὴ τῇ περὶ αὐτὴν τάξει τε καὶ συμμετρίᾳ εἰς τὴν ἐναντίαν κατάστασιν ἄγει τε καὶ πραΰνει. παρὰ τοῦτον οἶν τὸν καιρὸν ὡς βοηθήματι τῇ μουσικῇ τοὺς ἀρχαίους φησὶ κεχρῆσθαι Ὅμηρος.

XLIV. Ἀλλὰ δὴ καὶ τὸ μέγιστον ὑμῖν, ὦ ἑταῖροι, καὶ μάλιστα σεμνοτάτην ἀποφαῖνον μουσικὴν παραλέλειπται. τὴν γὰρ τῶν ὄντων φοράν, καὶ τὴν τῶν ἀστέρων κίνησιν οἱ περὶ Πυθαγόραν καὶ Ἀρχύταν καὶ Πλάτωνα, καὶ οἱ λοιποὶ τῶν ἀρχαίων φιλοσόφων, οὐκ ἄνευ μουσικῆς γίνεσθαι καὶ συνεστάναι ἔφασκον· πάντα γὰρ καθ' ἁρμονίαν ὑπὸ τοῦ θεοῦ κατεσκευάσθαι, φασίν. ἄκαιρον δ' ἂν εἴη νῦν ἐπεκτείνειν τοὺς περὶ τούτου λόγους· ἀνώτατον δὲ καὶ

μουσικώτατον, τὸ παντὶ τὸ προσῆκον μέτρον ἐπιτιθέναι. ταῦτ' εἰπὼν ἐπαιώνισε, καὶ σπείσας τῷ Κρόνῳ, καὶ τοῖς τούτου παισὶ θεοῖς πᾶσι καὶ Μούσαις ἀπέλυσε τοὺς ἑστιωμένους.

ΛΕΙΨΑΝΑ ΤΩΝ ΟΥ ΣΩΖΟΜΕΝΩΝ ΠΛΟΥΤΑΡΧΟΥ ΣΥΓΓΡΑΜΜΑΤΩΝ.

I.

Πότερον ψυχῆς ἢ σώματος ἐπιθυμία καὶ λύπη.

Λόγος IZ.

I. Ἡ μὲν πρόθεσις περὶ ἐπιθυμίας γέγονε καὶ λύπης, πότερον σώματος πάθος ἐστὶν ἢ ἐπὶ σώματι ψυχῆς· καὶ γὰρ εἰ τὴν αὐτοπάθειαν ἀπολύσηται τὸ σῶμα τούτων, οὐ διαφεύξεται τὴν αἰτίαν, ἀλλὰ διὰ σώματος πάθη φαίνεται καὶ ἀπελέγχεται περὶ ψυχήν. ἡ δὲ κοινότης τοῦ λόγου καὶ τὰ λοιπὰ πάθη ζητήσει συναποβάλλει, φθόνον καὶ ἡδονήν· ὧν τὸ μὲν λύπη, τὸ δὲ ἐπιθυμίᾳ συμπέφυκεν· εἴ γε πᾶς ἄνθρωπος ὧν μὲν λυπεῖται παρόντων, ὧν δὲ διαμελλόντων, ὧν δὲ ὀρέγεται καὶ μὴ παρόντων, οἷς δὲ ἥδεται δεομένοις. τὸν μὲν γὰρ κόσμον οἱ φυσικοὶ λέγουσιν ἐκ τεττάρων σωμάτων πρώτων καὶ μεγίστων συνηρῆσθαι, κατὰ ἀντίθεσιν καὶ ἀντίταξιν ἀλλήλοις ἄνω καὶ κάτω φέρει ῥεπόντων. τὴν δὲ πεκίαν καὶ ἀκοσμίαν τὴν ἐν ἡμῖν τέσσαρα πάθη τὰ

πρῶτα κινεῖ καὶ διαφέρει πρὸς τοὐναντίον ἀτάκτως καὶ ἀλόγως, ἄνω μὲν ἡδονὴ καὶ κάτω λύπη, πρόσω δὲ ἐπιθυμία καὶ ὀπίσω φθόνος, ὥσπερ ἐξ ὀργάνων ἀμέτρων μετασχηματιζομένην. ἔπαρσις γὰρ αὐτῆς ἡδονῆς, συστολὴ· λύπη γίγνεται δ' εἰς ἐπιθυμίαν· φεύγει δ' ὃ δέδιεν. ὅ γε μὴν θυμός, εἴτε τῆς ἐπιθυμίας ἐστὶν εἶδος κατ' ὄρεξιν ἀντιλυπήσεως ὑφιστάμενος, εἴτε ἕτερόν τι καὶ διάφορον, πολλάκις δὲ καὶ μαχόμενον πρὸς ἐπιθυμίαν πάθος, ὡς ὑπενόει Πλάτων, οὐκ ἄδηλον ὅτι καὶ αὐτὸς παράξει ζήτησιν εἴτε τοῦ σώματος ἐκριπτούμενος χειμάζει τὸν ἄνθρωπον **.

II. Ἔοικε παλαιά τις αὕτη τῷ σώματι διαδικασία πρὸς τὴν ψυχὴν περὶ τῶν παθῶν εἶναι. Καὶ Δημόκριτος μὲν ἐπὶ τὴν ψυχὴν ἀναφέρων, κακοδαίμων, φησὶν, ἡ τοῦ σώματος αὕτη δίκην λαχόντος παρὰ πάντα τὸν βίον ὧν ὀδύνηται καὶ κακῶς πέπονθεν αὐτὸς γένοιτο τοῦ ἐγκλήματος δὲ ἡδέως ἂν καταψηφίσασθαι τῆς ψυχῆς, ἐφ' οἷς τὰ μὲν ἀπέλυσε τοῦ σώματος ταῖς ἀμελείαις καὶ ἐξέλυσε ταῖς μέθαις, τὰ δὲ κατέφθειρε καὶ διέσπασε ταῖς φιληδονίαις, ὥσπερ ὀργάνου τινὸς ἢ σκεύους κακῶς ἔχοντος τὸν χρώμενον ἀφειδῶς αἰτιασάμενος. Θεόφραστος δὲ τοὐναντίον ἔφη, τῷ σώματι πολλῷ τὴν ψυχὴν ἐνοικεῖν, ὀλίγου χρόνου βαρεῖς μισθοὺς ὑποτεκοῦσαν, τὰς λύπας, τοὺς φόβους, τὰς ἐπιθυμίας, τὰς ζηλοτυπίας, αἷς συμφερομένη περὶ τὸ σῶμα δικαιότερον ἂν αὐτοῦ δικάζοιτο· πηρώσεων οὖν ἐπιλέλησται, καὶ βιαίων ἐφ' οἷς κατέχεται, καὶ ὕβρεων ὧν ἀδοξεῖ

καὶ λοιδορεῖται, τῶν ἐκείνου καιρῶν ἀναδεχομένη τὰς αἰτίας οὐ προσηκόντων.

III. Ἀγωνιστέον οὖν ὑπὲρ τῆς ἀληθείας. καλὸς γὰρ ὁ ἀγών· καὶ τῆς ψυχῆς ὁ λόγος πάντως χρήσιμος· εἰ μὲν οὖν αὐτῆς τὰ πάθη φαίνεται, πρὸς ἀπολογίαν· εἰ δ' αὐτῆς, πρὸς ἀπαλλαγήν· ὥστε ἢ φυλάξασθαι τὸ ἐκούσιον, ἢ μὴ λοιδορεῖσθαι τὸ ἄλλότριον.

IV. Ἔδει μὲν τοὺς δογματικοὺς καὶ καταληπτικοὺς εἶναι φιλοσόφους φάσκοντας, εἰ μὴ περὶ ἄλλο τι, τήν γε τῶν παθῶν ἐνέργειαν ὁμολογεῖν ἀλλήλοις καὶ συμφέρεσθαι. πολὺς δὲ αὐτῶν παράλογός ἐστιν. οἱ μὲν γὰρ ἅπαντα συλλήβδην ταῦτα τῇ ψυχῇ φέροντες ἀνέθεσαν, ὥσπερ Στράτων ὁ φυσικός, οὐ μόνον τὰς ἐπιθυμίας, ἀλλὰ καὶ τὰς λύπας, οὐδὲ τοὺς φόβους καὶ τοὺς φθόνους καὶ τὰς ἐπιχαιρεκακίας, ἀλλὰ καὶ πόνους καὶ ἡδονὰς καὶ ἀλγηδόνας καὶ ὅλως πᾶσαν αἴσθησιν ἐν τῇ ψυχῇ συνίστασθαι φάμενος καὶ τῆς ψυχῆς τὰ τοιαῦτα πάντα εἶναι· ἢ τὸν πύδα πονούντων ἡμῶν ὅταν προσκρούσωμεν μηδὲ τὴν κεφαλὴν ὅταν κατάξωμεν, μὴ τὸν δάκτυλον ὅταν ἐκτέμωμεν· ἀναίσθητα γὰρ τὰ λοιπὰ τοῦ ἡγεμονικοῦ, πρὸς ὃ τῆς πληγῆς ὀξέως ἀναφερομένης τὴν αἴσθησιν ἀλγηδόνα καλοῦμεν. ὡς δὲ φωνὴν τοῖς ὠσὶν αὐτοῖς ἐνηχοῦσαν ἔξω δοκοῦμεναι, τὸ ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὸ ἡγεμονικὸν διάστημα τῇ αἰσθήσει προσλογιζόμενοι, παραπλησίως τοῦ τραύματος πόνον οὐχ ὅπου τὴν αἴσθησιν φησιν, ἀλλ' ὅθεν ἔσχε τὴν ἀρχὴν εἶναι δοκοῦμεν

κομένης ἐπ' ἐκεῖνο τῆς ψυχῆς ἀφ' οὗ πέπονθε. διὸ καὶ προσκόψαντες αὐτίκα τὰς ὀφρῦς συνήγαγον ἐν τῷ πληγέντι μορίῳ τοῦ ἡγεμονικοῦ τὴν αἴσθησιν ὀξέως ἀποδιδόντος· καὶ παρεγκόπτομεν ἐσθ' ὅτε τὸ πνεῦμα κἂν τὰ μέρη δεσμοῖς διαλαμβάνηται χερσὶ σφόδρα πιέζομεν, ἱστάμενοι πρὸς τὴν διάδοσιν τοῦ πάθους, καὶ τὴν πληγὴν ἐν τοῖς ἀναισθήτοις πλήττοντες, ἵνα μὴ συνάψαι πρὸς τὸ φρονοῦν ἀλγηδὼν γένηται. ταῦτα μὲν οὖν ὁ Στράτων ἐπὶ πολλοῖς ὡς εἰκὸς τοιούτοις.

V. Ἔνιοι δὲ ἄντικρυς καὶ δόξαν ἢ διαλογισμὸν εἰς τὸ σῶμα κατατείνουσιν, οὐδ' εἶναι αἰτίαν παράπαν ψυχὴν λέγοντες, ἀλλὰ τῇ τοῦ σώματος διαφορᾷ καὶ ποιότητι καὶ δυνάμει συντελεῖσθαι τὰ τοιαῦτα. τὸ μὲν γὰρ περὶ τῶν ἐν ᾅδου βιβλίον ἐπιγραφόμενον, ἐν ᾧ τὴν ψυχὴν τῇ οὐσίᾳ παρυπάρχειν ἀποφαίνεται ὁ λόγος, οἱ μὲν οὖν δεινοὶ τὸ παράπαν Ἡρακλείδου νομίζουσιν, οἱ δὲ πρὸς ἀντιπαρεξαγωγὴν τετάχθαι τῶν εἰρημένων ἑτέροις περὶ οὐσίας ψυχῆς· οὕτω γεγραμμένον ἄντικρυς ἀναιρεῖ τὴν οὐσίαν αὐτῆς, ὡς τοῦ σώματος ἔχοντος ἐν αὑτῷ τὰς εἰρημένας δυνάμεις πάσας. οἱ δὲ ὥσπερ διὰ μέσου τῶν λόγων ἐπεχείρησαν ἀφορίζειν τῆς ψυχῆς ἴδια πάθη, καὶ τὰ τοῦ σώματος, ἐν κοινῷ καὶ πλάτος οὐκ ἔχοντι τόπῳ συνεχύθησαν.

VI. Ὅ γε τοι Ποσειδώνιος τὰ μὲν εἶναι ψυχικά, τὰ δὲ σωματικά· καὶ τὰ μὲν οὐ ψυχῆς περὶ ψυχὴν δέ, ἁπλῶς τὸ κρίσεσι καὶ ὑπολήψεσιν· οἷον ἐπιθυμίας λέγων, φόβους, ὀργάς. σωματικὰ δὲ ἁπλῶς

πυρετοὺς, περιψύξεις, πυκνώσεις, ἀραιώσεις· περ
ψυχὴν δὲ σωματικαὶ, ληθάργους, μελαγχολίας, δη
γμοὺς, φαντασίας, διαχύσεις· ἀνάπαλιν δὲ περ
σῶμα ψυχικὰ, τρόμους, καὶ ὠχριάσεις, καὶ μετα
βολὰς τοῦ ἤθους κατὰ φόβον ἢ λύπην. Διόδοτος
πάλιν ἴδια μέν τινα τοῦ λογικοῦ φησὶ τῆς ψυχῆ
πάθη, ἴδια δὲ τοῦ συμφυοῦς καὶ ἀλόγου εἶναι, ῥ
πταζόμενος ἐπὶ πάντα καὶ ψηλαφῶντι προσεοικὼ
τὰς διαφοράς. ὅπου γὰρ ἐπὶ τῶν ἀγγείων ἔργον ἐστ
διακρῖναί ποτε τῇ περὶ αὐτὰ κακίᾳ τὸ ἐκκεχυμένο
διέφθαρκε, καὶ πάλιν ποτὲ τῶν ὑγρῶν νοσῆσαν δια
βέβρωται· κέκρυπται· ἦπου τε τῆς ψυχῆς ἀναμ
μιγμένης εἰς τὸ σῶμα καὶ κατ᾽ ἐγκράτησιν ἔσω συμ
πεφυκυῖαν ἄπορόν ἐστιν ἐκκαθᾷραι τὴν διαφορά
ὅρους ψυχῆς καὶ σώματος ἐπιζητεῖς, οὓς ἡ φύσι
ἀνεῖλεν, ἐκ δυοῖν μίαν γενέσθαι σοφιζομένη· κα
τῷ λόγῳ παρενδοῦναι ἀρχόμενος διαστέλλει κοινω
νίαν οὐδενὶ αὐτὴν οὐδὲ χωριστὴν ἢ μόνῳ τῷ θανάτῳ
ἐκεῖνος δὲ τὰ πρὸς ἄλληλα * κόψας ἢ διακρίνας, θά
τερον ἐξελέγξει τὴν ἑκατέρου φύσιν ὅσον εἶχεν ἀλλό
τριον· μέχρι δὲ τούτου τὸ συγκεκραμένον ἡ κοινω
νία δείκνυσιν ἀρνουμένην ἐν δυοῖν εἶναι, καὶ ἀπο
κρύπτουσα τὰς ἀμφοῖν εἰς κοινῶν ἀρχὴν, καὶ ἀνα
πιμπλᾶσα θατέρου θάτερον, ὡς μήτε ψυχῆς εἶνα
πάθος ὃ σώματος οὐ καθάπτεται, μήτε σώματο
μεταβολὴν ὃ διὰ ψυχῆς οὐ κεχώρηκε. κινδυνεύομε
ὅμοιόν τι ποιεῖν τῇ περὶ τοῦ ὄρου ὑπ᾽ Αἰγυπτίω
μυθολογουμένῃ διανομῇ, δικάσαντος τινὸς τῶν πα
λαιοτέρων θεῶν, ἐπὶ τῷ πατρὶ τιμωρῶν ἀπάντου

τὴν μητέρα, καὶ τὸ αἷμα αὐτοῦ καὶ τὸν μυελὸν καταλιπεῖν, περιελεῖν δὲ τὴν πιμελὴν καὶ τὰς σάρκας, ὡς τούτων ἐν τῇ μητρὶ τὴν σύστασιν λαβόντων, ἐκείνων δὲ ἀπὸ τοῦ πατρὸς τὴν γένεσιν ἐχόντων αὐτῷ. καθάπερ γὰρ οὗτοι ὥσπερ τῶν ἄνωθ' * κατὰ φύσιν κρᾶσιν ἀχώριστον ἐπιχειροῦντες διαιρεῖν, ἄχρι λόγου μυθώδους καὶ ἀπίστου προεφόρησαν, τὸν αὐτὸν τρόπον ἡμῖν σώματος καὶ ψυχῆς εὐθὺς ἐν πρώτῃ καταβολῇ συγχυθέντων πάθη διαλαβεῖν καὶ χωρίσαι ζητοῦντες, ἀκριβοῦς σφόδρα λόγου καθάπερ ὀργάνου λεπτοῦ πρὸς τὴν διαίρεσιν δεόμεθα.

VII. Ταύτην ἀνοίγοντες φιλόσοφοι φασὶ μήτε σώματος εἶναί τι μήτε ψυχῆς ἴδιον πάθος, ἀλλὰ τοῦ κοινοῦ· τὸν γὰρ ἄνθρωπον ἥδεσθαι καὶ λυπεῖσθαι καὶ φοβεῖσθαι· τίνα ἄνθρωπον; οὐχὶ τὴν ψυχήν· ὥσπερ γε πάλιν οὐ τὸ σῶμα βάλλειν καὶ ὀρχεῖσθαι καὶ περιπατεῖν, ἀλλὰ τὸν ἄνθρωπον ἀμφοτέροις χρώμενον, ὥσπερ ἐξ ἀμφοῖν συνέστηκεν καὶ οὐκ ἂν θαυμάσαιμι τούτοις μάλιστα ὡς τὸ ἀληθὲς συμφέρηται. κρίσις γὰρ ἡ λύπη κακοῦ τινος αὐτῷ παρόντος ἐφ' οὗ συστέλλεσθαι καθήκει, καὶ ὁ φόβος καὶ οὗ μέλλοντος ἀφ' οὗ φεύγει καθήκει καὶ ἀναχωρεῖν· ὥστε τὸν λυπούμενον αὐτὸν αὑτῷ λέγειν, ὅτι μοὶ κακόν ἐστι· καὶ τὸν φοβούμενον ὁμοίως, ὅτι μοὶ κακόν ἐστιν. ἐγὼ δὲ οὐκ εἰμὶ ἡ ψυχὴ, ἀλλ' ὁ ἄνθρωπος· καὶ τὸ κακὸν οὐκ ἐστὶ τῆς ψυχῆς, ἀλλὰ τοῦ ἀνθρώπου, πενία, νόσος, ἀδοξία, θάνατος. διὸ τὴν τελευτὴν καὶ τὸν φόβον ἀναγκαῖον εἶναι πάθη τοῦ ἀνθρώπου καὶ οὐχὶ τῆς ψυχῆς. καὶ γὰρ ἄλλως

ὁρμεῖ μὲν πρὸς πλεονάζουσα τὸ πάθος τῷ ἀλόγῳ σφοδρὸν ἔχουσα καὶ ἀπειθές· ὁρμᾷ δὲ τὸ ζῶον, οὐχ ἡ ψυχή, πρὸς τὸ πίνασθαι, πρὸς τὸ σκλίσασθαι, πρὸς τὸ λούσασθαι, κατακλιθῆναι· ταῦτα γὰρ ἐπὶ τῷ ἀνθρώπῳ πρακτά, τῇ δὲ ψυχῇ ἀσύμπτωτα· οἷς καὶ πιθανὸν ὁρμᾶν τὸν ἄνθρωπον, οὐχὶ τὴν ψυχήν· εἰ δ' ὁρμᾷν, καὶ ὀρέγεσθαι· οὐκοῦν καὶ ἀλόγως ὀρέγεσθαι, τοῦτ' ἐστιν· εἰ δὲ ἐπιθυμεῖ, καὶ ἥδεσθαι· εἰ δὲ ἥδεται, καὶ λυπεῖσθαι· καὶ φοβεῖσθαι· ταῦτα γὰρ ἑπεῖνοι ἐξ ἀνάγκης ἕσεσθαι συμβέβηκεν· ἅστε μηδ' εἶναι ψυχῆς ἴδιον, ἀλλὰ καὶ ἀναιρεῖν καὶ ἔχθεσθαι καὶ ὀρέγεσθαι καὶ φοβεῖσθαι τὸν ἄνθρωπον.

VIII. Ταῦτα δέ ἐστιν οὐ λυόντων τὴν ἀπορίαν, ἀλλ' ἀποδιδρασκόντων· καὶ γὰρ εἰ τὰ μάλιστα φαίη τις εἶναι τοῦ ἀνθρώπου ταῦτα πάθη, μένει τὸ ἀπορεῖν τίνι καὶ κατὰ τί ταῦτα πάσχει, πότερον κατὰ τὴν ψυχὴν ἢ κατὰ τὸ σῶμα· καὶ ὀρχεῖται ὁ ἄνθρωπος, ἀλλὰ ταῖς χερσί· καὶ λακτίζει ὁ ἄνθρωπος, ἀλλὰ τοῖς σκέλεσι· καὶ βλέπει κατὰ τὴν ὄψιν· καὶ ἀκούει κατὰ τὰ ὠτά· καὶ ὅλως τὸ μὲν ἔργον ἐστὶ κοινὸν τοῦ ἐκ τοῦ πάντων συνεστῶτος, τὴν δ' αἰτίαν τῆς συμπράξεως ἔχει τὸ μέρος ᾧ προσχρώμενος ἐνεργεῖ ἄνθρωπος.

Ἀλλὰ τὸ μὲν πλεῖον πολυαῖκος πολέμοιο
φησὶν Ἀχιλλεὺς,
Χεῖρες ἐμαὶ διέπουσιν·

οὐκ ἀποστερῶν ἑαυτὸν τῶν πολεμικῶν ἔργων, ὅτι ταῖς χερσὶν ἐπέγραψε τὴν αἰτίαν· ἀλλὰ δῆλον ὅτι ταῖς μὲν χερσὶ κατειργάζετο τοὺς πολεμίους, τὰ

τῷ ξίφει, αὐτὸς μέντοι ἦν ὁ διεργαζόμενος· καὶ ὁ λέγων

Δεινὸς κολαστὴς πέλεκυς αὐχένος τεμεῖν,
αὐτὸ κολάζει ὃ εἴρηκεν, ἀλλ' ὡς κολάζουσιν. οὕτως οὖν ὁ τὴν ἐπιθυμίαν ἐπιζητῶν, πότερον τοῦ σώματός ἐστιν ἢ τῆς ψυχῆς, οὐκ ἀγνοεῖ ὅτι τὸ λυπούμενον καὶ ἐπιθυμοῦν ἄνθρωπός ἐστι, πότερον τῇ ψυχῇ προσχρώμενος ἢ τῷ σώματι καὶ κατὰ τὸ σῶμα τοῦτο πάσχει διηπόρηκεν· ὥστε τὰς προφάσεις ἐάσαντες ἀψώμεθα τοῦ λόγου καὶ κατὰ τὴν ζήτησιν ἤδη.

IX. Ὅσοι τοίνυν τῆς ψυχῆς οὐκ ἄφθαρτον οὐδὲ ἀθάνατον μόνον ἀλλὰ καὶ ἀπαθῆ πειρῶνται διαφυλάττειν, ῥώμην τινὰ τῇ ἀπαθείᾳ τὴν ἀφθαρσίαν προβαλλόμενοι, καὶ τὸ πάσχειν ἀλλ' ὡς γέ πως ἤδη φθορᾶς ἀναδέχεσθαι πεῖραν οἰόμενοι, τάδε πάθη πάντα καὶ τὰς ἀσθενείας ὥσπερ ἐκ ῥίζης τῆς σαρκὸς ἀναβλαστάνειν ἐπὶ τὸν ἄνθρωπον, τῶν διαφορῶν πρῶτον ἔχονται τῶν περὶ τὰ σώματα φαινομένων κατὰ χρόνους καὶ φύσεις καὶ μεταβολάς· οἷον εὐθὺς ἐν νέοις ἀκμάζει τὸ ἐπιθυμητικόν, ἐν πρεσβύταις τὸ περίλυπον· τοῖς μὲν γὰρ αἷμα τὸ θερμαίνειν κέκραται, καὶ πνεῦμα ῥαγδαῖον ἐπὶ τὰς ὀρέξεις παρέστηκε, καὶ τὸ σῶμα τοῖς ὀργάνοις καθαροῖς καὶ ἀκραιφνέσιν ἐμμελὲς ἀεὶ καὶ πολύσφαλτον ἀνακινεῖ ἐναῤῥιπίζει τὰς ἐπιθυμίας ὥσπερ ἐξ ὕλης νεαρᾶς ἐναπτομένας περιφέρειν αἵματος ἐξὸν μεταβαλλόμενον ἐπὶ πολλὰ ταῖς ὁρμαῖς τὸν νέον. Ὁ πρέσβυς τοῦτο θερμὸν προλιπόντος ἤδη ὃς τε ἐπιθύμητ ἀνεζωπυρεῖτο, καὶ τῷ πνεύματι χαλῶν, καὶ κατατετριμ-

μένος τῷ σώματι, περὶ τὰς ἡδονὰς ἀβλυ τῶς ἐπιθυμίαις καὶ δυσκίνηται ***.

II.

Εἰ μέρος τὸ παθητικὸν τῆς ἀνθρώπου ψυχῆς ἢ δύναμις.

Λόγος ΙΗ.

I. Περὶ τῆς παθητικῆς καὶ ἀλόγου ζωῆς, πότερα μέρος ἐστὶ τῆς ἀνθρώπου ψυχῆς ἢ δύναμις, ἐπισκεπτέον. ἐοίκασι γὰρ τῶν ἀρχαίων οἱ μὲν οὕτως οἱ δὲ ἐκείνως ἀποφηνάμενοι περὶ αὐτῆς. ἄξιον οὖν καὶ ἡμᾶς ἀπορήσαντας καὶ ἐπὶ ζήτησιν τραπομένους ταύτῃ δοξάσαι εἴπερ ἂν καὶ ζητοῦσι φανεῖται πιθανώτερον.

II. Ὅσοι μὲν οὖν μέρος ἀποδιδόασιν αὐτὴν, δόξαιεν ἂν ἐκεῖνα λέγειν ἔμψυχα τὰ ἄλογα τῶν ζώων, οὐδὲ ψυχὴν ἔχοντα ἀλλά τι μόριον ψυχῆς. ὅσοι δ' ἂν δύναμιν, πρῶτον μὲν ἄτοπον ὅτι τῷ τόπῳ διαχωρίζουσιν αὐτὴν ἀπὸ τῆς ἀντιδιαιρουμένης αὐτῇ δυνάμεως τῆς λογικῆς· οὐ γὰρ διαιροῦνται ἀπ' ἀλλήλων αἱ δυνάμεις ὅσαι τοῦ αὐτοῦ τυγχάνουσιν οὖσαι· εἶδε τοῖς ἀλόγοις ἡ παθητικὴ μέν ἐστιν, ἡ λογικὴ δὲ οὐδαμῶς. ἔπειτα καὶ συνυπάρχειν ποιοῦσι τἀναντία κατὰ ταὐτό. αἱ γὰρ δυνάμεις τοιαῦται ὥστε ἑκάστην κἂν ὁπόσαι ἂν ὦσι περὶ ὅλην θεωρεῖσθαι τὸ ὑποκείμενον· τὸ δὲ λογικὸν καὶ τὸ ἄλογον οὐχ οὕτω περὶ ψυχήν. ἀποτέμνεσθαι γὰρ δοκεῖ τῆς ὕλης καὶ ποιεῖν αὐτὴν τὸ μὲν ἄλλο, τὸ δὲ ἄλλο· καὶ

τοῦτ᾽ εἰκότως· ἐναντία γάρ· τὰ δ᾽ ἐναντία καθ᾽ ἓν καὶ τὸ αὐτὸ συνυπάρχειν ἀληθές. Οὐδὲν γὰρ ἴσως κωλύει καὶ τἀναντία συνυπάρξαι τὸν εἰρημένον τρόπον, ἐὰν δυνάμεις ὦσι καὶ μὴ ἐνέργειαι λαμβάνονται, λογίζεσθαι μὲν γὰρ καὶ ἀλογιστεῖν, ἢ ὑγιάζειν καὶ κακοῦν ἅμφω ἀδύνατ᾽ ἡ μέντοι δύναμις τοῦ κακοῦν ἅμα περὶ τὸ αὐτὸ ἢ ἀλογιστεῖν περὶ τὴν ψυχὴν ἅμα· οὐ μέντοι καὶ αἱ κατὰ ταύτας ἐνέργειαι. καὶ πλείω δὴ τὸ αὐτὸ δύνασθαι οὐθὲν κωλύει, οἷον τὸ ἀληθεύειν τόν τε ἐπιστήμονα καὶ τὸν διαλεκτικόν. οὕτω δὴ καὶ ἀλογιστεῖν τήν τε τῶν ἀλόγων ζώων ψυχὴν καὶ τὴν ἀνθρώπου· ἀλλὰ τὴν μὲν τῶν ἀλόγων ἐν τῷ εἶναι αὐτῆς τὸ ἀλογιστεῖν ἔχειν, διὸ καὶ ἀεὶ ἀλογιστεῖ, καὶ οὐχ ὅτε μὲν τοῦτο ὅτε δὲ τὸ ἐναντίον· τὴν δὲ τοῦ ἀνθρώπου τὸ μὲν ἀλογιστεῖν οὐκ ἐν τῷ εἶναι ἔχειν αὐτήν· οὐ γὰρ ἂν καὶ ἐλογίζετο· τὸ δύνασθαι μέντοι ἀλογιστεῖν καὶ τὸ δύνασθαι λογίζεσθαι· ἐνεργεῖ δὲ κατ᾽ ἄμφω· κατὰ λόγον μὲν ὑπηνίκα βλέψῃ πρὸς τὴν ἑαυτῆς οὐσίαν, αὕτη δέ ἐστιν ὁ ἐν αὐτῇ νοῦς· κατὰ δὲ τὴν ἀλογίαν ὁπόταν νεύσῃ πρὸς τὰ ἔξω, ταῦτα δ᾽ ἐστὶ τὰ αἰσθητά. Ἄλλο οὖν τὸ ἐν ἀνθρώπῳ ἄλογον, καὶ ἄλλο τὸ ἐν τοῖς ζώοις· τὸ μὲν γὰρ ἐν τούτοις ψυχή, τὸ δὲ ἐν ἀνθρώπῳ δύναμις· καὶ τοῦτ᾽ ἂν εἴη τῆς τοῦ λογίζεσθαι δυνάμεως ἀχώριστον. Ὀρθῶς ἄρα καὶ Ἀριστοτέλης τὴν ἀνθρώπου ψυχὴν δύναμιν συναποκαλῶν, ὅτι ποτὲ μὲν λογίζεται, ποτὲ δ᾽ οὔ.

III. Ὅταν οὖν μὴ λογίζεται, ἄλλο τί ἢ ἀλογιστεῖ; Ἆρ᾽ οὖν ἡ κατὰ τὸ λογίζεσθαι δύναμις καὶ

αὐτὸ λογίζεσθαι, ψυχῆς ἐστι, καὶ ἐν χάρτῃ, χάρτης δ' οὔ; Ἀλλ' εἰ τοῦτο, ἑτέρα ἔσται αὐτῆς αὐταῖς παρὰ τὸ ἔργον καὶ τὴν πρὸς τοῦτο δύναμιν· καὶ ἕξει τὸ ὑποκείμενον περὶ ὃ θεωρηθήσεται ἡ δύναμις αὐτῆς. καὶ ἔσται τὸ ὄνομα ταῦτο ψυχὴ τὸ ὑποκείμενον μετὰ τῶν περὶ αὐτὸ θεωρουμένων δυνάμεων· καὶ ζωὴν ἕξει οὐ διὰ πάσης ἑαυτῆς· κατὰ γὰρ τὸ ὑποκείμενον ἄζωος ἔσται, τάχα δὲ καὶ παντάπασιν· οὐδαμοῦ γὰρ αὐτῆς ἐν τῇ φύσει ἐνέργεια ζωτικὴ, ἀλλὰ πάσαι δυνάμεις. δυνάμει οὖν ἔσται ζῶσα.

IV. Ἢ τὸ δυνάμει τὸ καθ' ἕξιν ῥητέον, ἵνα πως μὲν ἔχει ζωὴν, πως δὲ οὐκ ἔχει· δύο γὰρ ζωαὶ, ἡ μὲν ὡς ἕξις ψυχὴ, ἡ δὲ ὡς τὸ ἐνεργεῖν· καὶ ἡ μὲν ὡς ἕξις ψυχὴ, ἡ δὲ ὡς τὸ ἐνεργοῦν ὁ νοῦς. εἰ οὖν ἡ ὡς ἕξις ζωὴ ἡ ψυχὴ, ἁπλῆ ἂν εἴη χωρὶς ὑποκειμένου· τοιοῦτον γάρ τι τὴν ψυχὴν ὑπολαμβάνομεν, ὃ τὴν ζωὴν ἔχει σύμφυτον καὶ οὐ παρ' ἄλλου ἀλλὰ παρ' αὐτῆς· σωμάτων γὰρ τὸ παρ' ἄλλου τὴν ψυχὴν μεταλαγχάνειν. Εἰ δὲ ἦν τι σύνθετον ἡ ψυχὴ, ἐξ ὑποκειμένου καὶ εἴδους συγκειμένη, οὐκ ἂν ἔσχε παρ' αὐτῆς ἀλλὰ παρ' ἄλλου τὴν ζωήν· παρὰ γὰρ τοῦ εἴδους· ὥσπερ καὶ τῷ πυρὶ τῷ θερμῷ εἶναι παρὰ τῆς θερμότητος, καὶ οὐ παρὰ τῆς ὕλης· ἔπειτα κἂν σῶμα ἦν, τὸ γὰρ ἐξ ὑποκειμένου καὶ εἴδους σῶμα.

V. Δύναμις οὖν ζωτικὴ ἡ ψυχή· δύναμις δὲ ἡ ὡς ἕξις. διὰ τοῦτο καὶ ἐλευθέρα καὶ πρὸς τὰς ἐνεργείας ἀκώλυτος· ἔχουσα γὰρ ζωὴν, μᾶλλον δὲ οὖσα ζωὴ, κινεῖται καθ' ἑαυτὴν ὁπότε βούλεται. τοῦτο δὲ περὶ τῆς ἔξω σωμάτων ψυχῆς ὑπολαμβάνειν. ἐγὼ

κρατηθεῖσα σώματι καὶ τοῖς ἐκ τούτου πάθεσιν, ἀπόλλυσι τὸ ἐλεύθερον, καὶ οὐχ ὁπότε βούλεται κινεῖσθαι ἐᾶται, ἀλλὰ δεδουλωμένη πέπαυται τῆς ἐνεργείας· καὶ εἴ τις ἐπὶ ψυχῆς ὅλεθρος εἴη, οὕτως ἂν εἴη. ἃ δὲ δοκεῖ ἐνεργεῖν ἀποστρέφει, ταῦτα παθήματα ἂν εἴη μᾶλλον, οὐκ ἐνεργήματα· καὶ οὐκ αὐτῆς ταῦτα, ἀλλὰ τοῦ ζώου· κατ' αὐτὴν μέντοι. τὸ γὰρ λογίσθαι καὶ θεωρεῖν μόνον αὐτῆς· καὶ τοῦθ' ἡ κυρίως ἐνέργεια· τὰ δὲ παρὰ τοῦτο τοῦ ζώου πάντα, καὶ πάθη μᾶλλον οὐκ ἐνέργειαι.

VI. Ἀλλὰ πῶς, εἰ κατ' αὐτὸ εὖ πάσχει τὰ ζῶα, οὐκ αὐτὴ παθητική; πάσχειν γὰρ κατὰ τὴν παθητικὴν εὔλογον ψυχήν. ὥσπερ καὶ ὑφαίνειν κατὰ τὴν ὑφαντικήν. ἢ τοῦτο μὲν ἀληθὲς καὶ διδόναι χρή· ἀπορητέον δὲ περὶ τῆς καλουμένης παθητικῆς, καὶ περὶ τοῦ πάσχειν ὅλως πῶς γίνεται, πότερα τὸ μὴ ἐνεργεῖν τὴν ψυχὴν κατὰ λόγον ἢ ἄλλως. εἴτε γὰρ τὸ μὴ ἐνεργεῖν οὐθέν ἐστι πάθος ἐπαινετόν, φαίνεται δὲ ἅπαντα ὁπόσα μετρεῖται ὑπὸ τοῦ λόγου, χρήσιμα ὄντα· ἀρετὰς γὰρ αὐτὰ καλοῦμεν πολιτικάς, καὶ ἐπαινοῦμεν τὸν ἔχοντα αὐτάς· μετρεῖσθαι δὲ οὐκ ἂν ἠδύνατο μὴ ἐφορῶντος αὐτὰ νοῦ, καὶ ἐνδιδόντος αὐτοῖς ἀφ' αὑτοῦ μέτρον καὶ ὅρον· τοῦτο δὲ οὐθὲν ἄλλ' ἢ ἐνεργοῦντος περὶ αὐτά· ἐνεργεῖται οὖν ἅμα ὁ λόγος καὶ πάσχει τὸ ζῶον, καὶ τὸ αὐτὸ καὶ λογιζόμεθα ἅμα καὶ πάσχομεν· ἓν γὰρ ἤδη ἔχει· δυνάμεις δὲ ἦσαν πλείους ἢ τε τοῦ ἐνεργεῖν καὶ μή, μᾶλλον δὲ μία δύναμις· τὸ γὰρ μὴ ἐνεργεῖν ἀδυναμίας ἂν εἴη, καθ' ὃ καὶ ἀλογιστεῖν ἐλέγετο τὸ ζῶον.

VII. Ἀλλὰ τά τε ὑποθέσει ταύτῃ φαίνεται πλείω τὰ ἑπόμενα ἄτοπ καὶ ἄλλως ἀποδοῦναι τὰ πάθη τοῖς ἀνθρώποις οὐκ εὔπορον. ἐπισκεπτέον δέ τι, πῶς ἔφαμεν ἐνεργεῖν τε ἅμα τὸν λόγον καὶ εἶναι τὰ πάθη περὶ τὸ συναμφότερον. φαίνεται γὰρ οὐχ ἅμα ταῦτα γινόμενα ἄμφω. μεινάσης μὲν ἀρχῆς τῆς διανοίας ἐπεισελθόντα τὰ πάθη περὶ τὸ συναμφότερον· γινομένων δὲ τῶν παθῶν παρελθὼν αὖθις ὁ λόγος καὶ διακοσμήσας αὐτά. Τίς οὖν ἡ καλουμένη παθητικὴ ψυχή; ἡ αὐτὴ ἥπερ καὶ λογιστική. πάθος γάρ τι αὐτῆς τὸ μὴ ἀπαύστως ἐνεργεῖν· καὶ παθητικὴ, ὅτι θεωρεῖν ἀεί τε καὶ συνεχῶς ἀδύνατος. ὅταν οὖν μὴ θεωρῇ, πρὸς τὸ σῶμα ἐπέστραπται καὶ ἀπόστροφός ἐστι· τοῦ νοῦ δὲ οὖσα ἀπόστροφος ἀνοηταίνειν εἰκότως λέγοιτ' ἄν, καὶ οὐδὲν ὑγιὲς βλέπειν οὐδὲ κρίνειν ὀρθῶς, ἀλλὰ δοξάζει τά τε μὴ ἀγαθὰ καὶ τοὐναντίον, ἐκ δὲ τῆς τοιαύτης δόξης καὶ κρίσεως ἀποτελεῖσθαι τὰ πάθη περὶ τὸ σύνθετον, σύνθετόν τε ἔκ τε τοῦ σώματος καὶ τῆς ἐν αὐτῷ ζωῆς ἣν ἐνδίδωσιν ἡ ψυχή. ἐνδίδωσι γὰρ ἅπασα δύναμίς τινα ἀφ' αὑτῆς ἀπόῤῥοιαν τῷ ***.

III.

Ἐκ τοῦ περὶ Ψυχῆς. Α.

Ἀντύλλῳ δὲ τούτῳ καὶ αὐτοὶ παρῆμεν· ἀλλὰ Σωσιτέλει καὶ Ἡρακλέωνι διηγησώμεθα. νοσῶν ἔναγχος, ἀβιώτως ἔχειν ἐδόκει τοῖς ἰατροῖς· ἀνενεχθεὶς δὲ μικρὸν ἔκ τινος οὐ βεβαίου καταφορᾶς, ἄλλο μὲν

οὐδὲν οὔτ' ἔπραξεν οὔτ' εἶπε παρακινητικόν, ἔλεγε δὲ τεθνάναι καὶ πάλιν ἀφεῖσθαι, καὶ μὴ τεθνήξεσθαι τοπαράπαν ὑπὸ τῆς ἀῤῥωστίας ἐκείνης, ἀλλὰ καὶ κακῶς ἀκηκοέναι τοὺς ἀγαγόντας αὐτόν· ὑπὸ τοῦ κυρίου· πεμφθέντας γὰρ ἐπὶ Νικανδᾶν αὐτὸν ἥκειν ἀντ' ἐκείνου κομίζοντας. Ὁ δὲ Νικανδᾶς ἦν σκυτοτόμος, ἄλλως δὲ τῶν ἐν παλαίστραις γεγονότων, καὶ πολλοῖς συνήθης καὶ γνώριμος. ὅθεν οἱ νεανίσκοι προσιόντες ἔσκωπτον αὐτὸν ὡς ἀποδεδρακότα καὶ διεφθαρκότα τοὺς ἐκεῖθεν ὑπηρέτας· αὐτὸς μέντοι ὅῆλος ἦν εὐθὺς ὑποθραττόμενος καὶ δυσχεραίνων· τέλος δὲ πυρετοῦ προσπεσόντος, ἐξαίφνης ἀπέθανε τριταῖος. οὗτος δὲ ἀνεβίω, καὶ περίεστιν εὖγε ποιῶν, ἡμῖν ξένων ἐπιεικέστατος.

IV.

Ἐκ τοῦ περὶ Ψυχῆς. *A.*

Χείλων ὁ παλαιὸς ἀκούσας τινὸς λέγοντος, μηδένα ἔχειν ἐχθρὸν, ἠρώτησεν, εἰ καὶ μηδένα φίλον ἔχει· νομίζων ἐξ ἀνάγκης ἑπακολουθεῖν καὶ συνεπάγεσθαι φιλίας καὶ ἀπεχθείας.

V.

Ex eodem libro.

Plutarchus in librorum, quos περὶ ψυχῆς inscripsit, primo, quum de morbis dissereret in animos hominum incidentibus, „Virgines", dixit, Milesiæ „*nominis, fere quot tum in* ea civitate erant, repente



τον, οὐχ ὑπὸ γῆν οὐδὲ κάτω ἔοικε μιγνῦναι χωροῦν τὸ μετηλλαχός, ἀλλ' ἄνω φερόμενον εἰς θεόν· ὃ δὴ καὶ λόγον ἔχει καθαπερεί κάμπης τινὸς ἀνείσης οἷον ἐξάπτειν καὶ ἀναθεῖναι τὴν ψυχὴν ἀποπνέοντος τοῦ σώματος, ἀναπνέουσαν αὐτὴν καὶ ἀναψύχουσαν. ὅρα δὲ τὸ ἀντικείμενον θανάτῳ τὴν γένεσιν, ὡς τοὐναντίον δηλοῖ, φοπήν τινα κάτω καὶ νεῦσιν ἐπὶ γῆν, ἐκείνου τοῦ περὶ τὴν τελευτὴν πάλιν ἀναθέοντος· οἱ καὶ γενέθλιον τὴν ἡμέραν καλοῦσιν, ὡς ἄθλων γενομένην καὶ πόνων μεγίλων ἀρχήν. μᾶλλον δ' ἴσως ἀφ' ἑτέρας τὸ αὐτὸ συζυγίας κατοψόμεθα καὶ σαφέστερον. ἀπολύεσθαι γὰρ τὸν ἀποθνήσκοντα, καὶ τὴν τελευτὴν ἀπόλυσιν καλοῦσιν· ἂν δὲ ἕρημοι σώματος· τοῦτο γὰρ δέμας ὀνομάζουσιν, ὡς δεδεμένης ὑπ' αὐτοῦ τῆς ψυχῆς ἐνταῦθα παρὰ φύσιν. οὐδὲν γὰρ ἐν ᾧ πέφυκεν εἶναι κατέχεται βίᾳ, καὶ τὸ δεδέσθαι τὴν τε βίαν ταύτην παραγαγόντες, ὠνόμασαν βίον· ὥσπερ, οἶμαι, τὴν ἐσπέραν Ὅμηρος ἕσπερον. ὅθεν ἀνείφωνον τοῦ βίου ὄνομα γέγονε, τὸ ἀναπαύεσθαι τὸν θνήσκοντα, μεγάλης καὶ παρὰ φύσιν ἀνάγκης ἀπαλλαττόμενον. Οὕτω κατὰ τὴν εἰς τὸ ὅλον μεταβολὴν καὶ κατακόσμησιν ὀλωλέναι τὴν ψυχὴν λέγομεν ἐκεῖ γενομένην· ἐνταῦθα δὲ ἄγνοεῖ, πλὴν ὅταν ἐν τῷ τελευτᾶν ἤδη γένηται· τὸ δὲ πάσχειν πάθος, οἷον οἱ τελευταῖς μεγά[illegible]ιαζόμενοι. διὸ καὶ τὸ ῥῆμα τῷ ῥήματι, [illegible] τοῦ τελευτᾶν καὶ τελεῖσθαι [illegible] πρῶτα καὶ περιδρομαὶ κοπώδεις [illegible] τινὸς ὑστεροι πορείαι καὶ ἀτέλεσ[illegible] τοῦ τέλους

„sine ulla evidendi causa, voluntatem cepisse obeun-
„dae mortis, ac deinde plurimas vitam suspendio
„amisisse. Id quum accideret in dies crebrius, neque
„animis earum mori perseverantibus medicina adhi-
„beri quiret, decrevisse Milesios, ut virgines, quae
„corporibus suspensis demortuae forent, (ut) eae om-
„nes nudae cum eodem laqueo, qui essent praevinctae,
„efferrentur: post id decretum virgines voluntariam
„mortem non petisse, pudore solo deterritas tam in-
„honesti funeris.“

Ἐκ τοῦ περὶ Ψυχῆς.

I. *Ταῦτα τοῦ Τίμωνος εἰπόντος, ὑπολαβὼν ὁ Πατροκλεύς· ὁ μὲν λόγος, εἶπεν, οὐχ ἧττον ἰσχυρὸς ἢ παλαιός, ἔχει δὲ ὅμως ἀπορίας. εἰ γὰρ ἡ δόξα τῆς ἀφθαρσίας παμπαλαιός ἐστι, πῶς αὖ πάλιν τὸ τοῦ θανάτου δέος πάντων πρεσβύτατόν ἐστι τῶν φόβων εἰ μὴ νὴ Δία καὶ πανυς ἡμῖν τοῦτο τοὺς ἄλλους ἐγεγέννηκεν; οὐ γὰρ νεαρὸν οὐδὲ πρόσφατόν ἐστι τὸ κλαίεσθαι τὸν τεθνηκότα, καὶ ταῦτα δὴ τὸ θρηνώδη καὶ δύσημα τῶν ὀνομάτων ἐπιλέγεσθαι, τὸν ἄθλιον, καὶ τὸν οἰκτρόν.*

Ἀλλ' οὕτω μὲν, ἔφη ὁ Τίμων, λογιζόμενοι καὶ τὰ ἄφθαρτα δόξουσι διανοεῖσθαι φθειρομένους. ὃ μὲν οὖν τὸ μετηλλαχέναι καὶ οἴχεσθαι τὸν τεθνηκότα δυσχεροῦς οὐδενὸς ἁπλῶς, ἀμείψεως δέ τινος ἢ μεταβολῆς ὑπόνοιαν δίδωσιν, οὐκ ἄδηλόν ἐστι· πῶς δὲ αὕτη γίγνεται τοῖς μεταλλάττουσιν ἢ μεταβολή, καὶ πότερον εἰς χεῖρον ἢ βέλτιον ἐκ τῶν ἄλλων ἀνθρώπων σκοπῶμεν. αὐτὸ τοίνυν τὸ τοῦ θανάτου τῶν-

τον, οὐχ ὑπὸ γῆν οὐδὲ κάτω ἔοικε μιγνῦναι χωροῦν τὸ μετηλλαχὸς, ἀλλ' ἄνω φερόμενον εἰς θεόν· ὃ δὴ καὶ λόγον ἔχει καθαπερεί κάμπης τινὸς ἀνείσης οἷον ἐξάπτειν καὶ ἀναθεῖναι τὴν ψυχὴν ἀποπνέοντος τοῦ σώματος, ἀναπνέουσαν αὐτὴν καὶ ἀναψύχουσαν. ὅρα δὲ τὸ ἀντικείμενον θανάτῳ τὴν γένεσιν, ὡς τοὐναντίον δηλοῖ, ῥοπήν τινα κάτω καὶ νεῦσιν ἐπὶ γῆν, ἐκείνου τοῦ περὶ τὴν τελευτὴν πάλιν ἀναθέοντος· οἳ καὶ γενέθλιον τὴν ἡμέραν καλοῦσιν, ὡς ἄθλων γενομένην καὶ πόνων μεγίλων ἀρχήν. μᾶλλον δ' ἴσως ἀφ' ἑτέρας τὸ αὐτὸ συζυγίας κατοψόμεθα καὶ σαφέστερον. ἀπολύεσθαι γὰρ τὸν ἀποθνήσκοντα, καὶ τὴν τελευτὴν ἀπόλυσιν καλοῦσιν· ἂν δὲ ἕρημα σώματος· τοῦτο γὰρ δέμας ὀνομάζουσιν, ὡς δεδεμένης ὑπ' αὐτοῦ τῆς ψυχῆς ἐνταῦθα παρὰ φύσιν. οὐδὲν γὰρ ἐν ᾧ πέφυκεν εἶναι κατέχεται βίᾳ, καὶ τὸ δεδέσθαι τὴν τε βίαν ταύτην παραγαγόντες, ὠνόμασαν βίον· ὥσπερ, οἶμαι, τὴν ἑσπέραν Ὅμηρος ἔσπερον. ὅθεν ἀντίφωνον τοῦ βίου ἄνομα γέγονε, τὸ ἀναπαύεσθαι τὸν θνήσκοντα, μεγάλης καὶ παρὰ φύσιν ἀνάγκης ἀπαλλαττόμενον. Οὕτω κατὰ τὴν εἰς τὸ ὅλον μεταβολὴν καὶ κατακόσμησιν ὀλωλέναι τὴν ψυχὴν λέγομεν ἐκεῖ γενομένην· ἐνταῦθα δὲ ἀγνοεῖ, πλὴν ὅταν ἐν τῷ τελευτᾷν ἤδη γένηται· τὸ δὲ πάσχειν πάθος, οἷον οἱ τελευταῖς μεγάλαις κατοργιαζόμενοι. διὸ καὶ τὸ ῥῆμα τῷ ῥήματι, καὶ τὸ ἔργον τῷ ἔργῳ, τοῦ τελευτᾷν καὶ τελεῖσθαι προσέοικε. πλάναι τὰ πρῶτα καὶ περιδρομαὶ κοπώδεις, καὶ διὰ σκότους τινὸς ὑποπτοι πορείαι καὶ ἀτέλεστοι· εἶτα πρὸ τοῦ τέλους

αὐτοῦ τὰ δεινὰ πάντα, φρίκη καὶ τρόμος καὶ ἱδρὼς καὶ θάμβος. ἐκ δὲ τούτου φῶς τι θαυμάσιον ἀπήντησεν, ἡ τόποι καθαροὶ καὶ λειμῶνες ἐδέξαντο, φωνὰς καὶ χορείας καὶ σεμνότητας ἀκουσμάτων ἱερῶν καὶ φαντασμάτων ἁγίων ἔχοντες. ἐν οἷς ὁ παντελῶς ἤδη καὶ μεμυημένος ἐλεύθερος γεγονὼς, καὶ ἄφετος περιῶν, ἐστεφανωμένος ὀργιάζει, καὶ σύνεστιν ὁσίοις καὶ καθαροῖς ἀνδράσιν, τὸν ἀμύητον ἐνταῦθα τῶν ζώντων ἀκάθαρτον ἐφορῶν ὄχλον, ἐν βορβόρῳ πολλῷ καὶ ὁμίχλῃ πατούμενον ὑφ' ἑαυτοῦ καὶ συνελαυνόμενον, φόβῳ δὲ θανάτου τοῖς κακοῖς ἀπιστίᾳ τῶν ἐκεῖ ἀγαθῶν ἐμμένοντα. ἐπεὶ τό γε παρὰ φύσιν τὴν πρὸς τὸ σῶμα τῇ ψυχῇ συμπλοκὴν εἶναι καὶ σύνεξιν, ἐκεῖθεν ἂν συνίδοις.

III. *Πόθεν;* ἔφη ὁ *Πατροκλεύς.* ὅτι τῶν περὶ ἡμᾶς παθῶν ὁ ὕπνος ἡδιστόν ἐστι. πρῶτα μὲν γὰρ αἴσθησιν ἀλγηδόνος πᾶσι σβέννυσι διὰ τὴν ἡδονὴν πολλῷ τῷ οἰκείῳ κερανυμένης· ἔπειτα τῶν ἄλλων ἐπιθυμιῶν κρατεῖ, κἂν ὦσι σφοδρόταται. καὶ γὰρ πρὸς ἡδονὴν οἱ φιλομουσώτατοι δυσανασχετοῦσιν, ἐπιόντος αὐτοῖς τοῦ καθεύδειν, καὶ περιβολὰς ἐρημένων προΐενται καταδαρθάνοντες. καὶ τί δεῖ ταῦτα λέγειν; ὅτι οὐ καὶ τῶν ἀπὸ τοῦ μανθάνειν καὶ διαλέγεσθαι καὶ φιλοσοφεῖν καταλαμβάνων ὁ ὕπνος ἀποκλείει τῆς ψυχῆς, ὥσπερ ἀπὸ ῥεύματος λείου καὶ βαθέος ὑποφερομένης. ἡδονὴ δ' ἥδε πᾶσα μὲν ἴσως οὐσίαν ἔχει καὶ φύσιν ἀλγηδόνος ἀπαλλαγήν· αὕτη δὲ καὶ παντάπασιν. οὐδενὸς γὰρ ἔξωθεν οἷον ἐπιτερπσοῦς καὶ κινητικοῦ προσιόντος, ἠδόμεθα καυδὲν

θάνοντες· ἀλλ' ἐπίπονόν τινα καὶ σκληρὰν ἔοικεν ἐξαίρων ὕπνος διάθεσιν ἥδιστον εἶναι· αὕτη δ' ἐστὶν οὐχ ἑτέρα τῆς πρὸς τὸ σῶμα τὴν ψυχὴν συνδεούσης. χωρίζεται γὰρ ἐν τῷ καθεύδειν ἀνατρέχουσα καὶ συλλεγομένη πρὸς ἑαυτὴν ἐκ τοῦ διατετάσθαι πρὸς τὸ σῶμα καὶ διεσπάρθαι ταῖς αἰσθήσεσι. καίτοι λέγουσί τινες, ὡς κεταμίγνυσι μᾶλλον ὁ ὕπνος πρὸς τὸ σῶμα τὴν ψυχὴν, οὐκ ὀρθῶς λέγοντες. ἀντιμαρτυρεῖ γὰρ τῇ ἀναισθησίᾳ καὶ ψυχρότητι καὶ βάρει καὶ ὠχρότητι τὸ σῶμα κατηγοροῦν τὴν ψυχὴν, ἔκλειψιν μὲν ὅταν τελευτήσῃ, μετάστασιν δὲ ὅταν καθεύδῃ. καὶ τοῦτό ἐστι τὸ τὴν ἡδονὴν ποιοῦν ἀνάπαυλαν καὶ ἀνάπαυσιν τῆς ψυχῆς, ὥπερ ἄχθος κατατιθεμένης, καὶ πάλιν ἀναλαμβανούσης καὶ ἀποδυομένης. φεύγειν γὰρ ἔοικε κομιδῇ τὸ σῶμα θνήσκουσα, δραπετεύειν δὲ καταδαρθάνουσα. διὸ θνήσκουσι μὲν ἔνιοι μετὰ πόνων, καθεύδουσι δὲ μεθ' ἡδονῆς ἅπαντες· ὅπου μὲν γὰρ ἀποῤῥήγνυται παντάπασιν ὁ δεσμός. ὅπου δὲ ἐνδίδωσι καὶ χαλᾶται καὶ γίγνεται μαλακώτερος οἷον ὀμμάτων, ἀφαιμάτων, αἰσθήσεων παραλυομένων καὶ προϊεμένων τῶν περὶ τὸ σῶμα τῆς ψυχῆς ἐν πᾶσιν.

IV. *Εἶτα πῶς*, εἶπεν ὁ *Πατροκλεὺς*, *οὐ δυσφοροῦμεν οὐδὲ ἀλγοῦμεν ἐγρηγορότες; πῶς δὲ*, ἔφη ὁ *Τίμων*, *κειρομένων μὲν αἰσθάνεται κουφότητος ἡ κεφαλὴ καὶ ῥαστώνης, κομώντων δὲ βαρύτητος αἴσθησιν οὐ πάνυ παρεῖχεν; καὶ λυθέντες μὲν ἐκ δεσμῶν ἥδονται, δεδεμένοι δὲ οὐκ ἀλγοῦσι· καὶ φῶς ἐπισυνεχθὲν ἐξαίφνης συμποσίῳ θόρυβον καὶ κρότον ὑφ'*

ἡδονῆς ἐποίησε, πρότερον δὲ τὸ ἀλυπεῖς ἐδόκει μὴ ἐνοχλεῖν μηδὲ λυπεῖν τὴν ὄψιν. ἓν γὰρ αἴτιον ὤφειλε τούτων ἁπάντων, ὅτι τῷ παρὰ φύσιν τὸ κατὰ μικρὸν συνηθὲς καὶ σύντροφον ἐποίει τὴν αἴσθησιν, ὥστε μὴ πάνυ δυσχεραίνειν πάσχοντας, ἀπαλλαγείσης δὲ καὶ μεταβαλλούσης εἰς τὴν φύσιν. φαίνεται γὰρ εὐθὺς τῷ οἰκείῳ τὸ ἀλλότριον, καὶ τῷ ἡδομένῳ τὸ λυποῦν ὅτι παρῆν καὶ βαρύνον. οὕτω δὴ καὶ τὴν ψυχὴν τῇ πρὸς τὰ θνητὰ πάθη καὶ μέρη κοινωνίᾳ, τὸ παρὰ φύσιν καὶ ἀλλότριον οὐ πάνυ δοκεῖ πιέζειν ὑπὸ μικρᾶς συνηθείας· αἰσθάνεσθαι δὲ ῥᾳστώνης καὶ κουφότητος μεθ' ἡδονῆς ἀφιεμένη τῶν δεσμῶν τοῦ σώματος ἐνεργειῶν. ἐκείναις γὰρ ἐνοχλεῖται, καὶ περὶ ἐκείνας ἐκπονεῖται, καὶ ἀπ' ἐκείνων σχολῆς δεῖται καὶ ἀναπαύσεως. ἃ δὲ αὐτὴ καθ' αὑτὴν ἐνεργεῖ κατὰ φύσιν, τὸ σκοπεῖν ἀεί τι καὶ λογίζεσθαι καὶ μνημονεύειν καὶ θεωρεῖν, πρὸς ταῦτα ἄτρυτός ἐστι καὶ ἀκόρεστος. καὶ γὰρ ὁ κόρος κόπος ἐν ἡδοναῖς ἔοικεν εἶναι, τῷ μετὰ σώματος τὶ τὴν ψυχὴν πάσχειν, ἐπεὶ πρός τε τὰς αὐτὰς ἡδονὰς οὐ κατηγοροῦσι, συμπεπλεγμένη δὲ ὥσπερ εἴρηται τῷ σώματι, ταυτὰ τῷ Ὀδυσσεῖ πέπονθεν. ὡς γὰρ ἐκεῖνος τῷ ἐρινεῷ προσφὺς εἵχετο, καὶ περιέπτυσσεν οὐ ποθῶν οὐδὲ ἀγαπῶν ἐκεῖνον, ἀλλὰ δεδιὼς ὑποκειμένην τὴν χάρυβδιν· οὕτως ἔοικεν ἡ ψυχὴ ἔχεσθαι, καὶ περιπεπλέχθαι δι' εὔνοιαν οὐδεμίαν αὐτοῦ καὶ χάριν· ἀλλ' ὠφέλουσα τοῦ θανάτου τὴν ἀδηλότητα.

Κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι, κατὰ τὸν σοφὸν Ἡσίοδον, οὐ σαφηνῶς καὶ δι-

μοῖς πρὸς τὸ σῶμα τὴν ψυχὴν κατατείναντες, ἀλλ' να δεσμὸν αὐτῇ καὶ μίαν μηχανὴν μηχανησάμενοι αὶ περιβαλόντες, τὴν ἀδηλότητα καὶ ἀπιστίαν τῶν ιετὰ τὴν τελευτήν. ἐπεὶ τήν γε πεισθεῖσαν ὅσα ἀν- ρώπους περιμένει τελευτήσαντας, κατ' Ἡράκλει- ον, οὐδὲν ἂν κατάσχοι.

VII.

Περὶ ψυχῆς ἐκ τῶν Χαιρωνέως.

I. Ὅτι οὐ τὸ ἐπιστητὸν αἴτιον τῆς ἐπιστήμης, ς Ἀρκεσίλαος· οὕτω γὰρ καὶ ἀνεπιστημοσύνη τῆς τιστήμης αἰτία φανεῖται.

II. Ὅτι οὐχ ἡ ψυχὴ τρέπει ἑαυτὴν εἰς τὴν τῶν ραγμάτων κατάληψιν καὶ ἀπάτην κατὰ τοὺς ἀπὸ ῆς Στοᾶς. πῶς γὰρ αἰτία ἑαυτῇ γνώσεως ἡ ψυχὴ, ήπω αὐτὰς ἔχουσα ἀρχήν.

III. Ὅτι μόνῳ τῷ Πλάτωνι ῥᾴστον ἀποδοῦναι ὸν λόγον, εἰς λήθην καὶ ἀνάμνησιν ἀναφέροντι τὴν νῶσιν καὶ τὴν ἄγνοιαν.

IV. Ὅτι ἔνεισι μὲν αἱ ἐπιστῆμαι, κρύπτονται δὲ πὸ τῶν ἄλλων ἐπεισοδίων, ὁμοίως τῇ ὑπὸ Δημαρά- ου πεμφθείσῃ δέλτῳ.

V. Ὅτι καὶ τὸ ζητεῖν ταὶ τὸ εὑρίσκειν δηλοῖ τὴν νάμνησιν· οὔτε γὰρ ζητήσειεν ἄν τις οὗ ἐστιν ἀνεν- ήτος, οὔτε ἀνεύροι διά γε ζητήσεως· λέγεται γὰρ ὑρίσκειν καὶ ὃ κατὰ περίπτωσιν.

VI. Ὅτι ἀπόρου ὄντος εἰ οἷόν τε ζητεῖν καὶ εὑ- ίσκειν, ὡς ἐν Μένωνι προβέβληται· οὔτε γὰρ τὸν

ἴσμεν, μάταιον γάρ· οὔτε ἃ μὴ ἴσμεν, κἂν γὰρ π
ριπέσωμεν αὐτοῖς, ἀγνοοῦμεν, ὡς τοῖς τυχοῦσι. (
μὲν γὰρ Περιπατητικοὶ τὸν δυνάμει νοῦν ἐπενόησα
ἡμεῖς δὲ ἠποροῦμεν, ἀπὸ τοῦ ἐνεργείᾳ εἰδέναι κ
μὴ εἰδέναι. ἔστω γὰρ εἶναι τὸν δυνάμει νοῦν, ἀλ
ἔτι ἀπορία ἡ αὐτή· πῶς γὰρ οὗτος νοεῖ· ἢ γὰρ
οἶδεν ἢ ἃ οὐκ οἶδεν. οἱ δὲ ἀπὸ τῆς Στοᾶς τὰς φυσ
κὰς ἐννοίας αἰτιῶνται· εἰ μὲν δὴ δυνάμει, τὸ αὐτ
ἐροῦμεν· εἰ δὲ ἐνεργείᾳ, διὰ τί ζητοῦμεν ἃ ἴσμεν
εἰ δὲ ἀπὸ τούτων ἄλλα ἀγνοούμενα, πῶς ἄπειρ οἰ
ἴσμεν; οἱ δὲ Ἐπικούρειοι τὰς προλήψεις· ἃς εἰ μ
διηρθρωμένας φασὶ, περιττὴ ἡ ζήτησις· εἰ δὲ ἀδιά
θρώτους, πῶς ἄλλο τι παρὰ τὰς προλήψεις ἐπιζ
τοῦμεν, ὅ γε οὐδὲ προειλήφαμεν;

VII. Ὅτι καὶ ἡ ἀλήθεια τὸ ὄνομα δηλοῖ λήθη
ἐκβολὴν εἶναι τὴν ἐπιστήμην, ὅ ἐστιν ἀνάμνησις
ὅτι καὶ οἱ μητέρα τῶν Μουσῶν τὴν Μνημοσύν
εἰπόντες, αὐτὸ τοῦτο ἐνδείκνυνται· αἱ μὲν γὰ
Μοῦσαι τὸ ζητεῖν παρέχονται, ἡ δὲ Μνημοσύνη τ
εὑρίσκειν.

VIII. Ὅτι καὶ οἱ πολλοὶ τὸ ἀγνοεῖν ἐπιλελῆσθα
λέγοντες, τῷ αὐτῷ μαρτυροῦσι· λανθάνειν γὰρ ἡμᾶ
φαμὲν ἅπερ ἀγνοοῦμεν, καὶ λαθραῖα πράγματα κ
λοῦμεν τὰ ἀγνοούμενα.

IX. Ὅτι καὶ πρὸ βιοτῆς ἀναμνήσεις ἱστορῦν
ται, οἷα καὶ ἡ τοῦ Μύρωνος.

X. Ὅτι καὶ ὅσοι γαλῆν φοβοῦνται ἢ σαυρὸν ἢ
χελώνην, οὓς εἰδέναι αὐτός· καὶ ὅτι Βερίου ἄδελ
φιδοῦς ἄρκτους θηρῶν καὶ λέοντας, ὅμως ἀλεκτρυὼ

οὐδὲ ἰδεῖν ἠδύνατο· φαρμακοπώλην δέ τινα εἰδέναι, ὑπὸ μὲν δρακόντων καὶ ἀσπίδων μηδὲν πάσχειν, μύωπα δὲ φεύγειν μέχρι βοῆς καὶ ἐκστάσεως. Θεμίσων δὲ ὁ ἰατρὸς τὰ μὲν ἄλλα πάθη πάντα μετεχειρίζετο, τὴν δὲ ὑδροφόβαν εἴ τις ὠνόμασε μόνον, ἐταράττετο καὶ ὅμοια ἔπασχε τοῖς ὑπ' αὐτοῦ κατεχομένοις. ὧν αἰτίαν εἶναι τὴν ἀνάμνησιν τῆς προπαθείας.

XI. Ὅτι αἱ τῶν προπαθειῶν σφοδρότεραι τυποῦσι τὰς μνήμας εἰς δύο γενέσεις· οἷον τὸ Πολεμάρχου, καὶ τῶν ἐν Κορίνθῳ ὑπὸ τῷ μεγάλῳ σεισμῷ, καὶ τὸ ἐν Ἀμόργῳ τοῦ Δημητρίου ἐγγεγραμμένον τῷ τάφῳ.

XII. Ὅτι ὅμοια πάσχουσι καὶ οἱ ποταμοὺς μᾶλλον ἢ θάλατταν δεδοικότες, καὶ οἱ πρὸς τὰ ὕψη ταραττόμενοι.

XIII. Ὅτι τὰ νεογενῆ παιδία ἀμειδῆ ἐστι καὶ ἄγριον βλέπει μέχρι τριῶν σχεδὸν ἑβδομάδων, ὑπνώττοντα τὸν πλείω χρόνον· ἀλλ' ὅμως ποτὲ καθ' ὕπνους καὶ πολλάκις γελᾷ καὶ διαχεῖται. Τίνα οὖν τρόπον ἄλλον τοῦτο συμβαίνει, ἢ τῆς ψυχῆς τότε ἀπὸ τῆς δίνης τοῦ ζώου ἀναφερούσης, καὶ κατὰ τὰς ἑαυτῆς προπαθείας κινουμένης;

XIV. Ὅτι καὶ αἱ πρὸς τάδε ἢ τάδε εὐφυΐαι τοῦτον ἀποβαίνουσι τὸν τρόπον.

XV. Ὅτι τὸ λέγειν οὕτω πεφυκέναι, παχύ τε καὶ ἰδιωτικὸν καὶ ἀρκοῦν πρὸς πᾶσαν ἀπόκρισιν. Ἀλλὰ οἷον τὸ πεφυκέναι ζητητέον ὅμως· ἄλλο γὰρ ἄλλου, ὡς τῆς λογικῆς ψυχῆς τὸ ἀπὸ τῶν προεγνωσμένων τὰ παρόντα ἀναγνωρίζειν.

XVI. Ὅτι ἔσωθεν ἐπιφέρομεν τὰς τῶν ζητημάτων ἐπιστήμας, δηλοῖ τὸ πρὸς τὴν εὕρεσιν συντεινομένους εἴσω βλέπειν.

XVII. Ὅτι ἡ εὐφροσύνη ἐπὶ τοῖς εὑρήμασι δηλοῖ τὸν ἀναγνωρισμὸν τῆς ὅτι μάλιστα οἰκείας ἡμῖν ἀληθείας ἐν τῷ μέσῳ χρόνῳ οἷον ἀπολομένης.

XVIII. Ὅτι Βίων ἠπόρει περὶ τοῦ ψεύδους, εἰ καὶ αὐτὸ κατ' ἀνάμνησιν, ὡς τὸ ἐναντίον γε, ἢ οὔ· καὶ τί ἡ ἀλογία. ἢ φητέον ὡς καὶ τοῦτο γίνεται κατὰ τὸ εἴδωλον τοῦ ἀληθοῦς· τὸ δὲ εἴδωλον εἶναι τοῦτο ὅπερ ἀληθὲς οὐκ ἄν τις νομίσειεν, εἰ μὴ πῇ εἰδείη τὸ ἀληθές.

XIX. Ὅτι Στράτων ἠπόρει, εἴ ἐστιν ἀνάμνησις, πῶς ἄνευ ἀποδείξεων οὐ γιγνόμεθα ἐπιστήμονες· πῶς δὲ οὐδεὶς αὐλητὴς ἢ κιθαριστὴς γέγονεν ἄνευ μελέτης. ἢ μάλιστα μὲν γεγόνασι τινὲς αὐτοδίδακτοι· Ἡράκλειτος ὁ Λίγυπτιος γεωργός· Φήμιος ὁ Ὁμήρου· Ἀγάθαρχος ὁ γραφεύς· εἶτα καὶ αἱ ψυχαὶ πολλῷ τῷ κάρῳ κατεχόμεναι τῆς γενέσεως, πολλῆς πρὸς ἀνάμνησιν δέονται τῆς μοχλείας· διὸ καὶ τῶν αἰσθητῶν χρήζουσιν.

XX. Ὅτι, ὡς ἡ φαντασία ἀφ' ἑνός τινος ὀνόματος ὅλου ἀναμιμνήσκεται βίου, οἷον τοῦ Ἀλκιβιάδου· οὕτω καὶ ἡ λογικὴ μνήμη ἀπὸ τῆς τυχούσης ἀφορμῆς προσεξευρίσκει πλείονα.

XXI. Ὅτι ἔοικεν ἡ πρὸς τὸ σῶμα σύνδεσις ἀτελησίᾳ· καὶ γὰρ ἐν ἐκείνῃ ὀψέ ποτε ἀναφέρουσιν αἱ ψυχαὶ καθεστῶτα.

XXII. Ὅτι εἰ μὲν ἀεὶ πρὸς τὰ παρόντα διὰ τοῦ

μνησιν αἱ μαθήσεις, ἐπ' ἄπειρόν εἰσιν αἱ ψυχαὶ ἐπὶ τὰ πρόσω, λείπει δὲ καὶ τὸ ἐπὶ θάτερον μέρος· διόπερ οὔπω ἀθάνατοι. εἰ δὲ ἀπὸ χρόνου γενομένη μετὰ τῆς ἐπιστήμης γέγονε, πῶς ἀποβάλλει αὐτὴν εὐθέως κατὰ οὐσίαν; (οὕτω γὰρ πάλλιον ἐπιλύσασθαι, ἥπερ ὡς ὁ ἐξηγητής· εἰς γὰρ ποικιλίαν ἐξηνέχθη πολλήν.)

XXXIII. Ὅτι σαφῶς ὁ Κέβης οὐ τοῦ αὐτοῦ συμπεράσματος ἐπήγει ἄλλην ἐπιχείρησιν, ἀλλὰ τὸ ἀντίστροφον ἐννοεῖ τε καὶ τὸν Σωκράτην ὑπομιμήσκει δειχθῆναι δυνάμενον τὸ πρὸ τοῦ σώματος εἶναι τὴν ψυχήν, καὶ ταύτῃ οὖν λέγει τὴν ψυχὴν ἀθάνατόν τε εἶναι εἰ προϋπάρχει χωριστή.

XXIV. Ὅτι τῶν ἄλλων οἰομένων, τὴν ψυχὴν καὶ συγγίγνεσθαι τῷ σώματι καὶ συμφθείρεσθαι, τοῦτο μὲν ἀνασκευάζει ὁ πρῶτος λόγος, ἐκεῖνο δὲ ὁ δεύτερος.

XXV. Ὅτι ἡ μαιευτικὴ ἐρώτησις, πρόσπλησις οὖσα τῆς κυομένης ἐπιστήμης, ἀναγκαίως δείκνυσιν αὐτὴν προϋπάρχουσαν· ὡς ἔργῳ δείκνυσι καὶ ὁ Σωκράτης ἐν τῷ Μένωνι.

XXVI. Ὅτι ἐστὶ τὰ εἴδη, παρενδείκνυταί πως ποτιθέμενος αὐτὰ συναποδείξει. εἰ γὰρ πολλὰ τὰ α, ἀφ' ἑνός ἂν εἴη τοῖς πολλοῖς τὸ αὐτό· καὶ δῆν ὅτι ὄντος, καὶ δῆλον ὅτι ἐν οὐδενὶ τῶν καθ' ιστα, ἐν οἷς τὰ πολλὰ ἴσα· πρὸ αὐτῶν ἄρα ἥπερ ἴτα ἀπ' αὐτοῦ· διὸ καὶ ἕτερα αὐτοῦ εἴρηται. εἶτα τέραν ἐνδείκνυται ἀπόδειξιν· τὰ ἐν ὕλῃ ἴσα παινόμενα λέγων τῇ οἰκείᾳ στερήσει, τὰ δὲ αὐτὰ

καθ' ἑαυτὰ ἀκραφνεῖν· πάντως δὲ ἄτι τὰ τέλεια τῶν μὴ τελείων πρεσβύτερα.

XXVII. Ὅτι ποτὲ μὲν ἴσον, ποτὲ δὲ αὐτὰ ἴσα λέγει· ἢ εἰς τοὺς πολλοὺς ἀποβλέπων νόμος, ὧν ἐν ἑκάστῳ τὸ αὐτὸ ἴσον· ἢ τὸ μὲν ἐν τῷ νῷ ἀποδοτέον, τὸ δὲ πεπληθυσμένον τῇ ψυχῇ· ἐνταῦθα γὰρ τὰ ὧν πολλὰ διὰ τὴν ἐν αὐτῇ πρὸς ἑαυτὴν ὑπόβασιν.

XXVIII. Ὅτι κατ' οὐσίαν εἰκὼν φύσις συμπέσχει τῷ οἰκείῳ πυραυλήματι, καὶ ὁρέγεται αὐτοῦ ὡς αἰτίου· ὅπου γε καὶ αἱ τεχνητὰι εἰκόνες κατὰ τὴν ψυχὴν ἀφομοίωσιν ὅμως ἐλλάμπονται ὑπὸ θεῶν.

XXIX. Πῶς οὐ δύνατον ἐννοῆσαι μὴ διὰ τῶν αἰσθητῶν τὰ νοητὰ ἢ τάς γε πλείστας τῶν ψυχῶν.

XXX. Ὅτι ἡ μὲν ὀρέγεται ἀπ' αὐτῶν, ἡ δὲ ἐνδεῖ ἐκτὸς αὐτῶν.

XXXI. Ὅτι τὸ ὅ ἐστι, δηλοῖ μὲν καὶ τὸ ἄτιος ὄν, δηλοῖ δὲ καὶ τὸ ἀπηλλαγμένον τῶν ἐν τῇ γενέσει περιφυομένων. εἰ τὰ ἐπιστητὰ πρὸ τῶν αἰσθητῶν, ἀνάγκη καὶ τὰς ἐπιστήμας πρὸ τῶν αἰσθήσεων· ὅπερ καὶ τοὺς ἐπισταμένους πρὸ τῶν αἰσθανομένων· ὅπερ καὶ ἕκαστος ἐπιστάμενος πρὸ αἰσθανομένου αὐτὸς ἑαυτοῦ· εὐθὺς δὲ γεννηθέντες αἰσθανόμεθα· πρὸ τοῦ γεννηθῆναι ἄρα ἐπιστάμεθα.

XXXII. Ὅτι ἐν τῇ πρώτῃ γενέσει ἡ σφαιρικὴ μεταβολή ἐστιν· αὕτη δὲ ἐκπλήσσει τὴν μνήμην, καὶ ταράττουσα λήθην ἐμποιεῖ· τότε ἄρα οὐκ ἦν ἡμῖν ἐπιστήμην· πρότερον ἄρα τοῦ σώματος· ἧπερ δὲ προσεχῶς, ὡς ἐπὶ τῶν νεοτελῶν, ἢ τῶν ἐν φιλοσοφίας, ἢ καὶ ἐκ προγενεστέρων ἔτι βίων.

XXXIII. Ὅτι ὡς πρὸς τὸν δεύτερον λόγον ἀπιδὼν ὁ Σιμμίας οὐκ ἀποδεικνῦναι φησὶν αὐτόν, τὸ δὲ ἐπιδιαμένειν ἐν ᾅδου· οὐδὲ γὰρ ἐκεῖνος τὸ πρὸ τῆς γενέσεως. διόπερ ὁ Σωκράτης ἐκ τῶν δύο λόγων συνάγει τὴν μίαν ὅλην ἀπόδειξιν.

XXXIV. Ὅτι ὁ παῖς ἐν μὲν τῷ λόγῳ παρὰ φύσιν ἀπαίδευτος· ἐν δὲ τῷ ἄλόγῳ κατὰ φύσιν τοῦ ἑαυτοῦ· ἐν δὲ τῷ σώματι καθ' ἡλικίαν.

Ἐκ τῶν τοῦ Χαιρωνέως Πλουτάρχου.

I. Εἰ ἀφ' ἑτέρου ἕτερον ἐννοοῦμεν, οὐκ ἂν εἰ μὴ προέγνωστο. τὸ ἐπιχείρημα Πλατωνικόν.

II. Εἰ προστίθεμεν τὸ ἐλλεῖπον τοῖς αἰσθητοῖς. καὶ αὐτὸ Πλατωνικόν.

III. Εἰ παῖδες εὐμαθέστεροι, ὡς ἐγγίους προβιοτῆς, ἐν ᾧ ἡ μνήμη ἐσώζετο. ἐπιπολαῖος ὁ λόγος.

IV. Εἰ ἄλλοι πρὸς ἄλλο μάθημα ἐπιτηδειότεροι.

V. Εἰ πολλοὶ αὐτοδίδακτοι ὅλον τεχνῶν.

VI. Εἰ πολλὰ παιδία ὑπνώττοντα γελᾷ, ὕπαρ δὲ οὔπω· πολλὰ δὲ καὶ ὕπαρ ἐφθέγξατο, ἄλλως οὔπω φθεγγόμενα.

VII. Εἰ ἔνιοι καὶ ἀνδρεῖοι ὄντες ὅμως φοβοῦνται φαῦλα ἄττα, οἷον γαλῆν ἢ ἀλεκτρυόνα, ἀπ' οὐδεμιᾶς φανερᾶς αἰτίας.

VIII. Εἰ μὴ ἐστιν ἄλλως εὑρίσκειν. οὔτε γὰρ ἃ ἴσμεν ζητήσειεν ἄν τις· οὔτε ἃ μηδαμῶς ἴσμεν πρότερον, ἀλλ' οὐδ' ἂν εὕροιμεν ἃ μὴ ἴσμεν.

IX. Εἰ ἡ ἀλήθεια κατὰ ἀφαίρεσιν τῆς λήθης ἔνστασις τοῦ ὄντος ἐστί. λογικὴ ἐπιχείρησις.

X. *Εἰ ἡ μήτηρ τῶν Μουσῶν Μνημοσύνη, ὡς ἡ ἀδιάρθρωτος μνήμη τῶν ζητήσεων αἰτία.*

XI. *Εἰ ἅπερ ἀδύνατον γινώσκειν, μηδὲ ζητοῦμεν. ἀλλὰ τὸ ἐπιχείρημα πάλιν ἀπὸ τῆς εὑρέσεως.*

XII. *Εἰ τοῦ ὄντος ἡ εὕρεσις πάντως, ὅτι καὶ θεωρημάτων· ποῦ οὖν ὄντων. ἢ δῆλον ὅτι ἐν ψυχῇ.*

VIII.

Ἐκ τῶν Στρωματέων.

I. *Θάλητα πρῶτον πάντων φασὶν ἀρχὴν τῶν ὅλων ὑποστήσασθαι τὸ ὕδωρ· ἐξ αὐτοῦ γὰρ εἶναι τὰ πάντα καὶ εἰς αὐτὸ χωρεῖν.*

II. *Μεθ' ὃν Ἀναξίμανδρον Θάλητος ἑταῖρον γενόμενον, τὸ ἄπειρον φάναι τὴν πᾶσαν αἰτίαν ἔχειν τῆς τοῦ παντὸς γενέσεώς τε καὶ φθορᾶς· ἐξ οὗ δή φησι τοὺς τε οὐρανοὺς ἀποκεκρίσθαι, καὶ καθόλου τοὺς ἅπαντας ἀπείρους ὄντας κόσμους· ἀπεφήνατο δὲ τὴν φθορὰν γίνεσθαι, καὶ πολὺ πρότερον τὴν γένεσιν, ἐξ ἀπείρου αἰῶνος ἀνακυκλουμένων πάντων αὐτῶν· ὑπάρχειν δὲ φησι τῷ μὲν σχήματι τὴν γῆν κυλινδροειδῆ, ἔχειν δὲ τοσοῦτον βάθος ὅσον ἂν εἴη τρίτον πρὸς τὸ πλάτος· φησὶ δὲ τὸ ἐκ τοῦ ἀϊδίου γόνιμον θερμοῦ τε καὶ ψυχροῦ, κατὰ τὴν γένεσιν τοῦδε τοῦ κόσμου ἀποκριθῆναι, καί τινα ἐκ τούτου φλογὸς σφαῖραν περιφῦναι τῷ περὶ τὴν γῆν ἀέρι, ὡς τῷ δένδρῳ φλοιόν, ὑστερον ἀπορραγείσης καὶ εἰς τινας ἀποκλεισθείσης κύκλους, ὑποστῆναι τόν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας· ἔτι φησὶν, ὃν*

κατ' ἀρχὰς ἐξ ἀλλοειδῶν ζώων ὁ ἄνθρωπος ἐγεννήθη, ἐκ τοῦ τὰ μὲν ἄλλα ζῶα δι' ἑαυτῶν ταχὺ νέμεσθαι, μόνον δὲ τὸν ἄνθρωπον πολυχρονίου δεῖσθαι τιθηνήσεως· διὸ καὶ κατ' ἀρχὰς οὐκ ἂν ποτε τοιοῦτον ὄντα διασωθῆναι. Ταῦτα μὲν οὖν ὁ Ἀναξίμανδρος.

III. Ἀναξιμένην δέ φασι, τὴν τῶν ὅλων ἀρχὴν τὸν ἀέρα εἰπεῖν, καὶ τοῦτον εἶναι τῷ μὲν γένει ἄπειρον, ταῖς δὲ περὶ αὐτὸν ποιότησιν ὡρισμένον· γενᾶσθαι δὲ πάντα κατά τινα πύκνωσιν τούτου καὶ πάλιν ἀραίωσιν· τὴν γε μὴν κίνησιν ἐξ αἰῶνος ὑπάρχειν· πιλουμένου δὲ τοῦ ἀέρος, πρώτην γεγενῆσθαι λέγειν τὴν γῆν, πλατεῖαν μάλα· διὸ καὶ κατὰ λόγον αὐτὴν ἐποχεῖσθαι ἀέρι· καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὰ λοιπὰ ἄστρα τὴν ἀρχὴν τῆς γενέσεως ἐκ γῆς ἔχειν· ἀποφαίνεται γοῦν τὸν ἥλιον γῆν, διὰ δὲ τὴν ὀξεῖαν κίνησιν καὶ μάλα ἱκανῶς θερμοτάτην κίνησιν λαβεῖν.

IV. Ξενοφάνης δὲ ὁ Κολοφώνιος, ἰδίαν τινὰ δόδὸν πεπορευμένος καὶ παρηλλαχεῖαν πάντας τοὺς προειρημένους, οὔτε γένεσιν οὔτε φθορὰν ἀπολείπει· ἀλλ' εἶναι λέγει τὸ πᾶν ἀεὶ ὅμοιον· εἰ γὰρ γίνοιτο τοῦτο, φησίν, ἀναγκαῖον πρὸ τούτου μὴ εἶναι· τὸ μὴ ὂν δὲ οὐκ ἂν γίνοιτο, οὐδ' ἂν τὸ μὴ ὂν ποιήσαί τι, οὐδ' ἂν ὑπὸ τοῦ μὴ ὄντος γένοιτ' ἄν τι. ἀποφαίνεται δὲ καὶ τὰς αἰσθήσεις ψευδεῖς, καὶ καθόλου σὺν αὐταῖς καὶ αὐτὸν τὸν λόγον διαβάλλει. ἀποφαίνεται δὲ καὶ τῷ χρόνῳ καταφερομένην συνεχῶς καὶ κατ' ὀλίγον τὴν γῆν εἰς τὴν θάλασσαν χωρεῖν. φησὶ δὲ καὶ τὸν ἥλιον ἐκ μικρῶν καὶ πλειόνων

πυρίων ἀθροίζεσθαι. ἀποφαίνεται δὲ καὶ περὶ θεῶν, ὡς οὐδεμιᾶς ἡγεμονίας ἐν αὐτοῖς οὔσης· οὐ γὰρ ὅσιον δεσπόζεσθαί τινα τῶν θεῶν· ἐπιδεῖσθαί τε μηδενὸς αὐτῶν μηδένα ὅλως, ἀκούειν δὲ καὶ ὁρᾶν καθόλου, καὶ μὴ κατὰ μέρος. ἀποφαίνεται δὲ καὶ τὴν γῆν ἄπειρον εἶναι, καὶ κατὰ πᾶν μέρος μὴ περιέχεσθαι ὑπ' ἀέρος· γίνεσθαι δὲ ἅπαντα ἐκ γῆς. τὸν δὲ ἥλιον, φησὶ, καὶ τὰ ἄλλα ἄστρα ἐκ τῶν γαρῶν γίνεσθαι.

V. *Παρμενίδης δὲ ὁ Ἐλεάτης, ἑταῖρος Ξενοφάνους, ἅμα μὲν καὶ τῶν τούτου δοξῶν ἀκτησποίησατο, ἅμα δὲ καὶ τὴν ἐναντίαν ἐνεχειρήματο στάσιν· εἶδεν μὲν γὰρ τὸ πᾶν καὶ ἀκίνητον ἀποφαίνεται· εἶναι γὰρ αὐτὸ μόνον, μουνογενές τε, καὶ ἀτρεμὲς, ἠδ' ἀγέννητον· γένεσιν δὲ τῶν καθ' ὑπόληψιν ψευδῆ δοκούντων εἶναι· καὶ τὰς αἰσθήσεις ἐκβάλλει ἐκ τῆς ἀληθείας· φησὶ δὲ, ὅτι εἴ τι παρὰ τὸ ὂν ὑπάρχει, τοῦτο οὐκ ἔστιν ὄν, τὸ δὲ μὴ ὂν ἐν τοῖς ὅλοις οὐκ ἔστιν· οὕτως οὖν τὸ ὂν ἀγέννητον ἀπολείπει. λέγει δὲ τὴν γῆν τοῦ πυκνοῦ καταῤῥυέντος ἀέρος γεγονέναι.*

VI. *Ζήνων δὲ ὁ Ἐλεάτης ἴδιον μὲν οὐδὲν ἐξέθετο, διηπόρησε δὲ περὶ τούτων ἐπὶ πλεῖον.*

VII. *Δημόκριτος ὁ Ἀβδηρίτης ὑπεστήσατο τὸ πᾶν ἄπειρον, διὰ τὸ μηδαμῶς ὑπό τινος αὐτὸ δεδημιουργῆσθαι· ἔτι δὲ καὶ ἀμετάβλητον αὐτὸ λέγει· καὶ καθόλου οἷον πᾶν ἐστι, ῥητῶς ἐκτίθεται· μηδεμίαν ἀρχὴν ἔχειν τὰς αἰτίας τῶν γῦν γιγνομένων, ἄνωθεν δὲ ὅλως ἐξ ἀπείρου χρόνου πρακατέχεσθαι τῇ ἀνάγκῃ πάνθ' ἁπλῶς τὰ γεγονότα καὶ ὄντα καὶ ἐσ-*

μενα. ἡλίου δὲ καὶ σελήνης γένεσίν φησι, κατ' ἰδίαν δὴ φέρεσθαι ταῦτα μηδέπω τὸ παράπαν ἔχοντα θερμὴν φύσιν, μηδὲ μὴν καθόλου λαμπροτάτην, τοὐναντίον δὲ ἐξωμοιωμένην τῇ περὶ τὴν γῆν φύσει· γεγονέναι γὰρ ἑκάτερον τούτων πρότερον ἔτι κατ' ἰδίαν ὑποβολήν τινα τοῦ κόσμου· ὕστερον δὲ μεγεθοποιουμένου τοῦ περὶ ἥλιον κύκλου, ἐναποληφθῆναι ἐν αὐτῷ τὸ πῦρ.

VIII. Ἐπίκουρος Νεοκλέους Ἀθηναῖος, τὸν περὶ θεῶν τύφον πειρᾶται καταστέλλειν. ἀλλὰ καὶ οὐθέν, φησὶ, γίνεται ἐκ τοῦ μὴ ὄντος· ὅτι τὸ πᾶν ἀεὶ τοιοῦτον ἦν, καὶ ἔσται τοιοῦτον· ὅτι οὐδὲν ξένον ἀποτελεῖται ἐν τῷ παντὶ παρὰ τὸν ἤδη γεγενημένον χρόνον ἄπειρον· ὅτι πᾶν ἐστι σῶμα, καὶ οὐ μόνον ἀμετάβλητον ἀλλὰ καὶ ἄπειρον· ὅτι τέλος τῶν ἀγαθῶν ἡδονή.

IX. Ἀρίστιππος ὁ Κυρηναῖος τέλος ἀγαθῶν τὴν ἡδονὴν, κακῶν δὲ τὴν ἀλγηδόνα· τὴν δὲ ἄλλην φυσιολογίαν περιγράφει, μόνον ὠφέλιμον εἶναι λέγων τὸ ζητεῖν,

Ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

X. Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος, στοιχεῖα τέσσαρα, πῦρ, ὕδωρ, ἀέθερα, γαῖαν· αἰτίαν δὲ τούτων, φιλίαν καὶ νεῖκος· ἐκ πρώτης, φησὶ, τῆς τῶν στοιχείων κράσεως ἀποκριθέντα τὸν ἀέρα περιχυθῆναι κύκλῳ· μετὰ δὲ τὸν ἀέρα τὸ πῦρ ἐκδραμὸν, καὶ οὐκ ἔχον ἑτέραν χώραν, ἄνω ἐκτρέχειν ὑπὸ τοῦ περὶ τὸν ἀέρα πάγου· εἶναι δὲ κύκλῳ περὶ τὴν γῆν φερόμενα δύο ἡμισφαίρια, τὸ μὲν καθόλου πυρὸς, τὸ δὲ μικτὸν ἐξ ἀέρος καὶ ὀλίγου πυρὸς, ὅπερ οἴεται

τὴν νύκτα εἶναι. τὴν δὲ ἀρχὴν τῆς κινήσεως συμβῆναι ἀπὸ τοῦ τετυχηκέναι κατὰ τὸν ἀθροισμὸν, ἐπιβρίσαντος τοῦ πυρός. ὁ δὲ ἥλιος τὴν φύσιν οὐκ ἔστι πῦρ, ἀλλὰ τοῦ πυρὸς ἀντανάκλασις, ὁμοία τῇ ἀφ' ὕδατος γινομένῃ. Σελήνην δὲ, φησὶ, συστῆναι καθ' ἑαυτὴν ἐκ τοῦ ἀπολειφθέντος ἀέρος ὑπὸ τοῦ πυρός· τοῦτον γὰρ παγῆναι, καθάπερ καὶ τὴν χάλαζαν· τὸ δὲ φῶς αὐτὴν σχεῖν ἀπὸ τοῦ ἡλίου. τὸ δὲ ἡγεμονικὸν οὔτε ἐν κεφαλῇ, οὔτε ἐν θώρακι, ἀλλ' ἐν αἵματι· ὅθεν καθ' ὅ τι ἂν μέρος τοῦ σώματος πλεῖον ᾖ παρεσπαρμένον τὸ ἡγεμονικὸν, οἴεται κατ' ἐκεῖνο προτερεῖν τοὺς ἀνθρώπους.

XI. *Μητρόδωρος ὁ Χῖος, ἄθλιον εἶναι φησι τὸ πᾶν· ὅτι, εἰ ἦν γενητὸν, ἐκ τοῦ μὴ ὄντος ἂν ἦν. οὐ γὰρ ἔχειν ἀρχὴν ὅθεν ἤρξατο, οὐδὲ πέρας, οὐδὲ τελευτήν· ἀλλ' οὐδὲ κινήσεως μετέχειν τὸ πᾶν· κινεῖσθαι γὰρ ἀδύνατον, μὴ μεθιστάμενον· μεθίστασθαι δὲ ἀναγκαῖον ἤτοι εἰς πλῆρες, ἢ εἰς κενόν. πυκνούμενον δὲ τὸν αἰθέρα ποιεῖν νεφέλας, εἶτα ὕδωρ, ὃ καὶ κατιὸν ἐπὶ τὸν ἥλιον σβεννύναι αὐτὸν, καὶ πάλιν ἀραιούμενον ἐξάπτεσθαι· χρόνῳ δὲ, πήγνυσθαι τῷ ξηρῷ τὸν ἥλιον, καὶ ποιεῖν ἐκ τοῦ λαμπροῦ ὕδατος ἀστέρας, νύκτα τε καὶ ἡμέραν ἐκ τῆς σβέσεως καὶ ἐξάψεως, καὶ καθόλου τὰς ἐκλείψεις ἀποτελεῖν.*

XII. *Διογένης ὁ Ἀπολλωνιάτης, ἀέρα ὑφίστασθαι στοιχεῖον· κινεῖσθαι δὲ τὰ πάντα, ἀπείρους τε εἶναι τοὺς κόσμους. κοσμοποιεῖ δὲ οὕτως· ὅτι τοῦ παντὸς κινουμένου, καὶ ᾗ μὲν ἀραιοῦ, ᾗ δὲ πυκνοῦ γινομένου ἅμα συνεκύρησε τὸ πυκνὸν, συστραφὲν*

ποιῆσαι, καὶ οὕτως τὰ λοιπὰ, κατὰ τὸν αὐτὸν λόγον, τὰ κουφότατα τὴν ἄνω τάξιν λαβόντα τὸν ἥλιον ἀποτελέσαι.

IX.

Ἐκ τοῦ περὶ τῶν ἐν Πλαταιαῖς Δαιδάλων.

I. Ὅτι μὲν οὖν ἡ παλαιὰ φυσιολογία καὶ παρ' Ἕλλησι καὶ βαρβάροις λόγους ἦν φυσικὸς ἐγκεκαλυμμένος μύθοις, τὰ πολλὰ δι' αἰνιγμάτων καὶ ὑπονοιῶν ἐπίκρυφος καὶ μυστηριώδης θεολογία, τά τε λαλούμενα τῶν σιγωμένων σαφέστερα τοῖς πολλοῖς ἔχοντα, καὶ τὰ σιγώμενα τῶν λαλουμένων ὑποπτότερα, δῆλόν ἐστιν ἐν τοῖς Ὀρφικοῖς ἔπεσι, καὶ τοῖς Αἰγυπτιακοῖς καὶ Φρυγίοις λόγοις· μάλιστα δὲ οἱ περὶ τὰς τελετὰς ὀργιασμοὶ, καὶ τὰ δρώμενα συμβολικῶς ἐν ταῖς ἱερουργίαις τὴν τῶν παλαιῶν ἐμφαίνει διάνοιαν.

II. Οἷον μὴ μακρὰν τῶν ἐνεστηκότων λόγων βαδίζωμεν, οὐ νομίζουσιν οὐδὲ ἀξιοῦσι κοινωνίαν εἶναι πρὸς Διόνυσον Ἥρᾳ· φυλάσσονται δὲ συμμιγνῦναι τὰ ἱερὰ, καὶ τὰς Ἀθήνησιν ἱερείας ἀπαντώσας, φησὶν, ἀλλήλαις προσαγορεύειν, μηδὲ ὅλως πιττὸν εἰς τὸ τῆς Ἥρας κομίζεσθαι τέμενος οὐ διὰ τὰς μυθικὰς καὶ φλυαρώδεις ζηλοτυπίας, ἀλλ' ὅτι γαμήλιος μὲν ἡ θεὸς καὶ νυμφαγωγὸς, ἁπρεπὲς δὲ νυμφίοις τὸ μεθύειν καὶ γάμοις ἀνάρμοστότατον, ὡς φησιν ὁ Πλάτων· ἀκρατοποσία γὰρ, φησὶ, ταραχὴν

ἐμποιεῖ καὶ ψυχαῖς καὶ σώμασιν, ὑφ' ἧς ἄπλαστα καὶ πεπλανημένα φύζοῦται κακῶς τὰ σπειρόμενα καὶ κυϊσκόμενα. πάλιν οἱ θύοντες τῇ Ἥρᾳ, τὴν χολὴν οὐ καθαγίζουσιν, ἀλλὰ κατορύττουσι παρὰ τὸν βωμόν, ὡς θεὸν ἄθυμον καὶ ἄχολον καὶ καθαρεύουσαν ὀργῆς καὶ πικρίας ἁπάσης τὴν γυναικὸς καὶ ἀνδρὸς εἶναι συμβίωσιν.

III. Τοῦτο δὴ τὸ συμβολικὸν, ἐν τοῖς λόγοις καὶ τοῖς μύθοις μᾶλλόν ἐστιν. οἷον, ἱστοροῦσιν τὴν Ἥραν ἐν τῇ Εὐβοίᾳ τραφεῖσαν ἔτι παρθένον, ὑπὸ τοῦ Διὸς ἁλαπῆναι, καὶ διακομισθεῖσαν ἐνταῦθα κρύπτεσθαι, Κιθαιρῶνος αὐτοῖς ἐπίσκιόν τινα μυχὸν καὶ θάλαμον αὐτοφυῆ παρασχόντος· ἀλθούσης δὲ τῆς Μακρίδος κατὰ ζήτησιν, ἣν δὲ Ἥρας τιθήνη, καὶ βουλομένης ἐρευνᾶν, οὐκ ἐᾶν τὸν Κιθαιρῶνα πολυπραγμονεῖν· οὐδὲ τῷ χωρίῳ προσάγειν, ὡς τοῦ Διὸς ἐκεῖ τῇ Λητοῖ συναναπαυομένου καὶ συνδιατρίβοντος. ἀπελθούσης δὲ τῆς Μακρίδος, οὕτω τότε μὲν διαλαθεῖν τὴν Ἥραν, ὕστερον δὲ τῇ Λητοῖ χάριν ἀπομνημονεύουσαν, ὁμοβώμιον θέσθαι καὶ σύνναον· ὥστε καὶ Λητοῖ Μυχίᾳ προθύεσθαι· τινὲς δὲ Νυχίαν λέγουσι· σημαίνεται δὲ ἐν ἑκατέρᾳ τῶν ὀνομάτων τὸ κρύφιον καὶ διαλεληθός. ἔνιοι δὲ τὴν Ἥραν αὐτὴν ἐκεῖ τῷ Διῒ λάθρα συνοῦσαν καὶ λανθάνουσαν, οὕτω Λητὼ φασιν Νυχίαν προσηγορεῦσθαι· φανερῶν δὲ τῶν γάμων γενομένων, καὶ περὶ τὸν Κιθαιρῶνα πρῶτον ἐνταῦθα καὶ τὰς Πλαταιὰς τῆς ὁμιλίας ἀνακαλυφθείσης, Ἥραν Τελείαν καὶ Γαμήλιον αὐτὴν προσαγορευθῆναι.

IV. Οἱ δὲ φυσικῶς μᾶλλον καὶ πρεπόντως ὑπολαμβάνοντες τὸν μῦθον, οὕτως εἰς τὸ αὐτὸ τῇ Λητοῖ συνάγουσι τὴν Ἥραν. Γῆ μέν ἐστιν ἡ Ἥρα, καθάπερ εἴρηται· νὺξ δὲ ἡ Λητώ, λεληθώς τις οὖσα τῶν εἰς ὕπνον τρεπομένων. νὺξ δὲ οὐδέν ἐστιν ἄλλο πλὴν σκιὰ γῆς· ὅταν γὰρ πλησιάσασα ταῖς δυσμαῖς ὑποκρύψῃ τὸν ἥλιον, ἀναπλατυνομένη μελαίνει τὸν ἀέρα· καὶ τοῦτό ἐστι τὸ ἐκλειπτικὸν ὀλίσθημα τῶν πανσελήνων, ὅταν τῆς σελήνης περιφερομένης, ἡ σκιὰ τῆς γῆς ἐπιψαύσῃ καὶ διαθολώσῃ τὸ φέγγος.

V. Ὅτι δὲ οὐκ ἄλλη τίς ἐστι τῆς Ἥρας ἡ Λητώ, μάθοις ἂν ἐνθένδε. τὴν Ἄρτεμιν ἤδη που θυγατέρα Λητοῦς καλοῦμεν· ἀλλὰ καὶ Εἰλήθυιαν τὴν αὐτὴν ὀνομάζομεν· οὐκοῦν ἤτε Ἥρα καὶ ἡ Λητώ, δύο εἰσὶ μιᾶς Θεοῦ προσηγορίαι. πάλιν ἐκ μὲν Λητοῦς ὁ Ἀπόλλων, ἐκ δὲ Ἥρας ὁ Ἄρης γέγονε· μία δέ ἐστιν ἀμφοτέρων δύναμις· καὶ κέκληται Ἄρης μὲν, ὡς ἀρήγων τοῖς κατὰ βίαν καὶ μάχην συμπιτώμασι· Ἀπόλλων δὲ, ὡς ἀπαλλάττων καὶ ἀπολύων τῶν περὶ σῶμα νοσηματικῶν παθῶν τὸν ἄνθρωπον. διὸ καὶ τῶν ἀμπυρωτάτων ἄστρων καὶ πυριφλεγεστάτων, ὁ μὲν ἥλιος Ἀπόλλων κέκληται, ὁ δὲ πυροειδὴς Ἄρης ἐπωνόμαστται. καὶ οὐκ ἀπότροπόν ἐστι, τὴν αὐτὴν θεὸν Γαμήλιον λέγεσθαι, καὶ Μητέρα Εἰληθυίας καὶ Ἡλίου νομίζεσθαι· γάμου μὲν γὰρ τέλος γένεσίς ἐστι· γένεσις δὲ ἡ εἰς ἥλιον καὶ φῶς ἐκ σκότους πορεία· καὶ καλῶς ἔφη ὁ ποιητὴς,

Αὐτὰρ ἐπειδὰν τόν γε μογόστοκος Εἰλήθυια
Ἐξάγαγε πρός φῶςδε καὶ Ἠελίου ἴδεν αὐγάς.

εὖ ὁ ποιητὴς τῇ μὲν προθέσει τὴν σύνθεσιν ἔθλιψεν, ἐμφαίνων τὸ βεβιασμένον τῆς ὠδῖνος, τέλος δὲ τῆς γενέσεως ἐποίησεν, ἥλιον ἰδεῖν. οὐκοῦν ἡ αὐτὴ θεὸς ἐποίησε καὶ γάμον συνελθεῖν ἵνα γένεσιν παρασκευάσῃ.

VI. Δεῖ δὲ ἴσως καὶ τὸν εὐηθέστερον μῦθον εἰπεῖν. λέγεται γὰρ ὁ Ζεὺς, τῆς Ἥρας αὐτῷ διαφερομένης μηκέτι φοιτᾷν εἰς τὸ αὐτὸ βουλομένης, ἀλλὰ κρυπτούσης ἑαυτὴν, ἀμηχανῶν καὶ πλανώμενος, Ἀλαλκομένει τῷ αὐτόχθονι συντυχεῖν καὶ διδαχθῆναι ὑπὸ τούτου, ὡς ἐξαπατητέον τὴν Ἥραν σκιᾷ γαμεῖν ἑτέραν· συνερνοῦντος δὲ τοῦ Ἀλαλκομένους, κρυφὰ τεμόντας αὐτοὺς εὐκτέανον καὶ παγκάλην δρῦν, μορφῶσαί τε αὐτὴν καὶ καταστεῖλαι νυμφικῶς, Δαιδάλην προσαγορεύσαντας· εἶτα οὕτως ἀναμέλπεσθαι μὲν τὸν ὑμέναιον, λουτρὰ δὲ κομίζειν τὰς Τριτωνίδας Νύμφας, αὐλοὺς δὲ καὶ κώμους τὴν Βοιωτίαν παρασχεῖν· περαινομένων δὲ τούτων οὐκέτι τὴν Ἥραν καρτερεῖν, ἀλλὰ καταβᾶσαν ἐκ τοῦ Κιθαιρῶνος, τῶν Πλαταιίδων αὐτῇ γυναικῶν ἑπομένων, ὑπ' ὀργῆς καὶ ζηλοτυπίας θέουσαν ἐλθεῖν πρὸς τὸν Δία, καὶ τοῦ πλάσματος φανεροῦ γενομένου, διαλλαγεῖσαν μετὰ χαρᾶς καὶ γέλωτος αὐτὴν νυμφαγωγεῖν· τιμὴν δὲ τῷ ξοάνῳ προσθεῖναι, καὶ Δαίδαλα τὴν ἑορτὴν προσαγορεῦσαι, κατακαῦσαι δὲ ὅμως αὐτό, καίπερ ἄψυχον ὄν, ὑπὸ ζηλοτυπίας.

VII. Ὁ μὲν οἶν μῦθος, τοιοῦτος· ὁ δὲ λόγος τοιόσδε. Ἥρας καὶ Διὸς διαφορὰ καὶ στάσις οὐκ

ἄλλο πλὴν στοιχείων δυσκρασία καὶ ταραχός ἐστιν, ὅταν ἀλλήλοις μηκέτι συμμετρῆται κατὰ κόσμον, ἀλλὰ καὶ ἀνωμαλίας καὶ τραχύτητος ἐγγενομένης δυσμαχήσαντα λύσῃ τὴν κοινωνίαν, καὶ φθορὰν τῶν ὅλων ἀπεργάσηται. ἂν μὲν οὖν ὁ Ζεὺς, τουτέστιν ἡ θερμὴ καὶ πυρώδης δύναμις αἰτίαν παράσχῃ τῆς διαφθορᾶς, αὐχμὸς τὴν γῆν καταλαμβάνει· ἐὰν δὲ περὶ τὴν Ἥραν, τουτέστι τὴν ὑγρὰν καὶ πνευματικὴν φύσιν, ὕβρις τις ἢ πλεονασμὸς γένηται, ῥεῦμα ἦλθε πολὺ καὶ συνώμβρισε καὶ κατέκλυσε τὰ πάντα· τοιούτου δέ τινος γενομένου καὶ περὶ τοὺς τότε χρόνους, καὶ μάλιστα τῆς Βοιωτίας βυθισθείσης, ὡς πρῶτον ἀνέδυ τὸ πεδίον καὶ ἡ πλημμύρα ἐλώφησεν, ὁ μὲν ἐξ εὐδίας κόσμος τοῦ περιέχοντος, ὁμόνοια καὶ διαλλαγὴ τῶν θεῶν ἐλέχθη· πρῶτον δὲ ἀνέσχεν ἐκ τῶν φυτῶν τῆς γῆς ἡ δρῦς, καὶ ταύτην ἠγάπησαν οἱ ἄνθρωποι, τροφῆς βίου καὶ σωτηρίας διαμονὴν παρασχοῦσαν. οὐ γὰρ μόνον τοῖς εὐσεβέσιν, ὡς Ἡσίοδός φησιν, ἀλλὰ καὶ τοῖς ὑπολειφθεῖσι τῆς φθορᾶς,

Ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας.

X.

Ἡ δὲ τῶν ξοάνων ποίησις ἀρχαῖον ἔοικεν εἶναί τι καὶ παλαιόν, εἶχε ξύλινον μὲν ἦν τὸ πρῶτον εἰς Ἴλιον ὑπὸ Ἐρισίχθονος Ἀπόλλωνι ἐπὶ τῶν θεωριῶν ἄγαλμα· ξύλινον δὲ τὸ τῆς Πολιάδος ὑπὸ τῶν αὐτοχθόνων ἱδρυθέν, ὃ μέχρι νῦν Ἀθηναῖοι διαφυ-

λάττουσιν. Ἥρας δὲ καὶ Ζεὺς ἐλλιπὲς εἶχον εἶδος, ὡς φησι Καλλίμαχος,

Οὕπω σκαίλμιον ἦρχον ὑὸς ξόανον· ἀλλ' ἐπὶ τεθμὸν
Δὴ νεόγλυφον ἀνακ θοῦς ἦσθα συνίς.

Ὧδε γὰρ καθιδρύοντο θεοὺς τότε. καὶ γὰρ Ἀθήνης
Ἐν Λίνδῳ Δαναὸς λεῖον ἔθηκεν ξόος.

λίγεται δὲ Πείρας ὁ πρῶτος Ἀργολίδος Ἥρας ἱερὸν εἰσάμενος τὴν ἑαυτοῦ θυγατέρα Καλλιθυίαν ἱέρειαν καταστήσας, ἐκ τῶν περὶ Τίρυνθα ὄγχνην τιμὴν εὑρίσκων, Ἥρας ἄγαλμα μορφῶσαι. πέτραν μὲν γὰρ εἰς θεοῦ κόπτειν εἰκόνα, σκληρὰν καὶ δύσεργον καὶ ἄψυχον οὐκ ἐβούλοντο· χρυσὸν δὲ καὶ ἄργυρον ἀγοῦντο γῆς ἀκάρπου καὶ διεφθαρμένης χρώματα νοσώδη καὶ κηλίδας ἔχοντες ὥσπερ μώλωπας ὑπὸ πυρὸς ῥαπισθείσης· ἐλέφαντι δὲ παίζοντες μὴ ἐοῦ ὄπου προσεχρῶντο, ποικίλματι τροφῆς.

XI.

Ἐκ τῶν εἰς Ἡσίοδον ὑπομνημάτων

I. Εἰ δὲ ἀγκυλομήτης ὁ Προμηθεύς, οὗτω γὰρ γράφειν δεῖ καθὰ καὶ Πλούταρχος, Κρόνιος ὑς ἐστι καὶ νοερῶς ἑαυτὸν νοῶν, καὶ ἀγκύλως εἰς ἑαυτὸν ἐπεστραμμένος —.

II. Περὶ δὲ τῶν ἐν Ὠκεανῷ νήσων Ὅμηρος, καὶ οὗτος ὁ Ἡσίοδος, καὶ Ἀνακόφρων καὶ Πλούταρχος, καὶ Φιλόστρατος καὶ Δίων καὶ ἕτεροί τινες συγγεγραφήκασιν, ὡς ἀγαθή τις ἡ χώρα ἐστὶ καὶ ἀεὶ καταπνεομένη Ζεφύρῳ, τρὶς ἔτους ἑκάστου ἐκκαίδεκα

τοὺς καρποὺς· ἐκεῖσε δὲ φασι καὶ τὰς τῶν ἀποβεβιωκότων ψυχὰς διαπορθμεύεσθαι γράφοντες τοιάδε· περὶ τὴν ἀκτὴν τοῦ περὶ τὴν Βρεταννίαν νῆσον Ὠκεανοῦ, ἄνθρωποί τινες οἰκοῦσιν ἰχθυοθῆραι, κατήκοοι μὲν Φράγγοις, φόρον δὲ μὴ τελοῦντες αὐτοῖς· οὗτοι περὶ τὰς αὐτῶν οἰκίας καθεύδοντες φωνῆς ἀκούουσι καλούσης αὐτούς, καὶ κρότου περὶ τὰς θύρας αἰσθάνονται· ἀναστάντες δὲ πλοῖα εὑρίσκουσί τινα, οὐχὶ τὰ αὐτῶν, ἐπιβατῶν μεστά· εἰς ταῦτα οὖν εἰσελθόντες μιᾷ ῥοπῇ πρὸς τὴν Βρεταννίαν νῆσον καταίρουσι κωπηλατοῦντες· καίπερ μόλις ὅλῳ νυχθημέρῳ λαίφεσι πεπταμένοις καταπλέοντες εἰς αὐτήν, ὅτε ταῖς ἰδίαις ναυσὶ κέχρηνται· ἐκεῖ γοῦν ἀποβάντες ἐξάγουσιν οὓς οὐκ εἰδότες φέρουσιν ἐπιβάτας. οὐδένα δὲ ὁρῶντες ἀκούουσι φωνῆς τῶν ὑποδεχομένων αὐτοὺς κατ' ὄνομα καὶ κατὰ φυλὴν καὶ κατὰ συγγένειαν καὶ τέχνην καλούσης αὐτούς, καὶ αὐτῶν δὲ ὁμοίως ἀποκρινομένων· καὶ οὕτω πάλιν μιᾷ ῥοπῇ πρὸς τὴν ἑαυτῶν ἀποπλέοντες αἰσθάνονται τῶν νηῶν ἐλαφροτέρων, ἢ ὅτε οὓς εἶχον ἀπεκόμιζον. Ἐκ τούτου πάντες ἔφασαν παῖδες Ἑλλήνων, ἐκεῖ τὰς τῶν ἀποβεβιωκότων διάγειν ψυχάς. ὃ νῦν καὶ Ἡσίοδός φησι περὶ τῶν Ἡρώων.

III. *Λέγει δὲ ἐσθλοὺς οὐ τοὺς τῇ τύχῃ καὶ τῇ δυνάμει προέχοντας, ὥς φησι Πλούταρχος, ἀλλὰ τοὺς κατ' ἀρετὴν προέχοντας, ἐκ τούτου μᾶλλον δεικνὺς τὴν ὕβριν ἀφόρητον. οἱ μὲν γὰρ ἐν δυνάμει καὶ σφόδρα δυσχεραίνουσιν ἐπὶ ταῖς ἐκ τῶν ἀσθενεστέρων εἰς αὐτοὺς ὕβρεσιν· οἱ δὲ κατ' ἀρετὴν ζῶν-*

τες καὶ ταύτας τὰς ὕβρεις διαπτύουσιν. οὐδὲ γὰρ χείρων ἐγὼ, φησὶν ὁ Σωκράτης, ἂν ὁ δεῖνα ἐπὶ σοφίᾳ με πατάξῃ ἀδίκως. —

IV. Τὸν ῥόθον οἱ μὲν ἤκουσαν τὸν ψόφον, ὅθεν καὶ ῥόθιον καλεῖσθαι τὸ πυκνοῦν κῦμα καὶ ῥοῦμα. Πλούταρχος δὲ βοιωτιάζων, οὕτω γὰρ καλεῖν Βοιωτοὺς τὰς ὀρεινὰς ὁδοὺς τὰς στενὰς καὶ δυσπόρους ῥόθους ὀνομάζεσθαί φησιν. ἐν οὖν τοῦτο πρατοίη, λέγοι ἄν ὅτι τῆς δίκης ἐλκομένης ὑπὸ τῶν ἐπὶ δώροις τὰς δίκας κρινόντων σπολιῶς, ῥόθος ἐστὶ τοιοῦτος δυσπόρητος ἡ ὁδὸς καὶ τραχεῖα, διὰ τῆς ἕλκεται ὑπὸ τῶν δικαστῶν· ἀντίκειται γὰρ τῇ εὐθεῖ τὸ σπολιὸν, καὶ τῷ λείῳ τὸ τραχὺ, καὶ τῷ εὐδιοδεύτῳ τὸ στενὸν καὶ δυσχωρίαν ἔχον· τοιαύτη δέ ἐστι πᾶσα μοχθηρὰ κρίσις.

V. Δεῖ δὲ συνάπτειν τὸ

Διμὸν ὁμοῦ καὶ λοιμὸν, ἀποφθινύθουσι δὲ λαοὶ

τοῖς ἐν πολλοῖς φερομένοις, ὑπερβάντα δύο στίχους. Ἡ τῶν γε στρατὸν ἀπώλεσεν καὶ τὰ ἑξῆς. οὕτω Πλούταρχος.

VI. Τὸ μὲν λεγόμενον, φανερόν· εἰ μὴ ἔστι δίκη καὶ τιμωρία κατὰ τῶν ἀδίκων, μηδ' ἔχουσί τι πλέον οἱ δίκαιοι τῶν ἀδίκων ἐν τῷδε τῷ παρόντι ὃ ἐφορᾷ ὁ Ζεὺς, μήτ' αὐτὸς εἴην δίκαιος, μήτε παῖς ἐμός. δίκης γὰρ οὐκ οὔσης, ὄνομα μόνον ἔσται τὸ δίκαιον· εἰ δὲ διὰ τὸ δίκαιον καὶ αἱρετὸν, κἂν μὴ ᾖ πρόνοια, καὶ φευκτὸν τὸ ἄδικον, δῆλον ὅτι πᾶς οὗτος ὁ λόγος περιττός. Διόπερ ὁ Πλούταρχος τοὺς ἐπὶ τούτους στίχους ἐκβάλλει ἀπὸ τοῦ Πάντα ἰδὼν διὰ

ὀφθαλμὸς — ἕως τοῦ Ἀλλὰ τὰγ᾽ οὔπω ἔολπα τελεῖν λία τερπικέραυνον, ὡς ἀναξίους τῆς Ἡσιόδου περὶ δικαίων καὶ ἀδίκων κρίσεως.

VII. Κάλλιστα τὸ φιλόσοφον ἦθος οἷόν ἐστιν εἶπεν διὰ τούτων ὁ Πλούταρχος. δηλοῦσθαι. τὸν μὲν γὰρ Ἀρχίλοχον καὶ τὸν Ἱππώνακτα βλασφημίας συγγράψαι κατὰ τῶν λυπησάντων· Τιμοκράτην δὲ καὶ Μητρόδωρον τοὺς Ἐπικουρείους, ἀδελφοὺς ὄντας καὶ προσκρούσαντας ἀλλήλοις, ἐκδοῦναι κατ᾽ ἀλλήλων συγγράμματα. καὶ τί δεῖ τούτους λέγειν, ὅπου γε καὶ Ξενοφάνης διὰ δή τινα πρὸς τοὺς κατ᾽ αὐτὸν φιλοσόφους καὶ ποιητὰς μικροψυχίαν, σιλλοὺς ἀτόπους ἐκθεῖναι λέγεται κατὰ πάντων φιλοσόφων καὶ ποιητῶν. ἀλλὰ τὸν ὄντως μουσικὸν Ἡσίοδον μηδὲν τοιοῦτο παθεῖν· οὐ γὰρ μουσικοῦ τὸ μελαγχολᾶν· λυπηθέντα δὲ πρὸς τὸν ἀδελφόν, ἀντὶ τοῦ βλασφημεῖν, νουθετεῖν, εἰδότα τοῦτο δὴ τὸ τοῦ Σωκράτους, ὅτι πᾶς ὁ κακὸς ἄκων ἐστὶ κακός, δεῖται οὖν νουθεσίας, καὶ ἴσως ἐπιγνώσεται ἑαυτὸν ὄντα κακόν.

VIII. Οὐκ ἀποδεκτέον τὸ Ἴλιάδον, ὡς Πλούταρχος ἐξηγήσατο, τὸ πᾶσαν ἐγκολπίσασθαι κακίαν ὁμοῦ δηλοῦν —.

IX. Ζήνων μὲν ὁ Στωϊκὸς ἐνήλλαττε τοὺς στίχους, λέγων

Οὗτος μὲν πανάριστος ὃς εὖ εἰπόντι πίθηται·
Ἐσθλὸς δ᾽ αὖ κἀκεῖνος ὃς αὐτῷ πάντα νοήσῃ·

τῇ εὐπειθείᾳ τὰ πρωτεῖα διδοὺς, τῇ φρονήσει δὲ τὰ δευτερεῖα. Ἀρίστιππος δὲ ἀπ᾽ ἐναντίας ὁ Σωκρατικὸς ἔλεγε, συμβούλου δεῖσθαι χεῖρον εἶναι ἢ προσαι-

τεῖν. ὁ δὲ Ἡσίοδος τοῦ μέτρου μάλιστα τυγχάνει, τρεῖς ἕξεις διελὼν, τὴν ἔμφρονα, τὴν ἀνόητον, τὴν μέσην. ὧν ἡ μὲν ἀρίστη καὶ τῷ θείῳ παραπλησία· καὶ γὰρ τὸ θεῖον αὔταρκες· ὥστε καὶ ὁ ἑαυτῷ πάντα νοῶν, καὶ προορῶν ὅσα ἂν ᾖ, καὶ εἰς τὸν ἔπειτα χρόνον ἀμείνων ἐκβήσεται. ἡ δὲ φευκτοτάτη, τὸ μήθ' ἑαυτῷ δύνασθαι τὰ ὀρθὰ λογίζεσθαι, μήτ' ἄλλοις ἕπεσθαι συμβούλοις ἐθέλειν. μέση δὲ τούτων ἡ τοῦ συνορατικοῦ μὲν τῶν ἀμεινόνων οὐκ οὖσα δύναμις, ἐπακολουθητικὴ δὲ τοῦ συνορῶντος.

X. „Αἰδὼς δ' οὐκ ἀγαθή." καὶ τοῦτον καὶ τὸν ἑξῆς στίχον παρεμβεβλῆσθαι ληφθέντας ἀπὸ τοῦ Ομήρου, καὶ Πλούταρχος εἶπε.

XI. „Πῆμα κακὸς γείτων." ταῦτα καὶ διὰ τῆς ἱστορίας ὁ Πλούταρχος ἐπιστώσατο. καὶ γὰρ Αἰτωλοὺς καὶ Ἀκαρνᾶνας, Ἕλληνας ὄντας καὶ γείτονας ἐκτρίψαντας διὰ πλεονεξίαν ἀλλήλους· καὶ Καρχηδονίους καὶ Βυζαντίους διὰ ἔμφυτον δυσμένειαν περὶ σκαλμοῦ διενεχθέντας, ἐν τῷ Βοσπόρῳ ναυμαχήσαντας, καὶ ἐπὶ τῶν ἰδιωτικῶν γειτνιάσεων πολλὰ μὲν ἀγαθὰ συμβαίνειν διὰ ταύτας, ὡς ἐπὶ Φλάκκου καὶ Κάτωνος· πολλὰ δὲ τὰ ἐναντία. τὰς γὰρ γειτνιάσεις ἀφορμὰς προξενεῖν ἐνίοτε πολλῶν ἐπηρειῶν. αὐτὸς μὲν οὖν τὸν βοῦν εἰς παράδειγμα παρέλαβε· δεῖ δὲ ἐκτείνειν ἐπὶ τὰ ὅμοια τὸν λόγον, ὡς οὐκ ἂν οὐδὲν ἀπόλοιτο διὰ τὸν γείτονα. πρὸς ἃ καὶ οἱ παλαιοὶ νόμοι βλέποντες, ἐδικαίωσαν τῶν ἀπολλυμένων τοὺς γείτονας συναλλαγμάτων.

XII. „Ὅσσον τ' ἀγαθὸς μὲν ὄνειαρ." δάκνει

τοῦτο Πλούταρχος. Θεμιστοκλέα γάρ φασιν ἢ Πλάτωνα, πιπράσκοντα τὸν ἀγρὸν λέγειν, ὅτι ἀγαθὸν ἔχει γείτονα.

XIII. „Βοῦς ἀπόλοιτ'." λέγεται ὅτι Θεμιστοκλῆς χωρίον πιπράσκων ἐκέλευσε κηρύττεσθαι, ὅτι ἀγαθὸν ἔχει γείτονα. ἔνιοι δὲ βοῦν ἐδέξαντο γυναῖκα, ἀπὸ τοῦ ἀλφεσίβοια· ὅτι οὐδ' ἂν γυνὴ μοιχευθείη, εἰ μὴ γείτων κακὸς εἴη. ἢ οὐ μόνον τὸν κατὰ τὴν κώμην γείτονα, ἀλλὰ τὰ κτήνη τὰ ἐν τῇ ἀγροικίᾳ, ἢ πᾶν ὁτιοῦν κτῆμα.

XIV. „Τὸν φιλέοντα φιλεῖν." τούτους ὁ Πλούταρχος ἐκβάλλει τοὺς στίχους. ὁ γὰρ μέλλων λέγειν ὅτι τοῖς ἀγαθοῖς τὸ διδόναι προσήκει καὶ ὡς χαίρουσι διδόντες, ἄτοπος ἂν εἴη λέγων καὶ διδόναι τῷ διδόντι, καὶ μὴ διδόναι τῷ μὴ διδόντι· οὕτω γὰρ ἂν τὰς δόσεις ἀναγκαίας ἐποίει, τὰς δὲ προκαθηγουμένας τῶν εὐεργεσιῶν ἐξέκοψεν.

Ὁ μὲν Πλούταρχος τούτους ὀβελίζει τοὺς στίχους, λέγων, οὐδέποτε ἂν γενέσθαι φίλον εἰ τῶν φιλιωθησομένων ἑκάτερος ἀναμένει πρὸ τοῦ ἑτέρου φιλιωθῆναι.

XV. Ὁ Πλούταρχος εἰκάζει τοὺς τοιούτους, ὅσοι προαίρεσιν δωρητικὴν ἔχουσι τοῖς σφαιρίζουσιν οἳ λαβόντες τὴν ὑπ' ἀλλήλων ῥιφεῖσαν σφαῖραν, οὐ κατέχουσιν, οὔτε ἀντιπέμπουσι τοῖς μὴ εἰδόσι σφαιρίζειν, ἀλλὰ τοῖς ἀντιπέμψαι δυναμένοις.

XVI. „Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος." τούσδε τινὲς τοὺς στίχους ἐξέβαλον· ὁ δὲ Πλούταρχος ἐγκρίνει· δεῖν γὰρ καὶ τὸν φίλον συνεργὸν πα-

ραλαμβάνειν ἐπὶ ὡρισμένῳ μισθῷ· ἦχθραν προεῖτο τὸ μετρὰ τῆς ἀμοιβῆς ἔργον ἐλλιπὲς ἀδέκαστον ὑπάρξαν. τούτῳ δὲ ὅμοιον, καὶ τὸ τὰ πρὸς τοὺς ἀδελφοὺς συναλλάγματα μὴ ἀμάρτυρα ποιεῖσθαι· τὸ δ' ἐπαχθὲς ἀφαιρῶν εἶπεν, ὅτι γελάσας τοιοῦτόν ἐστιν ὡς παίζοντας καὶ μὴ σπουδάζοντας· πολλοὺς γὰρ ἀπολέσθαι διὰ τὸ πιστοῦσθαί τισιν οἷς ἀπιστεῖν δέον, ἀπιστεῖσθαι δὲ πάλιν οἷς πιστοῦσθαι δέον. Διὸ χρεία τῆς ἐπὶ τῶν μαρτύρων ὁμολογίας καὶ ἐπὶ τῶν ἀδελφῶν, καὶ ἐπὶ τῆς τοῦ μισθοῦ προομολογίας καὶ ἐπὶ τῶν φίλων.

XVII. „Εἰ γάρ κεν καὶ σμικρόν." δοκεῖ μὲν ἀπηρτῆσθαι τοῦτο τοῦ προφήθντος· ἔχει δὲ καὶ συνέχειαν, ἐπειδὴ γὰρ εἶπεν, ὅτι κἂν ἢ σμικρὸν τὸ ἀφαιρεθὲν, παχνοῖ τὰ ἀφαιρεθέντα, διὰ τὴν ἀπούσιον ἀφαίρεσιν, ἐπήγαγεν, ὅτι τὸ σμικρὸν ἐπισωρευόμενον μὲν μέγα τι γίνεται, ἀφαιρούμενον δὲ εἰς τὸ μηδὲν καταλήγει· ὥστε εἰκότως λυπεῖ καὶ τὸ σμικρὸν ἀφαιρούμενον. καὶ εἰ τοῦτο ἀληθὲς, ὀρθῶς Ἀριστοτέλης ἔλεγεν, ὅτι χείριστον τῶν ἐν τῷ βίῳ τὸ μὴ παρὰ τοῦτο λεγόμενον· εἰ γὰρ καταφρονεῖτε ὡς μικρὸν ἕκαστον καὶ ἐπιλείγοιμεν μὴ παρὰ τοῦτο, κακῶς πράξοιμεν· ἐν μὲν οὖν οἰκονομίαις λιμώττομεν, τοῦτο αἰεὶ ἐπᾴδοντες· ἐν δὲ τῇ διαίτῃ νοσήσαμεν, πολλάκις μὲν παρορῶντες τὸ ὀρθὸν, λέγοντες δὲ ταύτην τὴν φωνήν· ἡ γὰρ καθ' ἓν ἕκαστον ἔλλειψις μεγάλην ἀθροίζει τοῖς παρορῶσι τὴν βλάβην.

XVIII. „Ἀρχομένου δὲ πίθου καὶ λήγοντος" καὶ ἐν τοῖς πατρίοις ἐστὶν ἑορτὴ Πιθοίγια, καθ' ἣν οὔτε οἰκέτην οὔτε μισθωτὸν ἔργειν τῆς ἀπολαύσεως τοῦ οἴνου θεμιτὸν ἦν, ἀλλὰ θύσαντας πᾶσι μεταδιδόναι τοῦ οἴ-

ρου τοῦ Διονύσου. καλῶς οὖν εἴρηται, δεῖν ἀρχομένου πίθου κορέσασθαι, καὶ τῇ ἑορτῇ συμφώνως· δεῖ δὲ καὶ φείδεσθαι μειουμένους τὴν ἀπόλαυσιν ὥστε καὶ εἰσαῦθις ἡμῖν γενέσθαι καὶ αὖθις· εἰ δὲ ἀπαναλωθέντος τοῦ πλείστου τὸ λειπόμενον εἴη, χαλεπὴν εἶναι τὴν φειδώ· τότε γὰρ, φησὶ, τάχα ἂν καὶ τραπείη καὶ ἄχρηστον γένοιτο τοῖς φεισαμένοις. τὸ μὲν οὖν ἀρχομένου κορέσασθαι, παιδεύει πρὸς κοινωνίαν· τὸ δὲ μεσσόθι φείδεσθαι, πρὸς οἰκονομίαν· τὸ δὲ, χαλεπὴν εἶναι τὴν ἐν τῷ πυθμένι φειδὼ, πρὸς ἀπόλαυσιν τῶν κατὰ καιρόν.

XIX. „Ὡς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε φιλήτῃσι," τοῦτον Πλούταρχος χαράσσει τὸν στίχον· σημαίνειν δὲ τοὺς φιλήτας τοὺς ἀφαιρεῖσθαί τι καὶ ἐκφορεῖν ἐθέλοντας, παρὰ τὸ ἀφαιρεῖν καὶ ὑφελεῖν τοῦ ὀνόματος αὐτοῖς τεθέντος.

XX. „Μουνογενὴς δὲ πάϊς σώζοι πατρώϊον οἶκον φερβέμεν." δόξειεν ἂν ἄτοπος ὁ στίχος εἶναι καὶ ἀγανακτοῦντος ὅτι γέγονεν οὐ μόνος τῷ πατρί. μήποτε δὲ, φησὶν ὁ Πλούταρχος καὶ Πλάτων ἕπεται τῷ Ἡσιόδῳ καὶ Ξενοκράτης, καὶ Λυκοῦργος πρὸ τούτων· οἳ πάντες ᾤοντο δεῖν ἕνα κληρονόμον καταλιπεῖν· καὶ τοῦτο ἦν τὸ ὑπὸ Ἡσιόδου λεγόμενον. δοκεῖ δὲ ἡ λέξις εὐχομένου εἶναι, καὶ οὐ συμβουλεύοντος· τὸ γὰρ „σώζοι πατρώϊον οἶκον" εὐκτικόν ἐστιν· ὥστε εἶναι τὸν λόγον. εἰ καὶ μὴ πλείους εἶεν παῖδες, ἀλλὰ μονογενὴς, οὗτός γε σώζοι τὸν οἶκον. τὸ δὲ ἑπόμενον στιχίδιον ἔτι μᾶλλον λύει τὴν διαβολήν.

XXI. „Πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη." μήποτε δέ, φησιν ὁ Πλούταρχος, ἐκεῖνο λέγει τὸ τοῦ Λάμπιδος, ὅτι πλείων μὲν ἡ φροντὶς ἐπὶ τοῦ πλείονος πλούτου· μείζων δὲ ἡ ἐπίδοσις, ἣν ἐπιθήκην εἶπεν, αὐτοῦ συναύξοντος ἑαυτὸν τοῦ πλούτου διὰ τὴν τῶν ὀργάνων εὐπορίαν καὶ τῶν ὑπηρετῶν. ὃ καὶ ὁ Λάμπις εἴρηκεν ἐρωτηθεὶς πῶς ἐκτήσατο; τὸν μὲν ὀλίγον, ἔφη, χαλεπῶς, τὸν δὲ πολὺν ῥᾳδίως, πολλῶν ὄντων ἤδη τῶν ὑπουργούντων.

XXII. „Γηραιὸς δὲ Θάνοις." οἱ περὶ Πρόκλον καὶ

Ἀρίσταρχον ἢ Πλούταρχον, ἀδιανόητόν φασιν εἶναι καὶ περισσήν.

XXIII. „Γυμνὸν σπείρειν.“ κάλλιον δὲ, φησὶν ὁ Πλούταρχος, μετὰ τὸν σπόρον ὑετὸν συμβῆναι, ἢ πρὸ σπόρου· δῆλον δέ· τὰ γὰρ μετὰ Πλειάδα σπαρέντα καὶ πρὸ τροπῶν, φύεσθαι ἑβδομαῖα, ἐν Αἰγύπτῳ δὲ καὶ τριταῖα· τὴν δὲ μετὰ τροπὰς, μόλις ἐν τριπλασίῳ τοίτου τοῦ χρόνου. οὕτως τὸ ἐπιγενέσθαι ὑετὸν, ἄγαθὸν μᾶλλον ἢ τὸ προγενέσθαι. οἱ δὲ ἀρχαῖοι καὶ πρωϊαίτερον ἔσπειρον, καὶ δῆλον ἐκ τῶν Ἐλευσινίων τελετῶν.

XXIV. „Ὅλμον μὲν τριπόδην.“ πολὺς ἐν τούτοις ὁ Πλούταρχος, ἀμυνόμενος τοὺς γελῶντας τὸν Ἡσίοδον τῆς μικρολογίας, καὶ Πλάτωνα λέγων περὶ τῆς τῶν σκευῶν ἐν τοῖς οἴκοις διειλέχθαι καὶ ἐμμετρίας· καὶ Λυκοῦργον περὶ τῆς τῶν θυρῶν κατασκευῆς, ἵν' ἀπὸ πρίονος ὦσι καὶ πελέκεως μόνον ἀποίκιλοι. δεῖ οὖν ἀποδέχεσθαι καὶ τὸν Ἡσίοδον μέτρα παραδόντα καὶ ὅλμου καὶ ὑπέρου καὶ ἄξονος καὶ σφύρας. καὶ τοὺς ἀρχαίους δὲ πολὺν καὶ τούτων ποιεῖσθαι λόγον· καὶ τῶν εὑρετῶν Πάμφων μὲν τιμᾷν διότι τὸν λύχνον πρῶτος εὗρε καὶ τὸ ἐκ τούτου φῶς εἰσήγαγε· τὸν δὲ τῶν Πυθέων δῆμον οὕτως ὀνομάσαι διότι τῶν πίθων ἐπενοήσαντο τὴν πλάσιν· ὥστε μὴ τὴν πολυτέλειαν προσήκειν θαυμάζειν, ἀλλὰ τὴν τῶν χρειωδῶν, κἂν εὐτελῆ τυγχάνει περιποίησιν —.

XXV. Τὸν μὲν οὖν γύην κελεύει εἶναι πρίνινον, προσθεὶς, „ἢ κατ' ἄρουραν εἰ εὕροις, ἢ κατ' ὄρος πρίνινον.“ οὐ γὰρ εὔπορος Βοιωτοῖς ἡ πρῖνος, φησὶν ὁ Πλούταρχος, ἀλλὰ τοῖς πτελείνοις ἀντὶ τῶν πρινίνων χρῶνται, τοὺς γύας κατασκευάζοντες —.

XXVI. Ὁ μὲν δὴ γύης πρίνινος ἔστω· ὁ δὲ ἰστροβοεὺς, ἢ δάφνινος ἢ πτελείνος, οὕτω γὰρ ἄσηπτος ἔσται· τὸ δὲ ἄσηπτον ἐδήλωσεν εἰπὼν ἀκιώτατον· ὁ δὲ Πλούταρχος ἐξηγήσατο τὴν αἰτίαν, λέγων, εἶναι τὸ θηρίδιον ὃ καλεῖται κὶς, διεσθίον τὰ ξύλα· τοῦτο καὶ Πίνδαρον οὕτω καλεῖν περὶ τοῦ χρυσοῦ λέγοντα

Κείνο σῆς, οὐ κὶς δάμναται,

σηπτον· ἐγγίνεται δ' οὖν τὰ τοιαῦτα θηρίδια τοῖς
έσι καὶ μαλακοῖς ξύλοις· δάφνη δὲ καὶ πτελέα δρι-
κτα —.

XXVII. *Τὴν μὲν οὖν ὁπλὴν ἐπὶ βοὸς ῥηθεῖσαν οὐκ*
ν τῶν μονονύχων, συγγνώμης ἀξιωτέον. διότι δὲ
εῖον ἐξεῦρεν ἱκανὸν ἀρκοῦντος ὄμβρου τοῖς περὶ ἄ-
α καὶ βοῦς ἀσχολουμένοις, ἐπαινετέον. ὅτι δὲ ὁ
ῦτος ὄμβρος χρήσιμος πιστοῦται ἀπὸ τοῦ τὴν Σι-
ν εὐκαρπεῖν, πολλοὺς δεχομένην εἰαρινοὺς ὄμ-
ους· καὶ ἀπὸ τοῦ προσηνὲς εἶναι τὸ ὕδωρ τότε τῇ γῇ
θερμαινόμενον, καὶ νηπίοις οὖσι τοῖς καρτοῖς συμ-
ν· καὶ ὑπὸ τοῦ, τινὰς καὶ ἐν ἰσημερίᾳ σπείραντας
ινῇ Μαρτίου μηνὸς κά, πολλοὺς θερίσαι καιρούς·
γὰρ ὁ τριμηνιαῖος λεγόμενος πυρὸς ὑπὸ τοιούτων
ρων ἐκτρέφεσθαι ἔοικε τῷ εἰαρινῷ.

XXVIII. *Τῶν λιμωττόντων τοὺς πόδας φησὶ παχύ-*
ναι, τὸ δ' ἄλλο σῶμα λεπτύνεσθαι. καὶ εἰς νόμος
φέσῳ, μὴ ἐξεῖναι πατρὶ παῖδας ἀποθέσθαι ἕως ἂν
ιμὸν παχυνθῇ τοὺς πόδας. ἴσως δὲ καὶ τὴν ἀπὸ
σεως καὶ ἀργίας πάχυσιν δηλοῖ τῶν ποδῶν· γίνε-
ὰρ τοῦτο τοῖς ἐπὶ πολὺ καθημένοις. ἐὰν οὖν ἐν τοῖς
ινοῖς οἴκοις ἀργὸς καθεζάνῃς, λεπτῇ χειρὶ διὰ λι-
τοὺς παχεῖς ὄντας πόδας πιέσεις. ἔοικε δὲ καὶ ἡ ἐν
λιμοῖς πάχυνσις εἶναι κατὰ φύσιν, ὡς ὁ Πλούταρ-
· δεῖται γὰρ τὸ ἐν ἡμῖν θερμὸν, ἵνα μένῃ, τῆς ἔξω-
τροφῆς, ἣν οὐ δεχόμενον δαπανᾷ τὸ σῶμα, καὶ αὖ-
τι ἀποσπᾷ· δι' ἀσθένειαν δὲ ἀδυνατοῦν ἀλλοιῶσαι
ποσπώμενον, ἄπεπτον ἀφίησι· καὶ αὐτὸ μὲν τὰ μέσα
τὰ ἄνω λεπτύνει τοῦ σώματος, ἐν οἷς ἐστὶ πλεῖον·
ὸ δ' ἄρα τὸ ἄπεπτον εἰς τὸ κάτω φέρεται, καὶ οὕτω
αχύνει τοὺς πόδας.

XXIX. *Πλούταρχος οὐδένα φησὶ μῆνα Ληναι-*
Βοιωτοὺς καλεῖν· ὑποπτεύει δὲ ἢ τῶν Βουκαίων
ν λέγειν, ὅς ἐστιν ἡλίου τὸν αἰγόκερων διϊόντος,
τὸν Βούδορα τῷ Βουκέρῳ συνάδοντος, διὰ τὸ πλεί-
ς ἐν αὐτῷ διαφθείρεσθαι βόας· ἢ τὸν Ἑρμαῖον, ὃς
ετὰ τὸν Βούδορα καὶ εἰς ταυτὸν ἐρχόμενος τῷ

Γαμηλιῶνι, καθὸ τὰ Ληναῖα παρ' Ἀθηναίοις· Ἴωνε δὲ τοῦτον οὐδ' ἄλλως, ἀλλὰ Ληναιῶνα καλοῦσι. τοῦτον οὖν ὡς ψυχρὸν κελεύει φυλάττεσθαι, καὶ ἐν τοῖς ἄλλοις μησὶ τὰς ἐξαπίνης γινομένας πηγάδας, αἳ δὴ γίνονται πήξεις τῶν ὑδάτων τοῦ βορείου πνεύματος, ἃς οὐ ῥᾴδιον ὑπομεῖναι διὰ τὴν σφοδρότητα τῆς πήξεως.

XXX. „Ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο Ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσας." ἐκ βοείων δερμάτων εἶναι κελεύει τὰ ὑποδήματα, καὶ τούτων τῶν ἰσχυρῶν· τοιαῦτα δὲ εἶναι τὰ τῶν σφαγέντων βοῶν, ἀλλ' οὐ τὰ τῶν αὐτομάτως ἀποθανόντων. εἰκότως. ἀποθνήσκουσι μὲν γὰρ ἢ νοσήσαντες, ἢ γηράσαντες, ὥστε ἠσθενηκότες· τῶν δὲ σφαγέντων ἡ ἐν τοῖς δέρμασιν ἐνοῦσα δύναμις μένει. δεῖν οὖν ἐκ τούτων εἶναι τὰ ὑποδήματα· δεῖν δὲ καὶ πίλοις ἔνδοθεν χρῆσθαι συμφύεσθαι τοῖς ποσὶ δυναμένοις καὶ μειζόνως ἀλεαίνειν· τὰ γὰρ ἄκρα μείζονος δεῖται βοηθείας, ὡς ποῤῥότερον ὄντα τοῦ μέσου, ἐν ᾧ τὸ ἔμφυτον θερμόν.

XXXI. „Ταῦτα φυλασσόμενος —." τοῦτον καὶ τοὺς ἑξῆς δύο ἀναγράφει Πλούταρχος. δηλοῦσι δὲ χρῆναι δι' ὅλου ἔτους βλέπειν εἰς τὰς νυκτὰς καὶ τὰς ἡμέρας καὶ πρὸς ταύτας ἰσοῦν τὰ ἔργα, ἕως ἂν μετὰ τὸν σπόρον ἡ ὥρα ἀφίκηται τῆς τῶν καρπῶν συλλογῆς. τούτων δὲ διαγραφέντων ἀκόλουθα τὰ ἑξῆς ᾖ.

XXXII. „Ἠὼς ἥτε φανεῖσα πολέας ἐπέβησε κελεύθου Ἀνθρώπους —." ταῦτα περὶ τῆς ἐν τῷ ὄρθρῳ σπουδῆς· ὡς οἵ τε τοῦτον τὸν καιρὸν ἄπρακτοι, καὶ τὴν ἐν τοῖς ἄλλοις μέρεσι τῆς ἡμέρας ἀμβλύνουσι συντομίαν. Τὸν μὲν οὖν Ὁμηρόν φησιν ὁ Πλούταρχος ἐπιθέτοις εἰς τέρψιν εὐδοκιμοῦσι τὴν ἡμέραν κοσμῆσαι, κροκόπεπλον αὐτὴν λέγοντα καὶ ῥοδοδάκτυλον· τὸν δὲ Ἡσίοδον μειζόνως ἀπὸ τῶν ἔργων, ἐφ' ἃ δὴ προϊοῦσα κινεῖ τοὺς ἀνθρώπους καὶ ἀπὸ τῆς ἐκλύσεως εἰς τὴν ἐναργὸν μεθίστησι ζωήν.

XXXIII. „Μαχλόταται δὲ γυναῖκες —." ὡς ψυχρότεραι τὴν κρᾶσιν, καὶ διὰ τοῦτο βράδιον ἀργῶσαι ἀναθερμαινόμεναι. οἱ δὲ ἄνδρες ἀφαυρότεροι διὰ τῆς

ἔξωθεν θέρμης ἀναφαινόμενοι, φύσει θερμότεροι ὄντες καὶ ξηρότεροι τῶν γυναικῶν. τοιαῦτα δὲ καὶ τὸν Ἀλκαῖον ᾄδειν· „τέγγε πνεύμονας οἴνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται, ἃ δὲ ὥρα χαλεπὰ, ἀχεῖ δ' ἐκ πετάλων * τάδε ἂν τέττιξ, ἀνθεῖ δὲ καὶ σκόλυμος· νῦν δὲ μιαρώτατα γυναῖκες, λεπτοὶ δέ τοι ἄνδρες, ἐπεὶ κεφαλὴν καὶ γόνατα Σείριος ἄζει."

XXXIV. Ἐργάτη μὲν ἡ τροφὴ πρέπουσα, πλητοῦν βοείων κρεῶν τὴν γαστέρα, καὶ ἐν σκιᾷ δὲ καθήμενον καὶ ὑπὸ τοῦ ζεφύρου καταπνεόμενον πίνειν ἐπὶ τῇ κρεωφαγίᾳ, μίξαντα κρηναῖον ὕδωρ τῷ οἴνῳ, τρία μέτρα πρὸς ἕν· οὐ γὰρ διαῤῥέουσιν ἀνθρώποις γράφει διαίταν, ἀλλ' ἐκπονοῦσι τὴν γῆν καὶ αὐτουργοῖς καὶ βιωτικοῖς· τοῖς γὰρ τοιούτοις οὐδὲν προσφορώτερον τῆς ἰσχυρᾶς καὶ δυσφθάρτου ταύτης τροφῆς, οὐ χιόνων θεομένης οὐδὲ ῥιπιδίων, ἀλλὰ φυσικῆς εὐπνοίας, οἷος ὁ ἀκραὴς ζέφυρος, καθαρὸς ὢν ζέφυρος· τὰ γὰρ βόρεια λήγοντα συνάπτεται τοῖς δυτικοῖς πνεύμασι. τὸ δὲ ταύτην ἐπαινέσαι τὴν κρᾶσιν τοῦ οἴνου καὶ τοῦ ὕδατος, ἄτοπον εἶναι δοκεῖ· λέγεται γὰρ ἢ τρία πίνειν, ἢ πέντε, ἢ μὴ τέσσαρα· τὸ δὲ τρία μιγνῦναι πρὸς ἕν, τοιοῦτον εἶναι δοκεῖ. ἀλλ' ἐκεῖναι μὲν αἱ κράσεις, δύο πρὸς ἕν, καὶ τριῶν πρὸς δύο, κατὰ λόγους διπλάσιον καὶ ἡμιόλιον, τοὺς ἡγεμόνας τῶν πολλαπλασίων καὶ ἐπιμορίων, εἰς μέθην εἰσὶ πινόντων· αὕτη δὲ σωφρόνως πινόντων. καὶ μὴν καὶ περὶ ὕδατος ἄλλοι μὲν γράφουσιν εἰς σταθμὸν ἀποβλέποντες ἐκλεγόμενοι τὸ κουφότερον· καί τινες καὶ ὑδροστάτας κατασκευάζουσι δι' ὧν τὸ βαρὺ καὶ κοῦφον ὕδωρ κρίνουσι· καί τοι πολλαχοῦ κοῦφον μέν ἐστι, πονηρὸν δὲ, ὡς ἐν Χαλκίδι Πλούταρχος ἱστορεῖ τὸ τῆς Ἀρεθούσης· οἱ δὲ καὶ τὸ ῥᾳδίως οἴνῳ κεραννύμενον δοκιμάζουσιν ὕδωρ ἄριστον, πολλῆς δεόμενον πείρας καὶ διαφόρων οἴνων, εἰς τὸ μὴ φωραθῆναι τοιοῦτον ὄν· ἄλλοι δὲ εἰς κερύμιον ποτήριον ὕδωρ ἐμβαλόντες ἐῶσι δι' ὅλης μεῖναι νυκτὸς, εἶτα γενομένης ἡμέρας ὁρῶσιν εἴ τινα ἐντὸς τῆς κύλικος ἔχει γαιώδη περιφέρειαν συστᾶσαν καὶ μελανίζουσαν, καὶ τοῦτο σημεῖον τίθεν-

ται τῆς τοῦ ὕδατος φαυλότητος, οὐδ' οὗτοι πεῖραν παραδιδόντες εὐπόριστον. πάντων δὴ οὖν τῶν τοιούτων ἁπλούστερον Ἡσίοδος κελεύει τῷ γεωργικῷ μιγνῦναι τῷ οἴνῳ ὕδωρ ἐκ πρήνης ἀπορρύτου, ἵν' ᾖ κινούμενον καὶ λεπτὸν καὶ ἀθόλωτον, ἀλλὰ μὴ γεῶδες.

XXXV. „Ὥσπερ ἐμός τε πατὴρ —." ταῦτα καὶ τὰ ἑξῆς εἰς ζῆλον ἀνεγείρει τοῦ πατρὸς τὸν Πέρσην· εἰ μὴ γεωργεῖν ἐθέλοι, ναυτίλλεσθαι· καὶ γὰρ ἐκεῖνον ἐκ τῆς Κύμης (μία δὲ αὕτη τῶν Αἰολίδων πόλεων) ἦκειν εἰς Βοιωτίαν, διὰ τὸ βίον ἐθέλειν ἑαυτῷ περιποιήσασθαι, οὐ πλοῦτον φεύγοντα, ἀλλὰ πενίαν· καὶ οἰκῆσαι, τοῦτο δὴ τὸ λυπρότατον πολίχνιον, τὴν δὲ Ἀσκρην χαλεπὴν καὶ θέρους ὥρᾳ καὶ χειμῶνος ὑπάρχουσαν καταλιπεῖν. κεῖται μὲν οὖν ὑπὲρ τὴν ὁδὸν ἣν βαδίζουσιν οἱ ἐπὶ τὸ Μουσεῖον ἀπιόντες, αὕτη ἡ Ἀσκρη. τοῦ δὲ Ἑλικῶνος ἐκπεπτωκότος τοῖς ἀνέμοις, καὶ θαυμαστὰς μὲν ἀναπαυλὰς ἔχοντος ἐν θέρει, δυσηνέμου δὲ ὄντος ἐν χειμῶνι, τὴν Ἀσκρην ἐν τῷ μεσημβρινῷ κειμένην τοῦ ὄρους, τῇ μὲν ἐκ τῶν ἀνέμων ἀπολαύειν βλας, ἐν δὲ τῷ θέρει τὸ εὔπλοϊν μὴ ἔχειν. ἀοίκητον δὲ αὐτὸ ὁ Πλούταρχος ἱστορεῖ καὶ τότε εἶναι, Θεσπιέων ἀνελόντων τοὺς οἰκοῦντας, Ὀρχομενίων δὲ τοὺς σωθέντας δεξαμένων· ὅθεν καὶ τὸν Θεὸν Ὀρχομενίοις προστάξαι τὰ Ἡσιόδου λείψανα λαβεῖν καὶ θάψαι παρ' αὐτοῖς, ὡς καὶ Ἀριστοτέλης φησὶ γράφων τὴν Ὀρχομενίων πολιτείαν—.

XXXVI. Ταῦτα πάντα περὶ τῆς Χαλκίδος, τοῦ Ἀμφιδάμαντος, καὶ τοῦ ἄθλου, καὶ τοῦ τρίποδος, ἐμβιβλῆσθαι, φησὶν ὁ Πλούταρχος, οὐδὲν ἔχοντα χρηστόν. τὸν μὲν οὖν Ἀμφιδάμαντα ναυμαχοῦντα πρὸς Ἐρετριέας ὑπὲρ τοῦ Ληλάντου ἀποθανεῖν· ἆθλα δὲ ἐπ' αὐτῷ καὶ ἀγῶνες ἐγένοντο τελευτήσαντος παρὰ τῶν ἑαυτοῦ παίδων· νικῆσαι δὲ ἀγωνιζόμενον τὸν Ἡσίοδον καὶ ἆθλον μουσικὸν τρίποδα λαβεῖν, καὶ ἀναθεῖναι τοῦτον ἐν τῷ Ἑλικῶνι, ὅπου καὶ κάτοχος ἐγεγόνει τῶν Μουσῶν· καὶ ἐπίγραμμα ἐπὶ τούτῳ θρυλλοῦσι. πάντα οὖν ταῦτα ληρώδη λέγων ἐκεῖνος; ἀπ' ὠτίων ἄρχεται τῶν εἰς τὸν καιρὸν τοῦ πλοῦ συνειλεγμένων, ἡμίσεα τῶν κοντα", λέγων.

XXXVII. „*Μηδὲ κασιγνήτῳ.*“ *τὴν κατὰ φύσιν ἡμῶν σχέσιν πρὸς ἀλλήλους τῆς κατὰ προαίρεσιν τιμιωτέραν φησὶν οὗτος ὁ λόγος. καὶ γὰρ τὴν μὲν ἀποθέσθαι ἐφ' ἡμῖν, τῆς δὲ τὸν δεσμὸν ἐπήγαγε, τὸ πᾶν αὐτὴν φυλάττειν βέβαιον· δεῖν οὖν μείζονα τιμὴν νέμειν ἀδελφοῖς ἢ ἑταίροις· καὶ γὰρ καὶ τοῖς πατράσιν οὕτω φίλα πράττοντας δεῖ μετὰ θεοὺς τιμᾶν ὡς ἀγάλματα, φησὶν, ὄντας ἐφ' ἑστίᾳ θεῶν. οὕτω δὲ καὶ τὴν οἰκείαν πόλιν τιθὲς εἶπον ἐγγιωτέραν τῆς μὴ οἰκείας, κἂν μᾶλλον τὶς ἐν ταύτῃ τυγχάνῃ τιμώμενος, διὰ τὴν κατὰ φύσιν σχέσιν. καὶ ὀρθῶς ὁ Παναίτιος, πολίτην αὐτὸν Ἀθηναίων ποιεῖσθαι σπευδόντων, εἶπεν, τῷ σώφρονι μὲν μίαν πόλιν ἀρκεῖν. καὶ ὁ τῶν Σπαρτιατῶν βασιλεὺς πρὸς τὸν Ἀρκάδα τὸν ξένον εἰπόντα πρὸς αὐτὸν ὅτι φιλολάκων οἶκοι καλοῦτο, κάλλιόν τοι, εἶπεν, εἰ φιλόπολις ἐκαλοῦ μᾶλλον ἢ φιλολάκων. οὕτως αἱ κατὰ φύσιν ἡμῶν σχέσεις παρὰ πᾶσιν τῶν κατὰ προαίρεσιν εἶναι δοκοῦσι κρείττους. δεῖν μὲν οὖν τὸν ἀδελφὸν τοῦ ἑταίρου πάντως ἐπὶ μείζονος ἄγειν σπουδῆς. τούτῳ δὲ ἀκόλουθον τὸ ἑξῆς, ὅτι εἴ τινα ποιησόμεθα φίλον ἀπροσκρούστους εἶναι δεῖ πρὸς αὐτόν. καὶ γὰρ ἡ τῶν Πυθαγορείων παραίνεσις, οὐχ ὅτι προτέρους ἁμαρτάνειν εἰς φίλον διακωλύσειεν ἄν, ἀλλὰ καὶ τὰ τοῦ φίλου ἁμαρτήματα ὑπομένειν καὶ φέρειν ἕως ἂν δυνώμεθα, παρακελεύεται. καὶ ἔχει τὸ παράγγελμα πρὸς τῇ ἄλλῃ δικαιοσύνῃ καὶ τὸ ἔμφρον· εἰκὸς γὰρ ἡμᾶς καὶ θαῤῥήσαντας ἔστιν ὅτε τῷ φίλῳ, καὶ δεῖ μηδὲν εἰς αὐτὸν ποιεῖν ἐναντίον λύον τὴν σχέσιν.*

XXXVIII. „*Εἰ δέ κεν ἄρχῃ.*“ *τοῦτο κινητικόν ἐστι τοῦ ἀμυντικοῦ τῆς ψυχῆς. δεῖν γὰρ, φησὶν, ἐὰν ἐκεῖνος προκατάρξῃ λόγων ἡμῖν ἀποθυμίων ἢ ἔργων, ἐπεξιέναι, διπλασίοις τινύμενον καὶ ἀμυνόμενον. ἐχθρὸν γὰρ αὐτὸν ἀντὶ φίλου τιθέναι χρῆ, καὶ ποιεῖν ὡς ἐχθρὸν κακῶς, ὡς μὴ φυλάξαντα τὰ φιλικὰ καθήκοντα. Σιμωνίδης γοῦν ταύτην εἶναι δικαιοσύνην ὡρίσατο, τοὺς φίλους εὖ ποιεῖν· ἄμεινον δὲ ὁ Πυθαγόρειος λόγος εἰπών, χρῆναι φέρειν τὰ ἁμαρτήματα τῶν φίλων εἰς δύναμιν.*

ται τῆς τοῦ ὕδατος φαυλότητος, ἐξ οὗ πάμφορα παραδιδόντες εὐπόριστον. πάντων δὴ οὖν τῶν τοιούτων ἁπλούστερον Ἡσίοδος πελεύει τῷ γεωργικῷ μιγνύναι τῷ οἴνῳ ὕδωρ ἐκ πρήνης ἀπορρέοντος, ὃ μήτε πινόμενον καὶ λεπτὸν καὶ ἀθόλωτον, ἀλλὰ μὴ γεῦδος.

XXXV. „Ὥσπερ ἐμός τε πατὴρ —“ ταῦτα καὶ τὰ ἑξῆς εἰς ζῆλον ἀνεγείρει τοῦ πατρὸς τὸν Πέρσην· εἰ μὴ γεωργεῖν ἔθελοι, ναυτίλλεσθαι· καὶ γὰρ ἐκεῖνον ἐκ τῆς Κύμης (μία δὲ αὕτη τῶν Αἰολίδων πόλεων) ὧκεν εἰς Βοιωτίαν, διὰ τὸ βίον ἐθέλειν ἐκπονεῖν παρασκευάσασθαι, οὐ πλοῦτον φεύγοντα, ἀλλὰ πενίαν· καὶ οἰκῆσαι τόπον δὴ τὸ λυπρότατον πολιχνίου, τὴν δὲ Ἄσκρην χαλεπὴν καὶ θέρους ὥρᾳ καὶ χειμῶνος ὑπάρχουσαν κατελιπὼν κεῖται μὲν οὖν ὑπὲρ τὴν ὁδὸν ἣν βαδίζουσιν εἰς Δῆλον τὸ Μουσεῖον ἀπιόντες, αὐτὴ ἡ Ἄσκρη. τοῦ δὲ Ἑλικῶνος ἐκπεπτωκότος τοῖς ἀνέμοις, καὶ θαυμαστὰς μὲν ἀναπαύλας ἔχοντος ἐν θέρει, δυσχείμου δὲ ὄντος ἐν χειμῶνι, τὴν Ἄσκρην ἐν τῷ μεσημβρινῷ κειμένην τοῦ ὄρους, τῆς μὲν ἐκ τῶν ἀνέμων ἀπολαύειν βίας, ἐν δὲ τῷ θέρει τὸ εὔπλουν μὴ ἔχειν. ἀοίκητον δὲ αὐτὸ ὁ Πλούταρχος ἱστορεῖ καὶ τότε εἶναι, Θεσπιέων ἀνελόντων τοὺς οἰκοῦντας, Ὀρχομενίων δὲ τοὺς σωθέντας δεξαμένων· ὅθεν καὶ τὸν Θεὸν Ὀρχομενίοις προστάξαι τὰ Ἡσιόδου λείψανα λαβεῖν καὶ θάψαι παρ' αὐτοῖς, ὡς καὶ Ἀριστοτέλης φησὶ γράφων τὴν Ὀρχομενίων πολιτείαν.

XXXVI. Ταῦτα πάντα περὶ τῆς Χαλκίδος, τοῦ Ἀμφιδάμαντος, καὶ τοῦ ἄθλου, καὶ τοῦ τρίποδος, ἐμβεβλῆσθαι, φησὶν ὁ Πλούταρχος, οὐδὲν ἔχοντα χρηστόν. τὸν μὲν οὖν Ἀμφιδάμαντα ναυμαχοῦντα πρὸς Ἐρετριέας ὑπὲρ τοῦ Ληλάντου ἀποθανεῖν· ἆθλα δὲ ἐκ αὐτῷ καὶ ἀγῶνες ἐγένοντο τελευτήσαντος παρὰ τῶν ἑαυτοῦ παίδων· νικῆσαι δὲ ἀγωνιζόμενον τὸν Ἡσίοδον καὶ ἆθλον μουσικὸν τρίποδα λαβεῖν, καὶ ἀναθεῖναι τοῦτον ἐν τῷ Ἑλικῶνι, ὅπου καὶ κάτοχος ἐγεγόνει τοῖς Μούσαις· καὶ ἐπίγραμμα ἐπὶ τούτῳ θρυλλοῦσι. πάντα οὖν ταῦτα ληρώδη λέγων ἐκεῖνος; ὑπ' αὐτοῦ λαμβάνει τὸ εἰς τὸν καιρὸν τοῦ πλοῦ σύνηθες, „ἡμιόνους ἔχοντα“, λέγων.

XXXVII. „*Μηδὲ κασιγνήτῳ.*“ *τὴν κατὰ φύσιν ἡμῶν σχέσιν πρὸς ἀλλήλους τῆς κατὰ προαίρεσιν τιμιωτέραν φησὶν οὗτος ὁ λόγος. καὶ γὰρ τὴν μὲν ἀποθέσθαι ἐφ' ἡμῖν, τῆς δὲ τὸν δεσμὸν ἐπήγαγε, τὸ πᾶν αὐτὴν φυλάττειν βέβαιον· δεῖν οὖν μείζονα τιμὴν νέμειν ἀδελφοῖς ἢ ἑταίροις· καὶ γὰρ καὶ τοῖς πατράσιν οὕτω φίλα πράττοντας δεῖ μετὰ θεοὺς τιμᾶν ὡς ἀγάλματα, φησὶν, ὄντας ἐφ' ἑστίᾳ θεῶν. οὕτω δὲ καὶ τὴν οἰκείαν πόλιν τιθὲς εἶπον ἐγγιωτέραν τῆς μὴ οἰκείας, κἂν μᾶλλον τὶς ἐν ταύτῃ τυγχάνῃ τιμώμενος, διὰ τὴν κατὰ φύσιν σχέσιν. καὶ ὀρθῶς ὁ Παναίτιος, πολίτην αὐτὸν Ἀθηναίων ποιεῖσθαι σπευδόντων, εἶπεν, τῷ σώφρονι μὲν μίαν πόλιν ἀρκεῖν. καὶ ὁ τῶν Σπαρτιατῶν βασιλεὺς πρὸς τὸν Ἀρκάδα τὸν ξένον εἰπόντα πρὸς αὐτὸν ὅτι φιλολάκων οἶκος καλοῖτο, κάλλιόν τοι, εἶπεν, εἰ φιλόπολις ἐκαλοῦ μᾶλλον ἢ φιλολάκων. οὕτως αἱ κατὰ φύσιν ἡμῶν σχέσεις παρὰ πᾶσιν τῶν κατὰ προαίρεσιν εἶναι δοκοῦσι κρείττους. δεῖν μὲν οὖν τὸν ἀδελφὸν τοῦ ἑταίρου πάντως ἐπὶ μείζονος ἄγειν σπουδῆς. τούτῳ δὲ ἀκόλουθον τὸ ἑξῆς, ὅτι εἴ τινα ποιησόμεθα φίλον ἀπροσκρούστους εἶναι δεῖ πρὸς αὐτόν. καὶ γὰρ ἡ τῶν Πυθαγορείων παραίνεσις, οὐχ ὅτι προτέρους ἁμαρτάνειν εἰς φίλον διακωλύσειεν ἄν, ἀλλὰ καὶ τὰ τοῦ φίλου ἁμαρτήματα ὑπομένειν καὶ φέρειν ἕως ἂν δυνώμεθα, παρακελεύεται. καὶ ἔχει τὸ παράγγελμα πρὸς τῇ ἄλλῃ δικαιοσύνῃ καὶ τὸ ἔμφρον· εἰκὸς γὰρ ἡμᾶς καὶ θαῤῥήσαντας ἔστιν ὅτε τῷ φίλῳ, καὶ δεῖ μηδὲν εἰς αὐτὸν ποιεῖν ἐναντίον λύον τὴν σχέσιν.*

XXXVIII. „*Εἰ δέ κεν ἄρχῃ.*“ *τοῦτο κινητικόν ἐστι τοῦ ἀμυντικοῦ τῆς ψυχῆς. δεῖν γὰρ, φησὶν, ἐὰν ἐκεῖνος προκατάρξῃ λόγων ἡμῖν ἀποθυμίων ἢ ἔργων, ἐπεξιέναι, διπλασίοις τιννύμενον καὶ ἀμυνόμενον. ἐχθρὸν γὰρ αὐτὸν ἀντὶ φίλου τιθέναι χρῆ, καὶ ποιεῖν ὡς ἐχθρὸν κακῶς, ὡς μὴ φυλάξαντα τὰ φιλικὰ καθήκοντα. Σιμωνίδης γοῦν ταύτην εἶναι δικαιοσύνην ὡρίσατο, τοὺς φίλους εὖ ποιεῖν· ἄμεινον δὲ ὁ Πυθαγόρειος λόγος εἰ πάνυ, χρῆναι φέρειν τὰ ἁμαρτήματα τῶν φίλων εἰς δύναμιν.*

XXXIX. „*Εἰ δέ κεν αὖθις Ἡγῆτ' ἐς φιλότητα.*" καὶ ἀμύνασθαι τὸν ἁμαρτάνοντα παραινεῖ, καὶ προσιόντα μὴ ἀτιμάζειν· καὶ μάλιστα εἰ ἑαυτῷ δίκην τινὰ ἐπάγειν ἕτοιμος εἴη τοῦ ἁμαρτήματος· δῆλος γάρ ἐστιν ἑαυτοῦ καταψηφισάμενος καὶ ἐν μεταμελείᾳ γεγονὼς, ὥστ' εἰκὸς αὐτὸν μηκέτι ταυτὸν παθεῖν. κοινὸν δὲ ἁπλῶς ἐπέθηκε παράγγελμα τοῖς περὶ φιλίας λόγοις, τὰς εὐχερεῖς μεταβολὰς τῶν φίλων, ἀνθρώποις ἀθλίοις οἴεσθαι πρέπειν· εἰσὶ δὲ ἄθλιοι πάντες οἱ τῶν θεσμῶν ὑπερόπται τῶν εἰς κοινωνίαν συντεινόντων, ὧν εἷς ἐστι καὶ ὁ περὶ τὰς τῶν φίλων καταστάσεις. ὅτι μὲν οὖν τὸ μεταβάλλειν τὰς φιλίας ἄτοπον, καὶ οὐχ ἁπλῶς, ἀλλ' ἄθλιον, εἶπε καὶ αὐτός. Πλάτων δὲ καὶ τῆς φρουρᾶς τῆς περὶ φιλίαν εἰκόνα παραδέδωκε· τὰς μὲν ἡμετέρας εἰς τοὺς φίλους εὐποιΐας μικροτέρας ἡγεῖσθαι τῶν φίλων, τὰ δὲ ἐκείνων εἰς ἡμᾶς γενόμενα μείζω κρίνειν ἢ ἐκεῖνοι νομίζουσι. ταῦτα φυλάττοντες, ἀσάλευτον τὴν φιλίαν φυλάξομεν, φησὶν οὖν ὁ Ἡσίοδος παραινῶν ἀφαιρεῖν τὴν εὐχέρειαν, „σὲ δὲ μήτι νόον."

XL. „*Μηδὲ πολύξεινον.*" τὸ μὲν μήτε πολύξεινον εἶναι μήτ' ἄξεινον, ὅρον ἐπιτίθησι μετὰ τὰς φιλικὰς παραινέσεις ταῖς περὶ τοὺς ξένους ἡμῶν σπουδαῖς, μήτε δι' εὐχέρειαν πλῆθος εἰσδέχεσθαι ξένων κωλύων, μήτε δι' ἀγριότητα πρὸς πάντα ξένον ἀποκλείειν τὰν οἴκον. τὸ δὲ μήτε κακοῖς συγκολλᾷν ἑαυτὸν, μήτε εἰς τοὺς ἀγαθοὺς ὑβρίζειν, καὶ Πλάτωνος κρατύναντος τὴν κρίσιν· αὐτὸς γοῦν ἔστιν ὁ λέγων ἐπ' οὐδενὶ τὸν θεὸν οὕτω νεμεσᾶν, ὡς ἐπὶ τῷ τὸν ὅμοιον αὐτῷ ψέγειν, ἐπαινεῖν δὲ τὸν ἀνόμοιον· θεῷ δὲ ὁ ἀγαθὸς ὅμοιος ὃν οὐ δεῖ νεικείειν, ὁ δὲ κακὸς ἀνόμοιος ὃν οὐ δεῖ ἀσπάζεσθαι.

XLI. „*Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος.*" ὁ μὲν θησαυρὸς τῆς γλώττης ἐστὶν ἡ κρύψις τῶν νοημάτων ἡ ἐν τῇ ψυχῇ, καὶ τῶν φαντασιῶν τῶν μὴ γενομένων ἐκφόρων ὑπὸ τῆς γλώττης προπετῶς κινουμένης· δεῖ γὰρ τὴν κίνησιν ἐπιμετρεῖν τῇ γλώσσῃ, καὶ τὸν καιρὸν τῆς κινήσεως, ἀλλ' οὐ ταύτην κυρίαν εἶναι ἑαυτῆς. τὸ δὲ πλείστην μὲν ἑαυτῆς εἶναι χάριν μετρίας οὐ-

χὴν δὲ γίνεσθαι μειζόνων καὶ ἀλγεινοτέρων
των τὴν προπέτειαν αὐτῆς, ἄμφω παρέστησε,
ἱρετὸν τοῦτο τὸ μόριον, καὶ ὅτι φευκτόν. ὡς
ν φασι, πέμψαντος αὐτῷ τοῦ Ἀμάσιδος ἱερεῖον
ιαντος ἀντιπέμψαι τῶν μορίων αὐτῷ τὸ κάλ-
τα καὶ χείριστον, ἐξελόντα τὴν γλῶσσαν ἀπο-
καὶ διὰ τοῦτο δέδωκεν ἡ φύσις διὰ μὲν τῶν
ἕρκος αὐτῇ πρόσθεν κατακλείουσαν μαλακὴν
σαν καὶ εὐκίνητον· τὸν δὲ ἐγκέφαλον ἄνωθεν
τα τοῦ λόγου τὸ μέτρον αὐτῇ παρέχειν ἐνδει-
.

I. „Μηδέποτ' ἐξ ἠοῦς Διὶ λείβειν αἴθοπα οἶνον
ίπτοισιν." τοῦτο καθαρότητός ἐστι παράγ-
πολλὰ γὰρ αἱ χεῖρες τῶν ἀναγκαίων μὲν, ἀκα-
δὲ ποιοῦσι· διὰ τοῦτο δέονται καθάρσεως· διό-
ον καθαρόν. δεῖ δὲ ὅμοιον αὐτοῖς ὑπηρετεῖν,
σπένδειν προκαθάραντας τὰς χεῖρας· πολλῷ
ιᾶλλον τῷ ὅλῳ σώματι· δέον γὰρ καθαρῶς
τὰ πρὸς θεούς· ἐκ γὰρ ἀκαθάρτων ὀργάνων
μεν αὐτοὺς, ἀποπτύουσιν ἡμῶν τὰς ἐπὶ τοῖς
ς ἔργοις ἀράς· αὗται γὰρ εἰσὶν αἱ ἐπάραι ταῖς
ἢ ταῖς σπονδαῖς ἐπᾳδόμεναι. ἐν μὲν οὖν Σπάρτῃ
ἀρχὴν καθισταμένοις οἱ ἔφοροι προεκήρυττον
ιν μύστακας, ἵνα τοὺς τὸ φαῦλον τοῦτο καὶ
αραβάντας μειζόνως κολάζωσιν. ὁ δὲ Ἡσίοδος
ι τὰς χεῖρας παραινῶν πρὸ τοῦ σπένδειν, ἐν-
ι τὸν τοῦτο μὴ πεισόμενον, μείζονος ἄξιον εἰ-
γνώσεως, ὡς ἀνεπιτήδειον πρὸς παιδείαν.

I. „Μηδ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθεν
τίῃ ἐμπελαδὸν παραφαίνεμεν, ἀλλ' ἀλέασθαι."
ς ἀπαιδευσίας ὄντα ἔκγονα, κἂν σμικρὰ ᾖ, δεῖ
άττειν· καλῶς τοῦ Πλουτάρχου λέγοντος,
περ ἐν λόγοις τὸ μὴ σολοικίζειν οὐ θαυμαστὸν,
σολοικίζειν καταγέλαστον· καὶ ἐν τοῖς ἔργοις
πράττειν τὰ τοιαῦτα ἐπαινετὸν, ἀλλὰ τὸ πράτ-
ιδιστον· δεῖν οὖν μεμολυσμένον ἀπὸ γονῆς
ιν τὰ αἴτια τοῦ μολυσμοῦ, καὶ μὴ γυμνοῦν

ἐγγὺς τῆς ἑστίας· βωμὸς γὰρ καὶ αὔτη τῶν θεῶν, καὶ καθημερινῶν θυσιῶν καὶ σπονδῶν ὑποδοχή. Μὴ οὖν ἀπογυμνούμενον μολύνειν τὴν ἑστίαν.

XLIV. „Μηδ' ἀπὸ χυτροπόδων ἀνεπιῤῥέκτων." θυσίαν ταύτην ὁ Πλούταρχος πρόχειρον καὶ καθημερινὴν εἶπεν ὀρθῶς ἀφ' ὧν μέλλομεν ἐσθίειν ἱερὰ πάντα ποιοῦντας διὰ τοῦ ἁπάρξασθαι. καὶ γὰρ αἱ τῶν ἱερῶν τραπεζώσεις τοῦτο εἶχον· ἀπαρξάμενοι γὰρ ἀπ' αὐτῶν ἐδαίνυντο. χρῆναι δὲ καὶ ἐπὶ τῶν λουτρῶν τὸ αὐτὸ ὁρᾶν· ἐλέγοντο δὲ περιχεόμενοι κατὰ κρατόςπι καὶ ὤμων· χρὴν οὖν καὶ τούτου πρότερον ἀφορίσαι τι πρὸ τῆς ἡμετέρας χρήσεως τοῖς ἱεροῖς θεοῖς· καὶ οὕτω τὸ λοιπὸν εἰς τὴν ἀναγκαίαν χρείαν περιλαμβάνειν.

XLV. „Μηδ' ἐπ' ἀκινήτοισι. ὁ δὲ Πλούταρχός φησιν, ὅτι μὴ δεῖ τὰ νεογνὰ ἀκίνητα ἐᾶν καὶ ἀποτίθεσθαι ἐν ἀκινήτοις· ἀσθενέστερα γὰρ γίνεται· κινῶν δὲ αὐτὰ ὅτι μάλιστα, κᾶν ἐπί τινων αὐτά τις καθιζάνῃ κινουμένων, καθιζάνειν καὶ σαλεύειν διὰ τούτων· οἷα τισὶν εὐκίνητα κλινίδια μεμηχάνηται πρὸς τὴν τῶν παιδίων εὐνήν.

XLVI. „Μηδὲ γυναικείῳ λουτρῷ." μὴ δεῖν συναπογυμνοῦσθαι ταῖς γυναιξὶ τοὺς ἄνδρας· πρὸς γὰρ τῷ ἀσχήμονι καὶ ἀπόῤῥοιαί τινες ἐκ τῶν γυναικείων σωμάτων καὶ περιττωμάτων χωροῦσιν, ὧν ἀναπίμπλασθαι τοὺς ἄνδρας μολυσματῶδες ἐστί· καὶ τοῖς εἰς τὸν αὐτὸν ἀέρα εἰσιοῦσι, καὶ τοῖς εἰς τὸ αὐτὸ ὕδωρ, ἀνάγκη τούτων ἀπολαύειν. διὸ καὶ ἐπὶ χρόνον τινά φασι ποινὴν παραμένειν τοῖς τοῦθ' ὑπομείνασιν· ἐν ᾧ μολυσμὸν ἀνάγκη μένειν ἐπ' αὐτοῖς.

XLVII. „Μηδέ ποτ' ἐν προχοαῖς ποταμῶν ἅλαδε προρεόντων, Μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι, Μηδ' ἐναποψύχειν." ταῦτα διαγράφει Πλούταρχος, ὡς εὐτελῆ καὶ ἀνάξια παιδευτικῆς Μούσης μὴ οὐρεῖν ἐν προχοαῖς ποταμῶν ἢ κρηνῶν, μηδ' ἀποπατεῖν, τοῦτο γὰρ τὸ ἀποψύχειν.

XLVII. „Ὣδ' ἔρδειν —" τοῦτο τὸ τέλος λοιπὸν παραγγελμάτων, ἱκανὸν εἰς τὸ παιδεῦσαι ἡμᾶς τὸν ἐσ-

τῶν ἠθος, εὐλαβουμένους τὴν φήμην. οὐ γὰρ ὅσον ἀρετῆς οἱ ἄνθρωποι σφάλλονται, τοσοῦτον καὶ κρίσεως ἀρετῆς, φησὶν ὁ Πλάτων· τὴν οὖν χαλεπὴν φήμην φυλακτέον εἰς δύναμιν. Ἡ γὰρ κακὴ φήμη νοῦφη μέν ἐστιν ὑπενεγκεῖν, κεντοῦσα τοὺς ὑπ' αὐτῆς ἐπωνειδίστους γινομένους, ἔτι δὲ καὶ ἀρξαμένην ταύτην παῦσαι χαλεπόν· εὐώθασι γὰρ οἱ ἄνθρωποι πολλαπλασιάζειν ὰς ἂν παραλάβωσι φήμας καὶ ἐκ σμικρῶν μεγάλας ποιεῖν. καὶ τέλος προσέθηκε, ὅτι κινδυνεύει καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀληθὴς εἶναι πᾶσα φήμη, ἣν λαοὶ πολλοὶ φημίσωσι, καὶ διὰ τοῦτο ἔχειν τι καὶ αὐτὴν θεῖον· πολλάκις γοῦν ὃ μὲν ἄρξας αὐτῆς οὐκ ἔστιν, εὔστοχος δὲ αὐτὴ δι' αὐτῶν ἀναφαίνεται τῶν ἀποβαινόντων, ὥστε εἰκότως δεῖ φυλάττεσθαι τὴν κακὴν φήμην. καὶ τοῦτο οὖν χρήσιμον τὸ δεῖν καὶ δόξαν ὑφορᾶσθαι τὸν παιδευόμενον. οὐ γὰρ ἁπλῶς ἀληθὲς ὃ λέγει Γοργίας· ἔλεγε δέ· Τὸ μὲν εἶναι, ἀφανὲς, μὴ τυχὸν τοῦ δοκεῖν, τὸ δὲ δοκεῖν, ἀσθενὲς, μὴ τυχὸν τοῦ εἶναι. παρὰ γὰρ τοῖς πολλοῖς καὶ τὸ δοκοῦν ἰσχὺν ἔχει, καὶ τὰ ἐκ τοῦ δοκεῖν ἀποβαίνοντα δυσχερῆ δείκνυται οὐκ ὄντα ὀλίγα. μᾶλλον οὖν ὡς Ξενοκράτης ἔλεγε· Τοῦ μὲν οὖν φίλου Ἀλέξανδρον ἕνεκα, μηδ' ἂν τὸν δάκτυλον κινῆσαι· τοῦ δὲ μὴ ἐχθροῦ, πάντα ἂν πρᾶξαι· οὕτω καὶ Ἡσίοδος τῆς μὲν παρὰ τοῖς πολλοῖς δόξης ἀξιοῖ ποιεῖσθαι λόγον μηδένα, τῆς δὲ ἀδοξίας, ἵνα μὴ συμβῇ, πάντα ποιεῖσθαι λόγον.

XLIX. *Καλῶς ἐπέστησεν ὁ Πλούταρχος, ὅτι τὸ ἀπεῖραι καὶ τὸ φυτεῦσαι οὐχ ὑπὸ τῶν αὐτῶν ἔοικεν ἀσφαλεῖσθαι. τὸ μὲν γὰρ σπέρμα δεῖ καταβληθὲν κρυφθῆναι πρῶτον εἴσω τῆς γῆς καὶ σαπῆναι, καὶ οὕτως ἑαυτοῦ διδοῦναι τὴν δύναμιν εἰς τὴν περικρύψασαν αὐτὸ γῆν, ἵν' ἐξ ἑνὸς τυχὸν πυροῦ ἢ κριθῆς, γένηται πλῆθος. διὸ καὶ ὕετοῦ δεῖσθαι καὶ πάχνης αὐτό φασι τὴν ἀρχὴν τιεζόντων ἔσω καὶ χεόντων τὰς ἐν αὐτῷ φυσικὰς δυνάμεις· τὸ δὲ φυτὸν ῥιζωθὲν βλαστῆναι χρὴ καὶ ἀναδοῦναι τὸν ἐν τῇ ῥίζῃ κρυπτόμενον λόγον, οἷον διωχευθεῖσαν, διὰ φωτός· ὥστ' εἰκότως τὴν τρισκαιδεκάτην πρὸς μὲν τὸ σπεῖραι ἀνεπιτήδειον εἶναι, πρὸς δὲ τὸ φυτεῦσαι*

ἐπιτηδείαν· τὸ γὰρ προσκαλέσασθαι τὸν ῥιζικὸν λόγον καὶ εἰς ἐπίδοσιν ἄγειν καὶ βλάστην, ἐσήμηνε διὰ τοῦ ὀνόματος, πρὸς ἃ συντελεῖ, πλεῖον ὂν τὸ ἐκ τῆς σελήνης ἐν αὐτῇ φῶς.

L. „Πεφύλαξο δὲ θυμῷ." τοὺς πρὸ τούτων δ' στίχους οὐδὲ μνήμης ὁ Πλούταρχος ἠξίωσεν ὡς ἂν μὴ φερομένους· τούτους δὲ ἐξηγούμενος ἀξιοῖ μὴ ἐγκαλεῖν τῷ Ἡσιόδῳ ὡς ἂν γελοίως εἰπόντι, μὴ χρῆναι λύπας ἑαυτῷ κινεῖν ἐν ταύταις, ὡς δέον ἐν ἄλλαις τισὶ τοῦτο ποιεῖν. οὐ γὰρ τοῦτο λέγει, ἀλλ' ὡς ἐν ἱερείᾳ ταύταις μάλιστα τὰς λυπηρὰς ἀποσκευάζεσθαι ἐνεργείας· ἃς εἰ καὶ ἄλλοτε δεῖ ὡς ἀναγκαίας αἱρεῖσθαι, ἐν ταύταις οὐ δέον. τὰς δὲ τετράδας ἄμφω εἶναι ἱερὰς· τὴν μὲν ὡς μάλιστα τὸ σεληναῖον ἐκφαίνουσαν φῶς· τὴν δὲ ὡς τοῦτον ἔχουσαν πρὸς τὴν τετράδα λόγον, ὃν ἡ ἑβδόμη πρὸς τὴν νουμηνίαν· καὶ γὰρ ἡ τετάρτη, καὶ εἰκοστὴ ἑβδόμην ἔχει τάξιν πρὸς τὴν ἐσχάτην.

LI. „Δεκαδώρῳ ἁμάξῃ." ἧς ἡ διάμετρος τῶν τροχῶν δεκάδωρος. δῶρον δὲ ὡς μέν τινες, ἡ παλαιστή· ὡς δὲ ἕτεροι, ὅταν τοὺς τέσσαρας δακτύλους συστρέψας ἐγείρῃς τὸν ἀντίχειρα, ὡς Πλούταρχος.

LI. Id etiam, inquit, multo mirandum est magis, quod apud Plutarchum, in IV. in Hesiodum Commentario legi: caepe tum revirescit et congerminat decedente Luna, contra autem inarescit adolescente. Eam causam esse dicunt sacerdotes Aegyptii, cur Pelusiotae caepe non edunt; quia solum olerum omnium contra Lunae aucta atque damna, vices minuendi et augendi habeat contrarias.

XII

Ὁμηρικῶν Μελετῶν.

I. Ψυχαγωγοί τινες γόητες ἐν Θεσσαλίᾳ, οὕτω καλούμενοι· οἵτινες καθαρμοῖς τισι καὶ γοητείαις τὰ εἴδωλα ἐπάγουσί τε καὶ ἐξάγουσιν. οὓς καὶ Δίκαιον, καὶ ἐπέμψαντο, ἡνίκα τὸ Παυσανίου εἴδωλον [illegible]

τοὺς προσιόντας τῷ ναῷ τῆς Χαλκιοίκου· ὡς ἱστορε Πλούταρχος ἐν ταῖς Ὁμηρικαῖς Μελέταις.

II. „Ἀνεμοτρεφὲς κῦμα.“ Ἰλιάδος ὁ, τὸ ὑπὸ τοῦ ἀνέμου ηὐξημένον, ὑψηλόν. ὅτ' ἂν δὲ τὸ Ἀγαμέμνονος δόρυ ἀνεμοτρεφές φησιν, ὡς ἐν τῇ λ', ἀντὶ τοῦ ὑπὸ ἀνέμου γεγυμνασμένον, ἰσχυρόν. τὰ γὰρ ὑπεύδια καὶ κατασκιαζόμενα τῶν δένδρων, εὐγενῆ μὲν καὶ λεῖον ὄρπηκα ποιεῖ, ἀσθενῆ δὲ καὶ μαλακὸν καὶ ἀγύμναστον ἀναδίδωσιν· οἷς δὲ προσπίπτει τραχὺς ἀὴρ καὶ ἀνεμώδης, ταῦτα ταῖς τῶν πνευμάτων τριβόμενα πληγαῖς, εὔτονον καὶ δύσθρυπτον ἔχει τὴν στερρότητα· ὡς φησι Πλούταρχος ἐν Μελέταις Ὁμηρικαῖς.

III. Ἐν οἷς ἐγὼ μὲν ἐκπλήττομαι τῆς μεγαλοψυχίας τὸν Χρύσιππον. δέον γὰρ ὡς ἄνθρωπον ἀνεγνωκότα τοσούτους ποιητὰς, καὶ γινώσκοντα σαφῶς ἅπασι τοῖς δόγμασιν αὐτοῦ μαρτυροῦντας ἄλλοτε κατ' ἄλλο τῶν ἐπῶν, ὥσπερ καὶ Πλούταρχος ἐπέδειξεν ἐν τοῖς τῶν Ὁμηρικῶν μελετῶν, ἐκλέγειν μὲν ἐξ αὐτῶν ὅσα μαρτυρεῖ τῷ σπουδαζομένῳ πρὸς αὐτοῦ δόγματι, παραλείπειν δὲ τὰ μαχόμενα καὶ πᾶν ἐνίοτε κατασκευάζοντα τοὐναντίον, ὃ δὲ ὁμοίως ἐξῆς ἁπάντων μέμνηται.

IV. Plutarchus quoque, homo in disciplinis gravi auctoritate, in primo librorum quos de Homero composuit, Aristotelem philosophum scripsit, eadem ipsa de Pythagoricis scripsisse, quod non abstinuerint edundis animalibus, nisi pauca carne quadam. Verba ipsa Plutarchi quoniam res inopinata est, subscripsi: Ἀριστοτέλης δὲ μήτρας, καὶ καρδίας, καὶ ἀκαλύφης, καὶ τοιούτων ἄλλων ἀπέχεσθαί φησι τοὺς Πυθαγορικοὺς, χρῆσθαι δὲ τοῖς ἄλλοις.

V. Plutarchus, secundo librorum quos de Homero composuit, imperfecte atque praepostere atque inscite syllogismo esse usum Epicurum dicit, verbaque ipsa Epicuri ponit: Ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς· τὸ γὰρ διαλυθὲν ἀναισθητεῖ· τὸ δὲ ἀναισθητοῦν, οὐδὲν πρὸς ἡμᾶς. *Nam praetermisit*, inquit, quod in prima parte *sumere debuit*, ὁ θάνατος ψυχῆς καὶ σώματος διάλυ-

σις· tum deinde eodem ipso quod omiserat, quasi posito concessoque ad confirmandum aliud utitur. Progredi autem hic, inquit, syllogismus, nisi illo prius posito, non potest.

VI. In eodem libro idem Plutarchus, eundem Epicurum reprehendit, quod verbo usus sit parum proprio et alienae significationis. Ita enim scripsit Epicurus: Ὅρος τοῦ μεγέθους τῶν ἡδονῶν, ἡ παντὸς τοῦ ἀλγοῦντος ὑπεξαίρεσις. Non, inquit, παντὸς τοῦ ἀλγοῦντος, sed παντὸς τοῦ ἀλγεινοῦ dicere oportuit. Detractio enim significanda est doloris, inquit, non dolentis.

XIII.

Αἰτίαι τῶν Ἀράτου Διοσημείων.

I. „Ἠελίῳ καὶ μᾶλλον ἐοικότα σήματα κεῖται· Ἀμφότερον, δύνοντι, καὶ ἐκ περάτης ἀνιόντι.“ Διὰ τί δὲ τὰ τοῦ ἡλίου σημεῖα βεβαιότερα τῆς σελήνης; ἐπειδὴ πολλὴν ἔχων ἰσχὺν πρὸς τὸ διαλύειν ταῖς ἀκτῖσι τὰ ὑποπίπτοντα παχέα, νικώμενος ὑπ' αὐτῶν, μείζονα τὸν χειμῶνα παραγγέλλει. ἢ ὅτι αἱ τοῦ ἡλίου πρὸς τὸν ἀέρα διαφοραὶ, κυριώτεραι τῶν τῆς σελήνης εἰσί· δυναστεύων γὰρ ἡμέρας σαφέστερα δείκνυσι τὰ τεκμήρια; ἢ ὅτι λαμπρότερός ἐστι, καὶ εἰ μὴ μεγάλη καὶ ἰσχυρὰ τοῦ ἀέρος εἴη μεταβολὴ, οὐκ ἂν κρατηθείη· τὰς γὰρ μικρὰς καὶ ἐλαφρὰς ἀνατέλλει. οὕτω Πλούταρχος. Διὰ τί δὲ ἀνατέλλοντος μόνον καὶ δύνοντος, καὶ οὐ καὶ μεσουρανοῦντος; ἢ ὅτι τότε φαίνεται διὰ τοῦ ὑπεργείου ἀέρος, τοῦ δεχομένου πάχη καὶ μεταβολὰς, διὰ τὰς ἀναθυμιάσεις ἃς ἡ γῆ ἀναδίδωσι, τοῦ ἡλίου ταῦτα κινοῦντος· ἐξαρθεὶς δὲ καὶ ὑψωθεὶς, τὸ οἰκεῖον αὐτοῦ χρῶμα εἰλικρινὲς ἐμφαίνει.

II. „Ἀλλ' οὐχ ὁππότε κοῖλος ἐειδόμενος περιτέλλῃ.“ αἱ ἐν τῷ ἡλίῳ κοιλότητες οὐκ εἰσὶν αὐτοῦ, φαντασίαι δὲ εἰσι τῆς ὄψεως κατ' ἐπιπρόσθησιν ζοφεροῦ ἀέρος. οὐ γὰρ τὸ μέσον ὁρᾶται, ἀλλ' ἡ κύκλῳ ἁψίς· λαμπρὰ δὲ οὖσα, δοκεῖ περιφεύγειν εἰς τὸ ἐκλειπὲς, ὡς ἔμφα

κοιλότητος παρέχειν. δν τρόπον γὰρ οἱ ζωγράφοι ἀντρώδεις τόπους γράφοντες, φωτὶ τραχύνουσι τὴν ὄψιν, ἅτε φύσει τοῦ μὲν λαμπροῦ προσβάλλοντος ἔξω καὶ διωθοῦντος τὴν φαντασίαν, τοῦ δὲ μέλανος ὑποσκιάζειν καὶ βαθύνεσθαι δοκοῦντος· οὕτω καὶ περὶ τὸν ἥλιον τὸ φαινόμενον τῆς ὄψεως, κατὰ ἀντίφραξιν τοῦ ἀέρος, ἐκκοπὴν τοῦ μέσου λαμπροῦ διὰ τὴν σκιὰν ποιεῖ ὑποφαίνεσθαι. ἢ ὅτι τὰ ἔμπροσθεν αὐτοῦ ἱστάμενα νέφη μελαινόμενα, διὰ τὴν πολλὴν πύκνωσιν, τὴν κοιλότητα ἀποτελεῖ; πέφυκε γὰρ πάντα τὰ διὰ τῶν μελανῶν ὁρώμενα, κοιλότητος φαντασίαν ποιεῖν. καὶ γὰρ καὶ οἱ ζωγράφοι, ὅσα μὲν βούλονται προσεχῆ δεικνύναι, τῷ λευκῷ ἀπογράφουσιν· ὅσα δὲ κοῖλα καὶ ἐν βάθει, τῷ μέλανι. ἐὰν οὖν, φησὶ, τοιοῦτόν τι γένηται, ἢ τὰς ἀκτῖνας μὴ κατ' εὐθεῖαν φερομένας ἔχῃ, ἀλλ' ἐσχισμένας, καὶ τὰς μὲν τῇδε τεταραμμένας, τὰς δὲ τῇδε, ὅπερ συμβαίνει ὑπὸ τῆς τοῦ ἀέρος παχύτητος, οὐκ ἐωμένων αὐτῶν κατ' εὐθεῖαν φέρεσθαι, ἢ ἄπεμον ἴσθι γενησόμενον, ἢ ὑετόν. Ἀπὸ κοινοῦ οὖν τὸ εὔδιος, ἵν' ᾖ, ἀλλ' οὐκ ἴσται εὔδιος, ὅταν ἀνατέλλων κεκοιλωμένον ἔχῃ τὸ μέσον τοῦ κύκλου δηλονότι ὥσπερ κακωθέντος τοῦ φωτός· ὃ δὴ συμβαίνει ἐκ τῆς τοῦ ἀέρος δυσκρασίας. ὥσπερ γὰρ ἐπὶ τῶν ὀφθαλμῶν, ὅταν συμβαίνῃ κοιλαίνεσθαι αὐτοὺς, δηλονότι ἐξασθενήσαντος τοῦ σώματος· ἢ ὥσπερ ὅταν βλέφαρον κατίσχοντες, ἢ περιθλίψαντες τὴν ὄψιν, τῷ λύχνῳ προσβάλλομεν, οὐ φαίνεται συνεχὲς τὸ φῶς, ἀλλὰ πλάγιαι καὶ σποράδες αἱ αὐγαί· οὕτως ὅταν ἀχλὺς ἢ νέφωσις ἀνώμαλος πρὸ τοῦ ἡλίου στᾶσα, περιθλίψῃ καὶ σείσῃ τὸν τῆς ὄψεως κῶνον, εἰς λοξὰς ἀκτῖνας καὶ ῥομβοειδεῖς, ὃ πάσχομεν αὐτῇ τῇ αἰσθήσει, τοῦτο περὶ τὸν ἥλιον εἶναι δοκοῦμεν. Οὕτω Πλούταρχος.

III. „Ἡ πῦρ αὔηται ἀποδεῖ." Πλούταρχος δέ φησι, τὰ καυστὰ βραδέως ἐξάπτεσθαι, παχυμεροῦς τοὺς πόρους ἐμφράττοντος ἀέρος· διόπερ οἱ τὰς δᾷδας ἅπτοντες προστρίβουσιν ἐν τῇ τέφρᾳ, ἵνα ἀποκρουσθῇ εἴ τι ἔνικμον ᾖ, καὶ τὸ πῦρ τῆς ὕλης μᾶλλον ἅψηται.

IV. „Πρῖνοι δ' οὐ καρποῖο καταχθέες, οὐδὲ μέλω-

ναι Σχῖνοι ἀπείρητοι." ἄρχεται λοιπὸν ἀπὸ δένδρων τεκμήρια ἡμῖν διδόναι περὶ χειμώνων καιρῶν, ἐπιτήδεια πρὸς γεωργίαν. δεῖ οὖν λαβεῖν ἀπὸ πρίνου καὶ σχίνου σημεῖα· ὁ γὰρ τῆς πρίνου καρπὸς σύμμετρος ὤν, τοιοῦτον χειμῶνα δηλοῖ· ὁ δὲ πλείων τοῦ συνήθους, πλείονα αὐχμόν· μεταβὰς οὖν ἐπὶ τὰ τῆς γεωργίας σημεῖα, πειρᾶται διδάσκειν ἡμᾶς καί φησιν, ὅτι πρῖνοι καὶ σχῖνοι μετρίαν τὴν καρποφορίαν ὅταν ἔχωσιν, αὐχμηρὸν τὸ τέλος σημαίνουσιν. αἱ μὲν οὖν πρῖνοι μὴ ὑπὲρ τὸ δέον εὐποροῦντες, μακρὸν ἐσόμενον τὸν χειμῶνα σημαίνουσιν· ἐὰν δὲ πολυφορῶσι, περὶ τὰ ἴσχατα μέρη τοῦ θέρους, βλάβην τοῦ σιτικοῦ καρποῦ γενησομένην ὑπὸ αὐχμοῦ. ἡ δὲ τοῦ σχίνου καρποφορία τρισὶ τυγχάνει· τρὶς γὰρ τοῦ ἐνιαυτοῦ ἄνθει, καὶ τρὶς τελεσφορεῖ· ἑκάστη γὰρ καρποφορία ἴδιον σημεῖον ποιεῖ. ἐὰν γὰρ ὁ πρῶτος καρπὸς κατὰ πρέπον γένηται, πρώϊμον δεῖ θέρος προσδοκᾶν. ἐὰν δὲ ὁ δεύτερος, καταμέσον καιρὸν τῆς θερείας κρείσσονα σημαίνει· ὁ δὲ τρίτος τὸν ἔσχατον. ἡ δὲ σύνταξις, οὕτως, καταχθὲς καρποῖο, τουτέστι, βαρυνόμενα τῷ καρπῷ, οἷα ἀπείρητοί εἰσι χειμῶνος· ὅσα γὰρ τὴν σχῖνον ἐκ τοῦ ἄκρου ὠφελεῖ, ταῦτα καὶ τὸν σῖτον· ὁμοίως καὶ τὰ βλάπτοντα. δείγματα οὖν τῶν πρώτων σπόρων ὁ πρῶτος ἐν τῇ σχίνῳ ἐστί, καὶ τῶν μέσων ὁ μέσος· καὶ ὁ τρίτος τῶν τελευταίων. Οὕτω Πλούταρχος.

V. „Πρῖνοι μὲν Θαμινῆς ἀκύλου κατὰ μέτρον ἔχουσαι, Χειμῶνός κε λέγοιεν ἐπὶ πλέον ἰσχύοντος." ὁ πρῖνος τὸ δένδρον τῶν πάνυ καταξήρων ἐστί· καὶ μαρτυρεῖ καὶ Ἀριστοφάνης· σὺ δ', ὥσπερ πρῖνος, εὐθὺς ἐμπρησθεὶς βοᾷς· τῶν ξύλων γὰρ τὰ κατάξηρα ἐμπρησθέντα καὶ καυθέντα, τῇ ξηρότητι ἀντέχει τῷ πυρί. αὕτη τοίνυν ἡ πρῖνος, ξηρά τις οὖσα τὴν φύσιν, τοῖς ὑγραίνουσι τέρπεται· καὶ χειμῶνος ὄντος, σφόδρα ὑγροῦ τοῦ περιέχοντος γενομένου, τῇ ὑγρότητι ἡσθεῖσα καρποφορεῖ καὶ δηλοῖ τὸν ἐσόμενον μέγαν χειμῶνα, ὑφ' οὗ τῆς ὑγρασίας μεταλαβοῦσα καρποφορήσει. θαμινὴς δὲ, τῆς συνεχοῦς φυομένης· τρίτον γὰρ τοῦ χειμῶνος

φύεται. ὃ δὲ ἄκυλος, καρπός ἐστι τῆς πρίνου· καὶ Ὅμηρος, πάρ ῥ' ἄκυλον βάλανόν τε. κατὰ μέτρον δὲ ἔχουσαι, ἀντὶ τοῦ συμμέτρως ἔχουσαι τῶν καρπῶν. φησὶν οὖν καὶ Θεόφραστος, ὅτι ἡ πρῖνος καὶ ἡ σχῖνος αὐχμηραὶ τῇ κράσει καὶ ξηρότεραι τῶν ἄλλων πεφύκασι. πολὺν οὖν καρπὸν οὐ φέρει, ἐὰν μὴ εἰς βάθος ὑγρανθῇ. εἰκότως οὖν τῇ τούτων ἀφορίᾳ καταμαντεύονται περὶ τῶν σπερμάτων, μιᾶς αἰτίας οὔσης δι' ἧς ἀμφοτέρων ἡ πολυκαρπία ἐπέρχεται· εἰ δὲ ὑπερβάλλει τοῦ καρποῦ τὸ πλῆθος, οὐκ ἀγαθὸν σημεῖον· ἄμετρον γὰρ ἐπομβρίαν καὶ πλεονασμὸν ὑγρότητος, ἢ περὶ τὸν ἀέρα ἄνεσις καὶ θηλύτης δηλοῖ. Οὕτω καὶ Πλούταρχος.

VI. „Ὄντινα γὰρ κάλλιστα λοχαίη σχῖνος ἄρηται, Κείνῳ γ' ἐξ ἄλλων ἄροσις πολυλήϊος εἴη." ἐν ἐκείνῳ δὲ τῷ καρπῷ καὶ ἡ ἄροσις πολὺ κρείττων ἔσται. οὐ γὰρ μόνον τοῖς ζώοις συμπάθεια γίνεται, ἀλλὰ καὶ ἐν τοῖς φυτοῖς. ὅταν οὖν κεκραμένην τῇ ὑγρότητι καὶ ψυχρότητι παραπλησίως ἔχῃ τὴν ἕξιν, καὶ τρέφεται ἀπὸ τῶν ὁμοίων, καὶ τοῖς αὐτοῖς εὐθαλεῖ καὶ μαραίνεται. διὸ πολλὰ μετ' ἀλλήλων συνακμάζει καὶ καρποφορεῖ, τὰ μὲν θέρει, τὰ δὲ χειμῶνι, τὰ δὲ καὶ ἔαρι. τῶν μὲν οὖν αἱ κράσεις διάφοροι, τῶν δὲ ὅμοιαι καὶ συγγενεῖς σφόδρα· τῶν οὖν μίαν κρᾶσιν ἐχόντων, εἰσὶ πρῖνος, σχῖνος, σκύλλα, πυρός, κατὰ Πλούταρχον.

VII. „Θήλειαι δὲ σύες, θήλεια δὲ μῆλα, καὶ αἶγες Ὀππότ' ἀναστρορῶσιν ὀχῆς, τὰ δέ γ' ἄῤῥενα πάντα Δεξάμεναι πάλιν αὖθις ἀναβλήδην ὀχέωνται, Αὐτῷ καὶ σφήκασε μέγαν χειμῶνα λέγουσιν." ἡ ὑγρότης γόνιμον καὶ κινητικὸν τῆς σπερματικῆς δυνάμεως· διαχυθὲν γὰρ τὸ σῶμα καὶ τὸ πνεῦμα τῇ ἀνέσει ἀραιὸν γίνεται, καὶ ὑπόθερμον εἰς ὁρμὰς ἀγωγοὺς ἐπὶ τὸ τῆς γεννήσεως ἔργον. διὸ καὶ οἱ παλαιοὶ τὸν Διόνυσον τῇ Δημήτρᾳ συγκαθιέρωσαν, αἰνιττόμενοι τὸ γόνιμον τῆς ὑγρότητος. ὥσπερ οὖν τὰ φυτὰ ἐξασθενήσαντα διανθεῖ τῇ εὐκρασίᾳ, ἐπελθούσης τῆς ὑγρᾶς καὶ ἐπιῤῥεούσης τροφῆς, οὕτω καὶ τὰ ζῶα ἐν ὑγρῷ τῷ ἀέρι καὶ μαλακῷ μᾶλλον πρὸς συνουσίαν κινεῖται. αἱ οὖν θήλειαι σύες, κτλ.

πρόβατα καὶ αἶγες, ὅταν ὑπομείναντα τὴν τῶν ἀῤῥένων ὄχευσιν, ἐπιστρέψαντα ἐπιβαίνῃ τοῖς ἄῤῥεσι, μέγαν χειμῶνα καὶ οὐκ ἐλάσσονα τοῦ ἀπὸ τῶν σφηκῶν σημαίνουσιν· ὅταν δὲ μὴ προλαμβάνῃ τὰ πρημένα τὴν μίξιν, ἀλλὰ βράδιον τοῦ εἰθισμένου ὀχεύῃ, εὐθυμίαν τοῖς πένησι παρέχονται, ὅτι μὴ ἔχοντες εὐπορεῖν ἐσθημάτων, προσδοκῶσιν εὐδιεινότερον ἴσασθαι τὸν χειμῶνα. ἢ ταῦτα τὰ ζῶα ἐπιθυμητικῶς ἔχουσαι συνουσίας ἐν χειμῶνι, ἐπειδὴ ἔξωθεν τότε τοῦ ὑγροῦ ὄντος, τὸ θερμὸν ἔνδοθέν ἐστι, καὶ φλέγον αὐτὰ ἐγείρει πρὸς συνουσίαν. διὸ καὶ ἑξῆς φησιν, ὅτι ἐὰν βραδέως καὶ οὐ συνεχῶς συνουσιάζωσι, δηλοῦσιν οὐ ψυχρὸν τὸν χειμῶνα, ἀλλ' εὔκρατον· ὅθεν καὶ τὸν πένητα χαίρειν ποιοῦσιν. ἢ ἐν τοῖς αὐχμηροῖς καὶ ἀνόμβροις ἔτεσι, τὰ ζῶα πρὸς συνουσίαν οὐ πρόθυμα· διὰ γὰρ τὴν τῶν σωμάτων ὑγρότητα ὀλίγην οὖσαν, βραδύτερον τοῦτο δρᾷ· διό φησιν, ὀψὲ δρῶντα τὴν συνουσίαν, εὐθυμίαν παρέχονται τοῖς γεωργοῖς· ἡ γὰρ πλείων ἐπιθυμία ἐξ ὑγρότητος πλεοναζούσης γίνεται· χαίρει οὖν ὁ ἄνολβος ἀνὴρ, ἤγουν ὁ πένης καὶ ἀνείμων, ὅτι οὐ πάνυ αὐτῷ θερμαινομένου ὑπὸ ἀμφίων εὔδιον τὸν ἐνιαυτὸν γενήσεσθαι ὑποφαίνουσι. τὸ δὲ βεβαιόμεναι ἀντὶ τοῦ βιαζόμεναι πρὸς συνουσίαν.

VIII. „Οὐδὲ μὲν ὀρνίθων ἀγέλαις ἠπειρόθιν ἀνὴρ, Ἐκ νήσων ὅτε πολλαὶ ἐπιπλήσσωσιν ἀρούραις Ἐρχομένου θέρεος, χαίρει." ξηρότεραι γὰρ αἱ νῆσοι τῶν ἠπείρων τυγχάνουσαι, ὥς φησι Πλούταρχος, θᾶττον καὶ ῥᾷον τοῦ αὐχμηροῦ καταστήματος ἀντιλαμβάνονται. διὸ καὶ τὰ ὄρνεα φεύγει, καὶ ταῖς ἠπείροις προσπελάζει· καὶ ἄχθεται μὲν ὁ γεωργὸς τῇ τῶν ὀρνίθων ἐπιδημίᾳ, τὸν αὐχμὸν ὑποπτεύων. χαίρει δὲ ταῖς αὐταῖς ὄρνισιν ὁ αἰπόλος, ὅταν ἐν κόσμῳ καὶ τεταγμένως φέρωνται, ὡς πλείονος γάλακτος γενησομένου διὰ τὸ ἔνθερμον εἶναι τὸν ἀέρα.

XIV.

Ἐκ τοῦ εἰς τὰ Νικάνδρου Θηριακά.

I. Ἐν δὲ χειροπλήθει καρπὸν νεοθηλέι δαύκου, Λειαίνειν τριπτῆρι." ὁ δὲ Πλούταρχος πλείονα μέν φησιν αὐτῶν γένη εἶναι· τὸ δὲ κοινὸν τῆς δυνάμεως ἰδίωμα, δριμὺ καὶ πυρῶδες· καὶ ὡς ἡ γεῦσις αἰσθάνεται καὶ ὄσφρησις, καὶ ἐκ τῆς πείρας δῆλόν ἐστι· καὶ γὰρ ἐμμηνα κινεῖ σφόδρα, καὶ διαλύει στρόφους ὑπὸ τῆς θερμότητος, καὶ τῶν περὶ τὸν θώρακα παθῶν καθαρτικόν καὶ λεπτυντικὸν ἔχει σθένος.

II. „ — οὗ ἐν Ἀπόλλων Μαντείας Κοροπαῖος ἐθήκατο." οἱ δὲ ὑπομνηματίσαντες αὐτὸν, Θέων, καὶ Πλούταρχος, καὶ Δημήτριος ὁ Φαληρεύς φασι· Νίκανδρος Ὠρωπαῖος καὶ Ὠρωπαῖος Ἀπόλλων, ἀγνοεῖ δὲ τὸ Ἀμφιαράου ἱερὸν Ἀπόλλωνός ἐστι.

XV.

Ἐκ τοῦ Εἰ ἡ τῶν μελλόντων πρόγνωσις ὠφέλιμος.

I. Ἀλλὰ μὴν ἡ φρόνησις οὐ σωμάτων, ἀλλὰ πραγμάτων ὄψις ἐστὶ, πρὶν ἐν αὐτοῖς γενέσθαι τὸν ἄνθρωπον, ὅπως ἄριστα χρήσεται τοῖς ἀπαντῶσι καὶ προστυγχάνουσι, παρέχουσα διασκοπεῖν τὸ μέλλον. τὸ μὲν οὖν σῶμα πρόσω μόνον ὠμμάτωται, τοῖς δ' ὄπισθεν τυφλόν ἐστιν ἀτεχνῶς· ἡ δὲ διάνοια καὶ τὰ παρωχημένα βλέπειν τῇ μνήμῃ πέφυκεν. ὁ γὰρ ἐγκαθήμενος ἀεὶ καὶ οἰκουρῶν γραμματεὺς ἐν μίνῳ, ὡς φησιν ὁ Πλάτων, οὗτός ἐστι καὶ προγέγονας ἐνταῦθα τῆς ψυχῆς, εἴτε μέρος, εἴτε ὄργανον, ὃ τῶν πραγμάτων ἀντιλαμβάνεται φερομένων· καὶ φυλάττει, καὶ ἵστησι, καὶ πύκλον ποιεῖ, τὸ παρωχημένον ἐπιστρέφουσα· καὶ συνάπτουσα τῷ παρόντι, καὶ παραῤῥεῖν εἰς τὸ ἄπειρον οὐκ ἐῶσα καὶ ἀνύπαρκτον καὶ ἄγνωστον.

II. Τὸ γὰρ εἰμαρμένον ἄτρεπτον καὶ ἀπαρύβατον ὥσπερ μόνοι ὀφρῦσι νεύσει καρτερὰ τοῦτῳ κέκλωσ

ἀνάγκα καὶ πεπρωμένη. διὰ τοῦτο τὴν εἱμαρμένην καὶ Ἀδράστειαν καλοῦσιν, ὅτι πέρας τοῖς αἰτίοις ἠναγκασμένον ἐκτείθησιν ἀνέκφυκτος οὖσα καὶ ἀναπόδραστος.

III. Ὁ δὲ Νέστωρ οἷκ ἀβέλτερος; ὑπνοῦ φθονῶν τοῖς τὰς ναῦς φυλάσσουσι, καὶ διαπελευόμενος·

Οὕτω νῦν φίλα τέκνα φυλάσσετε, μηδέ τιν' ὕπνος
Αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν.

οὐ γινησόμεθα, φησί τις, οὐδ' ἂν καθεύδωμεν, εἰ πεπρωμένον ἐστὶ μὴ ἁλῶναι τὸ ναύσταθμον. τίς οὖν ἂν εἴποι πρὸς τοὺς ταῦτα ληροῦντας, ὅτι καθείμαρται μὲν ἴσως πάντα ταῦτα, συγκαθείμαρται δὲ ἑκάστῳ τὸ δι' αὐτῶν, καὶ τὸ ἐν τούτοις, καὶ οὕτω, καὶ τὸ μὴ ἄλλῃ συντελεῖσθαι δίχα τούτων; οὐ γάρ ἐστι φυλακὴ καθεύδόντων, οὐδὲ νίκη φευγόντων, οὐδὲ θερίσαι μὴ σπείραντων τὴν ἀγαθὴν γῆν καὶ καθαράν, οὐδὲ γενῆσθαι μὴ συγγενόμενον γυναικὶ ἡλικίαν ἔχούσῃ καὶ σώματος φύσιν γόνιμον, οὐδ' ἄγρας τυχεῖν ἐν ἀθήροις χωρίοις.

XVI.

Ἐκ τοῦ περὶ Μαντείας, Β.

Τῶν τεχνῶν, ὡς ἔοικε, τὰς μὲν ἡ χρεία συνέστησεν ἐξ ἀρχῆς, καὶ μέχρι νῦν διαφυλάσσει·

Χρειὼ πάντ' ἐδίδαξε, τί δ' οὐ χρείω κεν ἀνεύροι

τῶν ἀναγκαίων; ὑφαντικὴν, οἰκοδομικὴν, ἰατρικὴν, γεωργίαν, καὶ ὅσαι περὶ γεωργίαν ἀναστρέφονται· τὰς δὲ ἡδονή τις προσηγάγετο καὶ κατέσχε, τὴν τῶν μυρεψῶν, καὶ τῶν ὀψοποιῶν, καὶ κομμωτικὴν πᾶσαν, καὶ ἀνθοβάφειαν· ἔστι δὲ ὧν τὴν πιθανότητα καὶ τὴν ἀκρίβειαν καὶ τὸ καθάριον ἀγαπῶντες ἐκμανθάνουσι καὶ περιέπουσι, ὡς ἀριθμητικὴν, καὶ γεωμετρίαν, καὶ κανονικὴν πᾶσαν καὶ ἀστρολογίαν, ἃς φησιν ὁ Πλάτων, καίπερ ἀμελουμένας, βίᾳ ὑπὸ χάριτος αὔξεσθαι.

XVII.

Ἐκ τοῦ περὶ Φιλίας

Ὅθεν οὐ δεῖ παντάπασι ταπεινοῦν τὴν φύσιν, ὡς μηδὲν ἰσχυρὸν, μηδὲ νόμιμον, μηδὲ ὑπὲρ τὴν τύχην, ἔχουσαν· ἀλλὰ τοὐναντίον εἰδότας ὅτι μικρόν ἐστι μέρος τοῦ ἀνθρώπου σαθρόν τε καὶ ἐπίκαιρον, ᾧ δέχεται τὴν τύχην, τῆς δὲ βελτίονος μερίδος αὐτοὶ κρατοῦμεν, ἐν ᾗ τὰ μέγιστα τῶν ἀγαθῶν ἱδρυνθέντα, δόξαι τε χρησταὶ, καὶ μαθήματα, καὶ λόγοι τελευτῶντες εἰς ἀρετὴν, ἀναφαίρετον ἔχουσι τὴν οὐσίαν καὶ ἀδιάφθορον, ἀνεκπλήκτους πρὸς τὸ μέλλον εἶναι, καὶ θαρραλέους, καὶ πρὸς τὴν τύχην λέγοντας ἃ Σωκράτης δοκῶν πρὸς τοὺς κατηγόρους λέγειν, πρὸς τοὺς δικαστὰς ἔλεγεν, ὡς ἀποκτεῖναι μὲν Ἄνυτος καὶ Μέλητος δύνανται, βλάψαι δὲ οὐ δύνανται. καὶ γὰρ ἡ τύχη δύναται νόσῳ περιλαβεῖν, ἀφελέσθαι χρήματα, διαβάλλειν πρὸς δῆμον, ἢ τύραννον· κακὸν δὲ, καὶ δειλὸν, καὶ ταπεινόφρονα, καὶ ἀγεννῆ, καὶ φθονερὸν, οὐ δύναται ποιῆσαι τὸν ἀγαθὸν καὶ ἀνδρώδη καὶ μεγαλόψυχον, οὐδὲ παρελέσθαι τὴν διάθεσιν τῶν καλῶν.

XVIII.

Ἐκ τῆς περὶ φιλίας Ἐπιστολῆς.

I. *Κακίαις αὐτῶν πλάσσονταί τινες ῥημάτων εὐπρέπειαν· τὸ μὲν φιλοσώματον ἁπλοῦν, τὸ δὲ φιλάργυρον προμηθὲς ἀποκαλούμενοι.*

II. *Πολύβουλον εἶναι καὶ πολύτροπον ἄνθρωπον δεῖ καὶ τέχνης κατ' ἀλλοφύλων πολεμίων, χρησιμον καὶ ἀναγκαῖον· ἐπίβουλον δὲ ἦθος καὶ κακομηχανώτατον διὰ παντὸς ἔχειν καὶ κατὰ πάντων, οὐ τῇ τῶν ἀγχινόων, ὥς τινες οἴονται, τῇ δὲ τοῦ πονηροτάτου μερίδι προστίθημι.*

III. *Μάρτυς δ' ἄριστος ὁ μηδὲν μὲν εὐπαθὼν, ἀπὸ δὲ τῆς εἰς ἄλλους εὐνοίας κρίνων.*

IV. *Ἡμερόσητε τοίνυν καὶ εὐεργεσίᾳ μᾶλλον ἢ φόβῳ πρὸς εὔνοιαν ὑπακτέον.*

ἀνάγκα καὶ πεπρωμένη. διὰ τοῦτο τὴν εἱμαρμένην καὶ Ἀδράστειαν καλοῦσιν, ὅτι πέρας ταῖς αἰτίαις ἠναγκασμένον ἐπιτίθησιν ἀνέκφευκτος οὖσα καὶ ἀναπόδραστος.

III. Ὁ δὲ Νέστωρ οἷκ ἀβέλτερος; ὑπνοῦ φθονῶν τοῖς τὰς ναῦς φυλάσσουσι, καὶ διακελευόμενος·

Οὕτω νῦν φίλα τέκνα φυλάσσετε, μηδέ τιν' ὕπνος
Αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν.

οὐ γνησιόμεθα, φησί τις, οὐδ' ἂν καθεύδωμεν, εἰ πεπρωμένον ἐστὶ μὴ ἁλῶναι τὸ ναύσταθμον. τίς οὖν ἂν εἴποι πρὸς τοὺς ταῦτα ληροῦντας, ὅτι καθεύδοντες μὲν ἴσως πάντα ταῦτα, συγκαθείμαρται δὲ ἑκάστῳ τὸ δι' τούτων, καὶ τὸ ἐν τούτοις, καὶ οὕτω, καὶ τὸ μὴ ἄλλως συντελεῖσθαι δίχα τούτων; οὐ γάρ ἐστι φυλακὴ καθεύδόντων, οὐδὲ νίκη φευγόντων, οὐδὲ θεράπαινα μὴ σπειράντων τὴν ἀγαθὴν γῆν καὶ καθαρὰν, οὐδὲ γεωργὸς μὴ συγγενόμενον γυναικὶ ἡλικίαν ἔχούσῃ καὶ σώματος φύσιν γόνιμον, οὐδ' ἄγρας τυχὼν ἐν ἀθήροις χωρίοις.

XVI.

Ἐκ τοῦ περὶ Μαντείας, Β.

Τῶν τεχνῶν, ὡς ἔοικε, τὰς μὲν ἡ χρεία συνέστησεν ἐξ ἀρχῆς, καὶ μέχρι νῦν διαφυλάσσει·

Χρειὼ πάντ' ἐδίδαξε, τί δ' οὐ χρείω κεν ἀνεύροι

τῶν ἀναγκαίων; ὑφαντικὴν, οἰκοδομικὴν, ἰατρικὴν, γεωργίαν, καὶ ὅσαι περὶ γεωργίαν ἀναστρέφονται· τὰς δὲ ἡδονή τις προσηγάγετο καὶ κατέσχε, τὴν τῶν μυρίψων, καὶ τῶν ὀψοποιῶν, καὶ κομμωτικὴν πᾶσαν, καὶ ἀνθοβάφειαν· ἔστι δὲ ὧν τὴν πιθανότητα καὶ τὴν ἀκρίβειαν καὶ τὸ καθάριον ἀγαπῶντες ἐκμανθάνουσι καὶ περιέπουσι, ὡς ἀριθμητικὴν, καὶ γεωμετρίαν, καὶ κανονικὴν πᾶσαν καὶ ἀστρολογίαν, ἃς φησιν ὁ Πλάτων, καίπερ ἀμελουμένας, βίᾳ ὑπὸ χάριτος αὔξεσθαι.

XVII.

Ἐκ τοῦ περὶ Φιλίας

Ὅθεν οὐ δεῖ παντάπασι ταπεινοῦν τὴν φύσιν, ὡς μηδὲν ἰσχυρὸν, μηδὲ νόμιμον, μηδὲ ὑπὲρ τὴν τύχην, ἔχουσαν· ἀλλὰ τοὐναντίον εἰδότας ὅτι μικρόν ἐστι μέρος τοῦ ἀνθρώπου σαθρόν τε καὶ ἐπίκαιρον, ᾧ δέχεται τὴν τύχην, τῆς δὲ βελτίονος μερίδος αὐτοὶ κρατοῦμεν, ἐν ᾗ τὰ μέγιστα τῶν ἀγαθῶν ἱδρυνθέντα, δόξαι τε χρηστοὶ, καὶ μαθήματα, καὶ λόγοι τελευτῶντες εἰς ἀρετὴν, ἀναφαίρετον ἔχουσι τὴν οὐσίαν καὶ ἀδιάφθορον, ἀνεκπλήκτους πρὸς τὸ μέλλον εἶναι, καὶ θαρραλέους, καὶ πρὸς τὴν τύχην λέγοντας ἃ Σωκράτης δοκῶν πρὸς τοὺς κατηγόρους λέγειν, πρὸς τοὺς δικαστὰς ἔλεγεν, ὡς ἀποκτεῖναι μὲν Ἄνυτος καὶ Μέλητος δύνανται, βλάψαι δὲ οὐ δύνανται. καὶ γὰρ ἡ τύχη δύναται νόσῳ περιλαβεῖν, ἀφελέσθαι χρήματα, διαβάλλειν πρὸς δῆμον, ἢ τύραννον· κακὸν δὲ, καὶ δειλὸν, καὶ ταπεινόφρονα, καὶ ἀγεννῆ, καὶ φθονερὸν, οὐ δύναται ποιῆσαι τὸν ἀγαθὸν καὶ ἀνδρώδη καὶ μεγαλόψυχον, οὐδὲ παρελέσθαι τὴν διάθεσιν τῶν καλῶν.

XVIII.

Ἐκ τῆς περὶ φιλίας Ἐπιστολῆς.

I. *Κακίαις* αὐτῶν πλάσσονται τινες ῥημάτων εὐπρέπειαν· τὸ μὲν φιλοσώματον ἁπλοῦν, τὸ δὲ φιλάργυρον προμηθὲς ἀποκαλούμενοι.

II. *Πολύβουλον* εἶναι καὶ πολύτροπον ἦθος δεῖ καὶ τέχνης κατ' ἀλλοφύλων πολεμίων, χρησιμον καὶ ἀναγκαῖον· ἐπίβουλον δὲ ἦθος καὶ κακομηχανώτατον διὰ παντὸς ἔχειν καὶ κατὰ πάντων, οὐ τῇ τῶν ἀγχινόων, ὥς τινες οἴονται, τῇ δὲ τοῦ πονηροτάτου μερίδι προστίθημι.

III. *Μάρτυς* δ' ἄριστος ὁ μηδὲν μὲν εὐπαθὼν, ἀπὸ δὲ τῆς εἰς ἄλλους εὐνοίας κρίνων.

IV. Ἡμερόσητε τοίνυν καὶ εὐεργασίᾳ μᾶλλον ἢ φόβῳ πρὸς εὔνοιαν ὑπακτέον.

V. Ἠπίους οὖν εἶναι δεῖ μετὰ τοῦ ἐμφρονος εἰς τὸ ποινῇ λυσιτελές.

VI. Ὁ Ἀγησίπολις ἡγεμονεύων ἐπειρᾶτο τοὺς καταδικαζομένους ὑπ' αὐτοῦ πείθειν ὅτι πρόσηκεν αὐτοῖς καταδικασθῆναι. οὐ γὰρ ὡς πολέμιος αὐτοῖς, ἔφη, οὐδ' ὡς λῃστὴς καταφέρω τὴν ψῆφον αὐτῶν, ἀλλ' ὡς ἐπιμελητὴς καὶ κηδεμών· ὥσπερ καὶ ὁ ἰατρὸς τὸν τεμνόμενον παραμυθεῖται, καὶ πείθει παρέχειν ἑαυτόν.

VII. Κότυς ὁ τῶν Θρᾳκῶν βασιλεὺς, πικρὸς ἦν τῶν ὑπηκόων κολαστής. τῶν οὖν φίλων τις πρὸς αὐτὸν εἶπε· μικρὰ τοῦτό ἐστι καὶ οὐ βασιλικὰ· ὁ δὲ· ἀλλ' ἡ ἐμὴ, ἔφη, αὕτη μανία τοὺς ἀρχομένους σώφρονας ποιεῖ.

VIII. Ἔτι δὲ κολάσεως ἀπαραίτητος φόβος, αἰτίους ἔστιν ἀφορμῆς· ὁ γὰρ ὀλέθρου αὐτοῦ προλαβὼν, ὁμόσε χωρεῖ κινδύνοις.

IX. Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς θεασάμενος τὸν ἴδιον παῖδα ἄγαν προπετῶς μαχόμενον τοῖς Ἀθηναίοις, εἶπεν· ἦ τῇ δυνάμει πρόσθες, ἢ τοῦ θράσους ἄφελε.

X. Γάμος γὰρ ἀπὸ μὲν φιλίας διττῆς κράσεως βελτίων, ἑτέρως δὲ σφαλερός.

XI. Πλούτῳ μὲν δὴ χρηστέον ὡς ὕλῃ τινὸς, οὐκ ἐπὶ παντὸς ὁμοίως.

XII. Ἀρετὴν οὖν τοῖς πᾶσι μᾶλλον εὐπαίτιον ἢ πλοῦτον, ἀνοήτοις σφαλερόν· ὑπὸ γὰρ χρημάτων αὔξεται κακία· καὶ ὅσῳ τις ἂν ἄρρων ᾖ, τοσούτῳ πλέον ἐξυβρίζει, τὸ λυσσῶδες αὐτοῦ τῶν ἡδονῶν ἐκπληροῦν ἔχων.

XIII. Ἐν πενίᾳ μέν τις διετέλεσεν εὐδαίμων, ὡς ἥκιστα δὲ πλούτῳ καὶ ἀρχαῖς. τοσοῦτον ὑπεραίρει πενίας ἀγαθὸν ὥστ' αἰσχροῦ πλούτου νόμιμος ἀνὴρ οὐδεὶς ἀλλάξαιτ' ἂν πενίαν· εἰ γε μὴ τῶν ποτὲ Ἀθηναίων ὁ πλουσιώτατος ἀμείνων ἦν Ἀριστείδου καὶ Σωκράτους Θεμιστοκλῆς. ὁ Νεοκλέους ἐν πενίᾳ τῇ ἀρετῇ· ὁ δὲ πλοῦτος ἐκείνου αὐτοῦ καὶ αὐτὸς, ἐξίτηλός τε καὶ ἀσύνημος. φαύλῳ γὰρ ἅμα τῷ θνητῷ πάντα συνοικίται. τὸ δὲ καλὸν αἰώνιον.

XIV. Ἀλλὰ δὴ Σωκράτης, Ἀρχιλόου μετακιμα-

μένου αὐτὸν ὡς ποιήσοντος πλούσιον, ἐκέλευσεν ἀπαγγεῖλαι αὐτῷ, διότι Ἀθήνῃσι τέσσαρές εἰσι χοίνικες τῶν ἀλφίτων ὀβολοῦ ὤνιοι, καὶ κρῆναι ὕδατος ῥέουσιν· εἰ γάρ τοι μὴ ἱκανὰ τὰ ὄντα ἐμοὶ, ἀλλ' ἐγὼ τούτοις ἱκανὸς, καὶ οὕτω κἀκεῖνα ἐμοί. ἢ οὐχ ὁρᾷς ὅτι οὐκ εὐφωνότερον οὐδὲν δι' ὧν ὁ Ἡῶλος τὸν τύραννον Οἰδίποδα ὑπεκρίνατο, ἢ τὸν ἐπὶ Κολωνῷ ἀλήτην καὶ πτωχόν; εἶτα χείρων Πώλου ὁ γενναῖος ἀνὴρ φανεῖται, ὡς μὴ πᾶν τὸ περιτεθὲν ἐκ τοῦ δαιμονίου πρόσωπον ὑποκρίνασθαι καλῶς; οὐδὲ τὸν Ὀδυσσέα μιμήσεται ὃς καὶ ἐν ῥάκεσιν οὐδὲν μεῖον διέπρεπεν ἢ ἐν τῇ οὐλῇ γλαίνῃ τῇ πορφυρᾷ.

XV. Ἡ παιδεία κἂν μηδὲν ἕτερον ἀγαθὸν ἔχοι, τό γε συμφοιτᾶν αὐτὴν νυκτὸς καὶ ἡμέρας, ἔξω κακίας, οἷς ἂν ᾖ τις αἰδώς· καὶ πολλοὶ σφᾶς αὐτοὺς καὶ ἄλλους.

XVI. Ὡς μέντοι λαμπρόν ἐστιν εὖ ποιεῖν, οὕτως ἀμειπτέον· ἵνα μὴ μόνον ἀχαριστίας ὄφλῃ τις δίκην, ἀλλὰ καὶ βλάβους κοινοῦ τῶν εὖ πεισομένων εἰς αὐτοὺς ἑτέρων, ἀνακοπῇ πρὸς εὐεργεσίαν.

XIX.

Ἐκ τῶν περὶ Ἡσυχίας.

Σοφὸν ἔοικε χρῆμα τὸ τῆς ἡσυχίας, πρός τ' ἄλλα, καὶ εἰς ἐπιστήμην καὶ φρονήσεως μελέτην· λέγω δὲ οὐ τὴν καπηλικὴν καὶ ἀγοραίαν, ἀλλὰ τὴν μεγάλην, ἥτις ἐξομοιοῖ θεῷ τὸν αὐτὴν ἀναλαβόντα. αἱ μὲν γὰρ ἐν ταῖς πόλεσι καὶ τοῖς τῶν ἀνθρώπων ὄχλοις γινόμεναι μελέται γυμνάζουσι τὴν λεγομένην θρυμμύτητα, πανουργίαν οὖσαν· ὥστε τοὺς ἐν αὐταῖς ἄκρους οἷον ὑπὸ μαγείρων τῶν ἐν ταῖς πόλεσι χρειῶν διαπεποικιλμένους πόσα δ' οὐχὶ καὶ διακονήματα δεινὰ ἐργάζεσθαι. ἡ δὲ ἐρημία σοφίας οὖσα γυμνάσιον, ἠθοποιὸς ἀγαθὴ, καὶ πλάττει καὶ μετευθύνει τῶν ἀνδρῶν τὰς ψυχάς. οὐδὲν γὰρ αὐταῖς ἐμπόδιόν ἐστι τῆς αὐξήσεως, οὐδὲ πρὸς πολλὰ καὶ μικρὰ νόμιμα προσπταίουσαι κάμπτονται εὐθὺ, καθάπερ αἱ ταῖς πόλεσιν ἐναπειλημμέναι ψυχαί·

V. Ἠπίους οὖν εἶναι δεῖ μετὰ τοῦ ἔμφρονος εἰς τὸ κοινῇ λυσιτελές.

VI. Ὁ Ἀγριππῖνος ἡγεμονεύων ἐπειρᾶτο τοὺς καταδικαζομένους ὑπ' αὐτοῦ πείθειν ὅτι προσήκει αὐτοῖς καταδικασθῆναι. οὐ γὰρ ὡς πολέμιος αὐτοῖς, ἔφη, οὐδ' ὡς λῃστὴς καταφέρω τὴν ψῆφον αὐτῶν, ἀλλ' ὡς ἐπιμελητὴς καὶ κηδεμών· ὥσπερ καὶ ὁ ἰατρὸς τὸν τεμνόμενον παραμυθεῖται, καὶ πείθει παρέχειν ἑαυτόν.

VII. Κότυς ὁ τῶν Θρᾳκῶν βασιλεὺς, πικρὸς ἦν τῶν ὑπηκόων κολαστής. τῶν οὖν φίλων τὶς πρὸς αὐτὸν εἶπε· μανία τοῦτό ἐστι καὶ οὐ βασιλεία· ὁ δέ· ἀλλ' ἡ ἐμὴ, ἔφη, αὕτη μανία τοὺς ἀρχομένους σώφρονας ποιεῖ.

VIII. Ἔτι δὲ κολάσεως ἀπαραίτητος φόβος, αἴτιός ἐστιν ἀπονοίας· ὁ γὰρ ὄλεθρον αὑτοῦ προλαβὼν, ὁμόσε χωρεῖ κινδύνοις.

IX. Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς θεασάμενος τὸν ἴδιον παῖδα ἄγαν προπετῶς μαχόμενον τοῖς Ἀθηναίοις, εἶπεν· ἢ τῇ δυνάμει πρόσθες, ἢ τοῦ θράσους ἄφελε.

X. Γάμος γὰρ ἀπὸ μὲν φιλίας διττῆς κράσεως βελτίων, ἑτέρως δὲ σφαλερός.

XI. Πλούτῳ μὲν δὴ χρηστέον ὡς ὕλῃ τινὸς, οὐκ ἐπὶ παντὸς ὁμοίως.

XII. Ἀρετὴν οὖν τοῖς πᾶσι μᾶλλον εὐκταῖον ἢ πλοῦτον, ἀνοήτοις σφαλερόν· ὑπὸ γὰρ χρημάτων αὔξεται κακία· καὶ ὅσῳ τις ἂν ἄφρων ᾖ, τοσούτῳ πλέον ἐξυβρίζει, τὸ λυσσῶδες αὐτοῦ τῶν ἡδονῶν ἐκπληροῦν ἔχων.

XIII. Ἐν πενίᾳ μέν τις διετέλεσεν εὐδαίμων, ὡς ἥκιστα δὲ πλούτῳ καὶ ἀρχαῖς. τοσοῦτον ὑπεραίρει πενίας ἀγαθὸν ὥστ' αἰσχροῦ πλούτου νόμιμος ἀνὴρ οὐδεὶς ἀλλάξαιτ' ἂν πενίαν· εἴ γε μὴ τῶν ποτὲ Ἀθηναίων ὁ πλουσιώτατος ἀμείνων ἦν Ἀριστείδου καὶ Σωκράτους Θεμιστοκλῆς ὁ Νεοκλέους ἐν πενίᾳ τῆς ἀρετῆς· ὁ δὲ πλοῦτος ἐκείνου αὐτοῦ καὶ αὑτὸς, ἐξίτηλός τε καὶ ἀνώνυμος. φαύλῳ γὰρ ἅμα τῷ θανάτῳ πάντα συνοίχεται. τὸ δὲ καλὸν αἰώνιον.

XIV. Ἀλλὰ δὴ Σωκράτης, Ἀρχελάου μυσαπερα-

μένου αὐτὸν ὡς ποιήσοντος πλούσιον, ἐκέλευσεν ἀπαγγεῖλαι αὐτῷ, διότι Ἀθήνῃσι τέσσαρές εἰσι χοίνικες τῶν ἁλφίτων ὀβολοῦ ὠνιοι, καὶ κρῆναι ὕδατος ῥέουσιν· εἰ γάρ τοι μὴ ἱκανὰ τὰ ὄντα ἐμοί, ἀλλ' ἐγὼ τούτοις ἱκανὸς, καὶ οὕτω κἀκεῖνα ἐμοί. ἢ οὐχ ὁρᾷς ὅτι οὐκ εὐφωνότερον οὐδὲν δι' ὧν ὁ Ἴωλος τὸν τύραννον Οἰδίποδα ὑπεκρίνατο, ἢ τὸν ἐπὶ Κολωνῷ ἀλήτην καὶ πτωχόν; εἶτα χείρων Ἰώλου ὁ γενναῖος ἀνὴρ φανεῖται, ὡς μὴ πᾶν τὸ περιτεθὲν ἐκ τοῦ δαιμονίου πρόσωπον ὑποκρίνασθαι καλῶς; οὐδὲ τὸν Ὀδυσσέα μιμήσεται ὃς καὶ ἐν ῥάκεσιν οὐδὲν μεῖον διέπρεπεν ἢ ἐν τῇ οὐλῇ γλαίνῃ τῇ πορφυρᾷ.

XV. Ἡ παιδεία κἂν μηδὲν ἕτερον ἀγαθὸν ἔχοι, τό γε συμφοιτᾶν αὐτὴν νυκτὸς καὶ ἡμέρας, ἔξω κακίας, οἷς ἂν ᾖ τις αἰδώς· καὶ πολλοὶ σφᾶς αὐτοὺς καὶ ἄλλους.

XVI. Ὡς μέντοι λαμπρόν ἐστιν εὖ ποιεῖν, οὕτως ἀμειπτέον· ἵνα μὴ μόνον ἀχαριστίας ὄφλῃ τις δίκην, ἀλλὰ καὶ βλάβους κοινοῦ τῶν εὖ πεισομένων εἰς αὐτούς ἑτέρων, ἀνακοπῇ πρὸς εὐεργεσίαν.

XIX.

Ἐκ τῶν περὶ Ἡσυχίας.

Σοφὸν ἔοικε χρῆμα τὸ τῆς ἡσυχίας, πρός τ' ἄλλα, καὶ εἰς ἐπιστήμην καὶ φρονήσεως μελέτην· λέγω δὲ οὐ τὴν καπηλικὴν καὶ ἀγοραίαν, ἀλλὰ τὴν μεγάλην, ἥτις ἐξομοιοῖ θεῷ τὸν αὐτὴν ἀναλαβόντα. αἱ μὲν γὰρ ἐν ταῖς πόλεσι καὶ τοῖς τῶν ἀνθρώπων ὄχλοις γινόμεναι μελέται γυμνάζουσι τὴν λεγομένην θρυμμύτητα, πανουργίαν οὖσαν· ὥστε τοὺς ἐν αὐταῖς ἄκρους οἷον ὑπὸ μαγείρων τῶν ἐν ταῖς πόλεσι χρειῶν διαπεποικιλμένους πόσα δ' οὐχὶ καὶ διακονήματα δεινὰ ἐργάζεσθαι. ἡ δὲ ἐρημία σοφίας οὖσα γυμνάσιον, ἠθοποιὸς ἀγαθὴ, καὶ πλάττει καὶ μετευθύνει τῶν ἀνθρώπων τὰς ψυχάς. οὐδὲν γὰρ αὐταῖς ἐμπόδιόν ἐστι τῆς αὐξήσεως, οὐδὲ πρὸς πολλὰ καὶ μικρὰ νόμιμα προσπταίουσαι κάμπτονται εὐθύ, καθάπερ αἱ ταῖς πόλεσιν ἐναπειλημμέναι ψυχαί·

V. Ἠπίους οὖν εἶναι δεῖ μετὰ τοῦ ἔμφρονος εἰς τὸ ποινῇ λυσιτελές.

VI. Ὁ Ἀγριππῖνος ἡγεμονεύων ἐπειρᾶτο τοὺς καταδικαζομένους ὑπ' αὐτοῦ πείθειν ὅτι προσήκει αὐτοῖς καταδικασθῆναι. οὐ γὰρ ὡς πολέμιος αὐτοῖς, ἔφη, οὐδ' ὡς λῃστὴς καταφέρω τὴν ψῆφον αὐτῶν, ἀλλ' ὡς ἐπιμελητὴς καὶ κηδεμών· ὥσπερ καὶ ὁ ἰατρὸς τὸν τεμνόμενον παραμυθεῖται, καὶ πείθει παρέχειν ἑαυτόν.

VII. Κότυς ὁ τῶν Θρᾳκῶν βασιλεὺς, πικρὸς ἦν τῶν ὑπηκόων κολαστής. τῶν οὖν φίλων τὶς πρὸς αὐτὸν εἶπε· μανία τοῦτό ἐστι καὶ οὐ βασιλεία· ὁ δέ· ἀλλ' ἡ ἐμὴ, ἔφη, αὕτη μανία τοὺς ἀρχομένους σώφρονας ποιεῖ.

VIII. Ἔτι δὲ κολάσεως ἀπαραίτητος φόβος, αἰτίος ἐστὶν ἀπονοίας· ὁ γὰρ ὅλεθρον αὐτοῦ προλαβὼν, ὁμόσε χωρεῖ κινδύνοις.

IX. Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς θεασάμενος τὸν ἴδιον παῖδα ἄγαν προπετῶς μαχόμενον τοῖς Ἀθηναίοις, εἶπεν· ἢ τῇ δυνάμει πρόσθες, ἢ τοῦ θράσους ἄφελε.

X. Γάμος γὰρ ἀπὸ μὲν φιλίας διττῆς κράσεως βελτίων, ἑτέρως δὲ σφαλερός.

XI. Πλούτῳ μὲν δὴ χρηστέον ὡς ὕλῃ τινὸς, οὐκ ἐπὶ παντὸς ὁμοίως.

XII. Ἀρετὴν οὖν τοῖς πᾶσι μᾶλλον εὐκταῖον ἢ πλοῦτον, ἀνοήτοις σφαλερόν· ὑπὸ γὰρ χρημάτων αὔξεται κακία· καὶ ὅσῳ τις ἂν ἄρρων ᾖ, τοσούτῳ πλέον ἐξυβρίζει, τὸ λυσσῶδες αὐτοῦ τῶν ἡδονῶν ἐκπληροῦν ἔχων.

XIII. Ἐν πενίᾳ μέν τις διετέλεσεν εὐδαίμων, ὡς ἥκιστα δὲ πλούτῳ καὶ ἀρχαῖς. τοσοῦτον ὑπεραίρει πενίας ἀγαθὸν ὥστ' αἰσχροῦ πλούτου νόμιμος ἀνὴρ οὐδεὶς ἀλλάξαιτ' ἂν πενίαν· εἴ γε μὴ τῶν ποτὲ Ἀθηναίων ὁ πλουσιώτατος ἀμείνων ἦν Ἀριστείδου καὶ Σωκράτους Θεμιστοκλῆς ὁ Νεοκλέους ἐν πενίᾳ τῇ ἀρετῆς· ὁ δὲ πλοῦτος ἐκείνου αὐτοῦ καὶ αὐτὸς, ἐξίτηλός τε καὶ ἀνώνυμος. φαύλῳ γὰρ ἅμα τῷ θανάτῳ πάντα συνοίχεται. τὸ δὲ καλὸν αἰώνιον.

XIV. Ἀλλὰ δὴ Σωκράτης, Ἀρχιλάου μεταπεμ-

μένου αὐτὸν ὡς ποιήσοντος πλούσιον, ἐκέλευσεν ἀπαγγεῖλαι αὐτῷ, διότι Ἀθήνῃσι τέσσαρές εἰσι χοίνικες τῶν ἀλφίτων ὀβολοῦ ὤνιοι, καὶ κρῆναι ὕδατος ῥέουσιν· εἰ γάρ τοι μὴ ἱκανὰ τὰ ὄντα ἐμοὶ, ἀλλ' ἐγὼ τούτοις ἱκανὸς, καὶ οὕτω κἀκεῖνα ἐμοί. ἢ οὐχ ὁρᾷς ὅτι οὐκ εὐφωνότερον οὐδὲν δι' ὧν ὁ Πῶλος τὸν τύραννον Οἰδίποδα ὑπεκρίνατο, ἢ τὸν ἐπὶ Κολωνῷ ἀλήτην καὶ πτωχόν; εἶτα χείρων Πώλου ὁ γενναῖος ἀνὴρ φανεῖται, ὡς μὴ πᾶν τὸ περιτεθὲν ἐκ τοῦ δαιμονίου πρόσωπον ὑποκρίνασθαι καλῶς; οὐδὲ τὸν Ὀδυσσέα μιμήσεται ὃς καὶ ἐν ῥάκεσιν οὐδὲν μεῖον διέπρεπεν ἢ ἐν τῇ οὐλῇ γλαίνῃ τῇ πορφυρᾷ.

XV. Ἡ παιδεία κἂν μηδὲν ἕτερον ἀγαθὸν ἔχοι, τό γε συμφοιτᾶν αὐτὴν νυκτὸς καὶ ἡμέρας, ἔξω κακίας, οἷς ἂν ᾖ τις αἰδώς· καὶ πολλοὶ σφᾶς αὐτοὺς καὶ ἄλλους.

XVI. Ὡς μέντοι λαμπρόν ἐστιν εὖ ποιεῖν, οὕτως ἀμειπτέον· ἵνα μὴ μόνον ἀχαριστίας ὄφλῃ τις δίκην, ἀλλὰ καὶ βλάβους κοινοῦ τῶν εὖ πεισομένων εἰς αὐτοὺς ἑτέρων, ἀνακοπῇ πρὸς εὐεργεσίαν.

XIX.

Ἐκ τῶν περὶ Ἡσυχίας.

Σοφὸν ἔοικε χρῆμα τὸ τῆς ἡσυχίας, πρός τ' ἄλλα, καὶ εἰς ἐπιστήμην καὶ φρονήσεως μελέτην· λέγω δὲ οὐ τὴν καπηλικὴν καὶ ἀγοραίαν, ἀλλὰ τὴν μεγάλην, ἥτις ἐξομοιοῖ θεῷ τὸν αὐτὴν ἀναλαβόντα. αἱ μὲν γὰρ ἐν ταῖς πόλεσι καὶ τοῖς τῶν ἀνθρώπων ὄχλοις γινόμεναι μελέται γυμνάζουσι τὴν λεγομένην θρυμύτητα, πανουργίαν οὖσαν· ὥστε τοὺς ἐν αὐταῖς ἄκρους οἷον ὑπὸ μαγείρων τῶν ἐν ταῖς πόλεσι χρειῶν διαπεποικιλμένους πόσα δ' οὐχὶ καὶ διακονήματα δεινὰ ἐργάζεσθαι. ἡ δὲ ἐρημία σοφίας οὖσα γυμνάσιον, ἠθοποιὸς ἀγαθὴ, καὶ πλάττει καὶ μετευθύνει τῶν ἀνθρώπων τὰς ψυχάς. οὐδὲν γὰρ αὐταῖς ἐμπόδιόν ἐστι τῆς αὐξήσεως, οὐδὲ πρὸς πολλὰ καὶ μικρὰ νόμιμα προσπταίουσαι κάμπτονται εὐθὺ, καθάπερ αἱ ταῖς πόλεσιν ἐναπειλημμέναι ψυχαί·

ἀλλ' ἐν ἀέρι καθαρῷ, καὶ τὰ πολλὰ ἔξω διαιτώμεναι τῶν ἀνθρώπων, ἀνιᾶσιν ὀρθαὶ καὶ πτεροφυοῦσιν, ἀρδόμεναι τῷ διαυγεστάτῳ τε καὶ λειοτάτῳ ῥεύματι τῆς ἡσυχίας, ἐν ᾧ τά τε μαθήματα τοῦ νοῦ θειοδίστερα, καὶ καθαρώτερον ὁρᾷν. διὰ τοῦτό τοι καὶ τῶν θεῶν τὰ ἱερὰ, ὅσα ἐκ τοῦ πάλαι ἀρχαίου νενόμισται, τοῖς ἐρημοτάτοις χωρίοις οἱ πρῶτοι, μάλιστα δὲ Μουσῶν τε, καὶ Πανὸς, καὶ Νυμφῶν καὶ Ἀπόλλωνος, καὶ ὅσαι Μουσικῆς ἡγεμόνες θεοί· διακρίναντες, ὡς οἶμαι τὰς παιδείας κατὰ τῶν ἐν ταῖς πόλεσι δεινῶν τε καὶ μικρῶν τινῶν.

XX.

Ἐκ τοῦ κατὰ τῆς Ἡδονῆς.

Ὅτι τὰ σώματα ἀνίησιν ἡ ἡδονὴ, καθ' ἡμέραν ἐκμαλάττουσα ταῖς τρυφαῖς· ὧν ἡ συνέχεια παραιρεῖται τὸν τόνον, ἀναχαλῶσα τὴν ἰσχὺν αὐτῶν· ἐξ ὧν ῥᾳστώνη μὲν νόσων, ῥᾳστώνη δὲ καμάτων, προμελετώμενον δ' ἐν μισότητι γῆρας.

II. Θηρίον ἐστὶ δουλαγωγὸν ἡδονὴ, ἀλλ' οὐκ ἄγριον εἴθε γὰρ ἦν· φανερῶς ἂν πολεμοῦσα, ταχέως ἐάλω. νῦν δὲ καὶ ταύτη μισητότερον, ὅτι κλέπτει τὴν ἔχθραν ὑποδυομένη σχῆμα εὐνοίας· ὥστε διχῇ ἀποτρόπαιον, καὶ ὧν βλάπτει, καὶ ὧν ψεύδεται.

III. Τὰς μὲν οὖν δικαίας ἡδονὰς, οὐκ ἔτ' ἂν ἡδονὰς οὔτε καλέσαιμεν οὔτε ἴσμεν, ἀλλὰ θεραπείας. ὅσαι δὴ παρὰ ταύτας πᾶσαι ὕβρεις περιτταί εἰσι, πεπληρωμέναι, βιαζόμεναι, καὶ ταῖς ποικιλίαις κολακεύουσαι, λανθάνουσι βλάπτουσαι. ὁ δὲ εἰς τὰ ἡμέτερα νόμος, ὁ καὶ τῶν ἀλόγων ζώων, μετὰ τὸ ἀπέσασθαι τὰς ἐπιθυμίας οὐδενὸς ὄρεξις, ἀλλὰ κόρος τῶν ἐπειγόντων ἐβιάστως ἡδοναῖς.

IV. Μή τις προδότας ἐπαινεῖ; τοιοῦτόν ἐστιν ἡδονή· προδίδωσι τὰ τῆς ἀρετῆς. μή τις βασανιστάς; τοιοῦτόν ἐστι τὸ ἥδεσθαι· βασανίζει τὰ τῆς σωφροσύνης. μή τις φιλαργυρίαν; ἀπλήρωτόν ἐστιν ἐπι-

ρον. τί τηλικούτῳ χαίρομεν θηρίῳ, ὃ κολακεῖον ἡμῖς ἀναλίσκει;

V. Τί δ' οὐ πάντων ὁρώντων ἀκρατεύεις, ἀλλὰ καὶ σαυτὸν αἰδούμενος φεύγεις, νυκτὶ καὶ σκότῳ τοῖς ὠμαρτύροις πιστεύων τὴν ὕβριν. οὐδεὶς γὰρ τῶν καλῶν ἔργων σκότος παραβάλλει, τὸ φῶς αὐτοῖς μαρτυρεῖν αἰσχυνόμενος· ἀλλὰ ὅλον ἅμα τὸν κόσμον ἥλιον γενέσθαι πρὸς ἃ κατορθοῖ, βούλοιτ' ἄν. ἅπασα δὲ κακία ὁρᾶσθαι γυμνὴ φυλάττεται, σκέπην προβαλλομένη τὰ πάθη. ἀποκόψαντες οὖν αὐτὰς, γυμνὰς βλέπωμεν τὰς ἡδονάς. μεθύουσιν εἰς ἀναισθησίαν, λαγνεύουσιν εἰς αἰῶνα, καθεύδουσιν εἰς ἔργα, οὐκ ἐπιστρέφονται πόλεων, οὐ φροντίζουσι γονέων, οὐκ αἰσχύνονται νόμους.

XXI.

Ἐκ τοῦ κατὰ Πλούτου.

I. Φύσει μὲν γὰρ δυσχαλίνωτον ὄρεξις· προσλαβοῦσα δὲ καὶ πλούτου χορηγίαν, ἀχαλίνωτον.

II. Ἀλλ' ἀπληστία, καὶ ἄπιστός ἐστιν ἐν αὐτοῖς μανία· τοιούτῳ μὲν ἐνθουσιασμῷ χρῆσθαι περὶ τὴν κτῆσιν, ὡς εἰ κτήσαιντο, μηκέτι κακουμένους. τοσαύτῃ δὲ ἀμελείᾳ περὶ τὰ ληφθέντα, ὡς μὴ γενόμενα. δυσερωτῶσι δὲ τῶν ἀπόντων, ὑπερορῶντες ὧν ἔχουσιν· οὐδὲν γὰρ οὕτως ἀγαπῶσιν, ὡς δὲ ἐλπίζουσιν. οὐκ οἶδα πότερον αὐτοῖς ἄμεινόν ἐστιν ἔχειν ἢ προσδοκᾶν· ἔχοντες γὰρ, οὐ χρῶνται· προσδοκῶντες δὲ κάμνουσι. τί οὖν ἐπαινοῦμεν τοιοῦτον ἀγαθὸν, οὗ πέρας ἐστὶν οὐδὲν, ἀλλὰ τὸ ληφθὲν ἑτέρων ἀρχή.

III. Οὐδέποτε λιμὸς ἐγέννησε μοιχείαν· οὐδέποτε ἀπορία χρημάτων, ἀσωτίαν. βραχεῖα τίς ἐστι σωφροσύνη τὸ πενιτεύειν· ὀλίγη τις εὐνομία, τὸ ἀπορεῖσθαι.

IV. Ἀρκεσίλαος τὴν πενίαν λυπρὰν μὲν ἔλεγεν εἶναι, ὥσπερ καὶ τὴν Ἰθάκην, ἀγαθὴν δὲ κουροτρόφον, ἐθίζουσαν συνεῖναι λιτότητι καὶ καρτερίᾳ, καὶ καθόλου γυμνάσιον ἀρετῆς ἐμπρακτον.

XXII.

Ἐκ τοῦ ὅτι καὶ γυναῖκα παιδευτέον.

I. Ἀμαθίαν, ὥς φησιν Ἡράκλειτος καὶ ἄλλως κρίπτειν ἔργον· ἐν οἴνῳ δὲ χαλεπώτερον. καὶ Πλάτων δέ φησιν, ἐν οἴνῳ τὰ ἤθη φανερὰ γίγνεσθαι· ὥσπερ καὶ Ὅμηρος — οὐδὲ τραπέζῃ γνώτην ἀλλήλων.

II. Σοφοκλῆς ἐμέμφετο Αἰσχύλῳ, ὅτι μεθύων ἔγραφε· καὶ γὰρ εἰ τὰ δέοντα ποιεῖ, ἀλλ' οὐκ εἰδώς γε.

III. Πυθαγόρας ἐρωτηθεὶς, πῶς ἂν οἰνόφλυξ τοῦ μεθύειν παύσαιτο· εἰ συνεχῶς, ἔφη, θεωροίη τὰ ὑπ' αὐτοῦ πρασσόμενα.

IV. Τῷ Διονύσῳ νάρθηκα καὶ λήθην συγκαθιεροῦσι, ὡς μὴ δέον μνημονεύειν τῶν ἐν οἴνῳ πλημμεληθέντων, ἀλλὰ νουθεσίας παιδικῆς δεομένων. ᾧ συνᾴδει καὶ τό· μισῶ μνήμονα συμπόταν. ὁ δ' Εὐριπίδης τῶν ἀτόπων τὴν λήθην σοφὴν εἴρηκε.

V. Μὴ παιδὶ μάχαιραν, ἡ παροιμία φησίν· ἐγὼ δὲ φαίην, μὴ παιδὶ πλοῦτον, μηδὲ ἀνδρὶ ἀπαιδεύτῳ δυναστείαν.

VI. Ἀρχύτας ἀναγνοὺς τὸν Ἐρατοσθένους Ἑρμῆν, τοῦτον ἐπήνεγκε τὸν στίχον·

Χρειὼ πάντ' ἐδίδαξε· τί δ' οὐ χρειώ κεν ἀνεύροι·

καὶ τοῦτο·

Ὀρθοῦσι, καὶ μᾶλλον ἐπωδύνουσι μέριμναι.

VII. Τροφώνιος καὶ Ἀγαμήδης ποιήσαντες ἐν Δελφοῖς ναὸν, ᾔτουν παρὰ τοῦ Ἀπόλλωνος τὸν μισθόν· ὁ δὲ αὐτοῖς ἔφη δώσειν τῇ ἑβδόμῃ ἡμέρᾳ· καὶ ταύτῃ ἀπέθανον. ἔτι δὲ Κλέοβις καὶ Βίτων, Κυδίππης τῆς μητρὸς αὐτῶν εὐξαμένης τῇ Ἥρᾳ, δοῦναι τοῖς παισὶν ὅπερ ἂν εἴη κάλλιστον, ὅτι ἑαυτοὺς ὑποζεύξαντες τὴν μητέρα εἰς τὸ ἱερὸν ἀνήγαγον, τὸν βίον παραχρῆμα κατέστρεψαν, εἰς οὓς καὶ τοιόνδε τις ἐπίγραμμα πεποίηκεν·

Οἵδε Βίτων Κλέοβίς τ' ἐπὶ σώμασιν οἰκείοισιν
Ζεύγλαν ζευξάμενοι, μητέρα ἣν ἀγέτην
Ἥρας εἰς ἱερὸν· λαοὶ δέ μιν ἐζήλωσαν
Εὐτεκνίας παίδων. ἡ δὲ χαρεῖσα, Θεῷ

Εὔξατο, παῖδε τυχεῖν τοῦ ἀρίστου δαίμονος αἴσης,
Οὕνεκ' ἐτίμησαν μητέρα τὴν σφετέρην.
Αὐτοῦ δ' εὐνηθέντε, λίπον βίον ἐν νεότητι,
Ὡς τὸδ' ἄριστον ἐὸν καὶ μακαριστότατον.

XXIII.

Ἐκ τοῦ περὶ Διαβολῆς.

I. *Οἱ νεώνητοι δοῦλοι οὐκ εἰ δεισιδαίμων ἢ φθονερὸς πυνθάνονται ὁ δεσπότης, ἀλλ' εἰ ὀργίλος.*

II. *Τὸν φθόνον ἔνιοι τῷ καπνῷ εἰκάζουσι· πολὺς γὰρ ἐν τοῖς ἀρχομένοις ὢν, ὅταν ἐκλιμφθῶσιν, ἀφανίζεται. ἥκιστα γοῦν τοῖς πρεσβυτέροις φθονοῦσιν.*

III. *Ἱππίας λέγει δύο εἶναι φθόνους· τὸν μὲν δίκαιον, ὅταν τις τοῖς κακοῖς φθονῇ τιμωμένοις· τὸν δὲ ἄδικον, ὅταν τοῖς ἀγαθοῖς. καὶ διπλῷ τῶν ἄλλων οἱ φθονεροὶ κακοῦνται· οὐ γὰρ μόνον τοῖς οἰκείοις κακοῖς ἄχθονται, ὥσπερ ἐκεῖνοι, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς.*

IV. *Ἱππίας φησὶν, ὅτι δεινόν ἐστιν ἡ διαβολία, οὕτως ὀνομάζων· ὅτι οὐδὲ τιμωρία τὶς κατ' αὐτῶν γέγραπται ἐν τοῖς νόμοις, ὥσπερ τῶν κλεπτῶν· καί τοι ἄριστον ὂν κτῆμα τὴν φιλίαν κλέπτουσιν· ὥστε ἡ ὕβρις κακοῦργος οὖσα, δικαιοτέρα ἐστὶ τῆς διαβολῆς, διὰ τὸ μὴ ἀφανὴς εἶναι.*

XXIV.

Ἐκ τοῦ κατὰ τῆς τοῦ σώματος ἰσχύος.

Τί δαί σοι τοιοῦτον ἀγαθὸν εὐτυχεῖται μᾶλλον, ὡς ἕνεκα τούτου μητροιὰν μὲν τῶν ἀνθρώπων, μητέρα δὲ τῶν ἀλόγων ζώων γεγενῆσθαι τὴν φύσιν, μεγέθους καὶ ὀξύτητος καὶ εὐρωπίας χάριν; ἡ δὲ ἀνθρώπων ἰδίως ἰσχὺς ὁ ψυχῆς ἐστι λογισμὸς, ᾧ καὶ ἐλέφαντας ὑπὸ δρυμὸν εἶλε ποδάγραις, καὶ ἵππους ἐχαλίνωσε, καὶ βόας ἀρότροις ὑπέζευξε, καὶ τὰ ἐναέρια κατέσπασε καλάμοις, καὶ τὰ βύθια δεδυκότα δικτύοις ἀνήγαγε· τοῦτ' ἔστιν ἰσχύς. ἡ δ' ἐκ μείζων, ὅταν γῆς περιώδους, καὶ οὐρα-

νοῦ μεγέθη, καὶ ἀστέρων κύκλους διώκουσα μὴ καμῇ. ταῦτ' ἦν Ἡρακλέους ἄξια. τίς γὰρ οὐκ ἂν βούλοιτο μᾶλλον Ὀδυσσεὺς εἶναι ἢ Κύκλωψ;

XXV.

Ἐκ τοῦ περὶ Ἔρωτος.

I. Τῶν Μενάνδρου δραμάτων ὁμαλῶς ἁπάντων ἐν συνεκτικόν ἐστιν ὁ ἔρως, οἷον πνεῦμα κοινὸν διαπεφυκώς. Ὃν οὖν μάλιστα θιασώτην τοῦ θεοῦ καὶ ὀργιαστὴν τὸν ἄνδρα συμπεριλαμβάνομεν εἰς τὴν ζήτησιν· ἐπεὶ καὶ λελάληκεν περὶ τοῦ πάθους φιλοσοφώτερον. ἄξιον γὰρ θαύματος φῆσαι τὸ περὶ τοὺς ἐρῶντας, ὥσπερ ἔνεσιν ἅμα λαλεῖ· εἶτα ἀπορεῖ καὶ ζητεῖ πρὸς ἑαυτόν·

Τίνι δεδούλωταί ποτε;
Ὄψει; φλύαρος· τῆς γὰρ αὐτῆς πάντες ἂν
Ἥρων· κρίσιν γὰρ τὸ βλέπειν ἴσην ἔχει.
Ἀλλ' ἡδονή τις τοὺς ἐρῶντας ἐπάγεται
Συνουσίας; πῶς οὖν ἕτερος ταυτην ἔχων
Οὐδὲν πέπονθεν, ἀλλ' ἀπῆλθε καταγελῶν,
Ἕτερος ἀπόλωλε, καιρός ἐστιν ἡ νόσος
Ψυχῆς· ὁ πληγεὶς δ' ἔσω δὴ τιτρώσκεται.

Ταῦτα τίνα ἐστὶ σκεψώμεθα· καὶ γὰρ ἔχει τι κρουσικὸν καὶ κινητικὸν αἴτιον· μήτε τὴν συνουσίαν αἰτίαν εἶναι πιθανὸν ἔσει· ἀρχαὶ γὰρ αὐταί τινες ἴσως, ἡ δὲ ἰσχὺς καὶ ῥίζωσις τοῦ πάθους ἐν ἑτέροις. ἡ δ' ἀπόδειξις ἐλαφρὰ καὶ οὐδ' ἀληθής. οὐ γὰρ ἔχει κρίσιν τὸ βλέπειν, ὥσπερ οὐδὲ τὸ γεύεσθαι. καὶ γὰρ ὄψις ὄψεως, καὶ ἀκοῆς ἀκοή, φύσει τε μᾶλλον διήρθρωται, καὶ τέχνῃ συγγυμνασταὶ πρὸς τὴν τοῦ καλοῦ διάγνωσιν· ἐν μὲν ἁρμονίαις καὶ μέλεσιν αἱ τῶν μουσικῶν· ἐν δὲ μορφαῖς καὶ ἰδέαις αἱ τῶν ζώων φρένες· ὥσπερ εἰπεῖν ποτε Νικόμαχον λέγουσι πρὸς ἄνθρωπον ἰδιώτην, φήσαντα μὴ καλὴν αὐτῷ φανῆναι τὴν Ζεύξιδος Ἑλένην· Λάβε, γὰρ ἔφη, τοὺς ἐμοὺς ὀφθαλμούς, καὶ θὲς σοι φανήσεται. πολὺ δὲ καὶ μυρεψοὶ περὶ τὰ ὑσφραντὰ, καὶ νὴ Δία

ψοποιοὶ περὶ τὰ γευστὰ, διατριβῇ καὶ συνηθείᾳ διαφέρουσαν ἡμῶν κρίσιν ἔχουσι. πάλιν δὲ τὸ συνουσίᾳ τὸν ἔρωτα μὴ κρατεῖσθαι διὰ τὸ τῇ αὐτῇ συγγενόμενον ἄλλον ἀπαλλαγῆναι καὶ καταφρονῆσαι, τοιοῦτόν ἐστιν, οἷον εἴ λέγοι τις, μηδὲ χυμῶν ἡδονῇ δεδουλῶσθαι Φιλόξενον τὸν ὀψοφάγον, ὅτι τῶν αὐτῶν Ἀντιθένης γευσάμενος, οὐδὲν ἔπαθε τοιοῦτον· μηδὲ ὑπὸ οἴνου μεθύειν Ἀλκιβιάδην, ὅτι Σωκράτης πίνων τὸν ἴσον οἶνον ἔνηφεν. Ἀλλὰ ταῦτα μὲν ἐάσωμεν· τὰ δ' ἐφεξῆς ἐν οἷς ἤδη τὴν αὐτοῦ δόξαν ἀποφαίνεται, σκοπῶμεν. καιρός ἐστιν ἡ νόσος ψυχῆς. εὖ καὶ ὀρθῶς. δεῖ γὰρ ἅμα τοῦ πάσχοντος εἰς ταὐτὸ καὶ τοῦ ποιοῦντος ἀπάντησιν γενέσθαι, πρὸς ἄλληλά πως ἐχόντων· ὡς ἄκυρον εἰς τὴν τοῦ τέλους ἀπεργασίαν ἡ δραστικὴ δύναμις, ἂν μὴ παθητικὴ διάθεσις ᾖ. τοῦτο δὲ εὐστοχίας ἐστὶ καιροῦ τῷ παθεῖν ὁμοῦ πως συνάπτοντος ἐν ἀκμῇ τὸ ποιεῖν πεφυκός.

II. Οἱ μὲν γὰρ νοῦν τὸν ἔρωτα, οἱ δ' ἐπιθυμίαν, οἱ δὲ μανίαν, οἱ δὲ θεῖόν τι κίνημα ψυχῆς καὶ δαιμόνιον, οἱ δὲ ἄντικρυς θεὸν ἀναγορεύουσιν. ὅθεν ὀρθῶς ἐνίοις ἔδοξε τὸ μὲν ἀρχόμενον ἐπιθυμίαν εἶναι, τὸ δ' ὑπερβάλλον μανίαν, τὸ δὲ ἀντίστροφον φιλίαν, τὸ δὲ ταπεινότερον ἀρρώστιαν, τὸ δ' εὐημεροῦν ἐνθουσιασμόν. διὸ καὶ πυρφόρον αὐτὸν οἵ τε ποιηταὶ λέγουσιν, οἵ τε πλάσται καὶ γραφεῖς δημιουργοῦσιν· ὅτι καὶ τοῦ πυρὸς τὸ μὲν λαμπρὸν ἥδιστόν ἐστιν, τὸ δὲ καυστικὸν ἀλγεινότατον.

III. Ὥσπερ γὰρ τοὺς φίλους ὑγιαίνοντας μὲν ἂν πλημμελῶσιν ἐξελέγχειν καὶ νουθετεῖν κράτιστόν ἐστιν, ἐν δὲ ταῖς παρακοπαῖς καὶ τοῖς φρενετισμοῖς εἰώθαμεν μὴ διαμάχεσθαι μηδὲ ἀντιτείνειν, ἀλλὰ καὶ συμπερυφέρεσθαι καὶ συνεπινεύειν· οὕτω τοὺς δὲ ὀργὴν ἢ πλεονεξίαν ἁμαρτάνοντας ἀνακόπτειν τῇ παῤῥησίᾳ δεῖ καὶ κωλύειν, τοῖς δ' ἐρῶσιν, ὥσπερ νοσοῦσι, συγγνώμην ἔχειν. διὸ κράτιστον μὲν ἐξ ἀρχῆς τοιούτου πάθους σπέρμα μὴ παραδέχεσθαι, μηδὲ ἀρχήν· ἂν δὲ ἐγγένηται, ἴθι ἐπὶ ἀποτροπαίων βωμοὺς θεῶν, κατὰ Πλά-

τωνα, ἴθι ἐπὶ τὰς τῶν σοφῶν ἀνδρῶν συνουσίας· ἐξέλασον αὐτοῦ τὸ θηρίον πρὶν ὄνυχας φύσαι καὶ ὀδόντας· εἰ δὲ μὴ, μαχέσῃ τελείῳ κακῷ, τὸ παιδίον τοῦτο καὶ νήπιον ἐναγκαλιζόμενος. τίνες δέ εἰσιν οἱ τοῦ ἔρωτος ὄνυχες καὶ ὀδόντες; ὑποψία, ζηλοτυπία. ἀλλὰ ἔχει τι πιθανὸν καὶ ἀνθηρόν; ἀμέλει καὶ ἡ σφὶγξ εἶχεν ἐπαγωγὸν τὸ ποίκιλμα τοῦ πτεροῦ, καὶ

Εἰ μὲν πρὸς αὐγὰς ἡλίου, χρυσωπὸν ἦν
Νώτισμα θηρός· εἰ δὲ πρὸς νέφη βάλοι,
Κυανωπὸν, ὥς τις Ἶρις, ἀνταυγεῖ σέλας.

οὕτω δὴ καὶ ὁ ἔρως ἔχει τι χάριεν καὶ οὐκ ἄμουσον, ἀλλὰ αἱμύλον καὶ ἐπιτερπές· ἁρπάζει δὲ καὶ βίους, καὶ οἴκους, καὶ γάμους, καὶ ἡγεμόνας, οὐκ αἰνίγματα προβάλλων, ἀλλ' αὐτὸς αἴνιγμα δυσεύρετον ὢν καὶ δύσλυτον. εἰ βούλοιτό τις προτείνειν, τί μισεῖ καὶ φιλεῖ, τί φεύγει καὶ διώκει, καὶ ἀπειλεῖ καὶ ἱκετεύει, τί ὀργίζεται καὶ ἐλεεῖ. βούλεται παύσασθαι καὶ οὐ βούλεται, τί χαίρει τῷ αὐτῷ μάλιστα καὶ ἀνιᾶται, τοῦτο λῦσαι καὶ θεραπεῦσαι. τῆς μὲν γὰρ σφιγγὸς τὸ αἴνιγμα τὰ πλεῖστα καὶ πεπλασμένα ἔχει· οὔτε γὰρ τρίπους ὁ γέρων ἀληθῶς, εἰ προσείληφε τοῖς ποσὶ βοηθεῖν· οὔτε τετράπους ὁ νήπιος, ἐπεὶ ταῖς χερσὶν ὑπερείδει τὴν τῶν βάσεων ὑγρότητα καὶ ἀσθένειαν. τὰ δὲ τῶν ἐρώντων πάθη ἀληθῆ· στέργουσιν, ἐχθραίνουσι· τὸν αὐτὸν ποθοῦσιν ἀπόντα, τρέμουσι παρόντα· κολακεύουσι, λοιδοροῦσι, προαποθνήσκουσι φονεύουσιν, εὔχονται μὴ φιλεῖν, καὶ παύσασθαι φιλοῦντες οὐ θέλουσι· σωφρονίζουσι καὶ πηρῶσι· παιδεύουσι καὶ διαφθείρουσιν· ἄρχειν θέλουσι, καὶ δουλεύειν ὑπομένουσι. τοῦτο αἴτιον γέγονε μάλιστα τοῦ μανίαν ὑποληφθῆναι τὸ πάθος·

Ἤρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς·

ἐρωτικὸς ἀνὴρ Εὐριπίδης φησίν.

IV. Ὁ ἔρως, οὔτε τὴν γένεσιν ἐξαίφνης λαμβάνει καὶ ἀθρόαν, ὡς ὁ θυμός· οὔτε παρέρχεται ταχέως, καίπερ εἶναι πτηνὸς λεγόμενος· ἀλλ' ἐξάπτεται μαλακῶς, καὶ σχεδὸν οἷον ἐκτήκων ἑαυτόν· ἁψάμενός τε τῆς ψυχῆς παραμένει πολὺν χρόνον, οὐδ' ἐν γηρῶσιν ἐνίοις ἀ-

ναπαυόμενος, ἀλλὰ ἐν πολιαῖς ἀκμάζων ἔτι πρόσφατος καὶ νεαρός· ἂν δὲ καὶ λήξῃ καὶ διαλυθῇ, χρόνῳ μαρανθείς, ἢ λόγῳ τινὶ κατασβεσθείς, οὔπω παντάπασιν ἐξαπήλλακται τῆς ψυχῆς· ἀλλ' ἐναπολείπει πυρίκαυτον ὕλην, καὶ σημεῖα θερμά, καθάπερ οἱ κεραυνοὶ τυφόμενοι. λύπης μὲν γὰρ οὐδὲν ἀπαλλαγείσης ἴχνος ἐν τῇ ψυχῇ παραμένει συνοικοῦν, οὐδ' ὀργῆς τραχείας πεσούσης, στέλλεται δὲ καὶ φλεγμονὴ ἐπιθυμίας παρεχούσης τραχὺ κίνημα· τὰ δὲ ἐρωτικὰ δήγματα, κἂν ἀποστῇ τὸ θηρίον, οὐκ ἐξανίησι τὸν ἰόν· ἀλλ' ἐνιδροῖ τὰ ἐντὸς σπαράγματα, καὶ ἀγνοεῖται τί ἦν, πῶς συνέστη, πόθεν εἰς τὴν ψυχὴν ἐνέπεσεν.

V. Καὶ τοὺς καλοὺς ὁρᾶν μὲν ἐπιτερπέστατον, ἅψασθαι δὲ καὶ λαβεῖν οὐκ ἀκίνδυνον· μᾶλλον δὲ, ὡς φησιν ὁ Ξενοφῶν, τὸ μὲν πῦρ τοὺς ἁψαμένους καίει μόνον, οἱ δὲ καλοὶ καὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν· ἡ γὰρ ὄψις λαβὴ τοῦ πάθους ἐστί.

XXVI.

Περὶ κάλλους.

I. *Τί γάρ; οὐ σύνθετον φύσις ἀνθρώπων ἐκ σώματος καὶ ψυχῆς; ἢ θάτερον ἄρκουν ἦμιν; καὶ πῶς οἷόν τε; τὸ μὲν γὰρ οὐκ ἂν εἴη μὴ χρώμενον ψυχῇ· ψυχὴ δ' οὐκ ἂν εἴη μὴ ἔχουσα τὸ συνερεῖδον. τί οὖν; ὥσπερ ἐξ ἴσου κοσμεῖται ἑκάτερα τοῖς συγγενέσιν, ἡ μὲν δικαιοσύνῃ καὶ σωφροσύνῃ καὶ φρονήσει, τὸ δὲ ἰσχύϊ καὶ κάλλει καὶ ὑγιείᾳ· καὶ πῶς οὐ θαυμαστὸν, λέγειν τὰ τῆς ψυχῆς καλὰ, τὰ τοῦ σώματος ὑπερορῶντα;*

II. *Ἡ γοῦν τοῦ σώματος εὐμορφία, ψυχῆς ἐστιν ἔργον σώματι χαριζομένης δόξαν εὐμορφίας. πεσέτω γοῦν θανάτῳ τὸ σῶμα, καὶ τῆς ψυχῆς μετωκισμένης, οὐ στάσις, οὐ χρῶμα, οὐκ ὀφθαλμὸς, οὐ φωνή· οὐδὲν ἔτι καταλείπεται τῶν ἐρασμίων, προδεδομένον ὑπὸ τῶν ἀρχαίων οἰκητόρων. ὥστε καὶ τὴν ψυχὴν συνυβρίζεις λανθάνων, ἧς ἐστιν ἀνθρώπου κάλλος.*

III. *Ἀλλὰ μήν, ὥσπερ ἔφην, οὐδὲν τῶν ἄλλων κινδύ-*

νων γένεσίς ἐστιν, ἀλλὰ μόνου τοῦ σώματος. τὰ μὲν γὰρ τῆς ψυχῆς κάλλη, καὶ σωτηρίας ἐλπίδες εἰσί· φρόνησις, εὐσέβεια, δικαιοπραγία, καὶ τὸ παιδείας εὐπρόσωπον κάλλος, οἴκου καὶ πόλεως καὶ ἐθνῶν, ἀθόρυβος εἰρήνη διατελεῖ γενομένη· ἡ δὲ γυναικῶν εὐμορφία ἀφορμὴ τοῖς πάθεσι καὶ ταῖς ἐπιθυμίαις.

XXVII

Ἐκ τοῦ περὶ Ὀργῆς.

Ὅσα δὲ ὀργῇ χρώμενοι πράττουσιν ἄνθρωποι, ταῦτα ἀνάγκη τυφλὰ εἶναι καὶ ἄνοητα καὶ τοῦ παντὸς ἁμαρτάνειν. οὐ γὰρ οἷόν τε ὀργῇ χρώμενον, λογισμῷ χρῆσθαι· τὸ δὲ ἄνευ λογισμοῦ ποιούμενον πᾶν ἄτεχνόν τε καὶ διεστραμμένον. λόγον οὖν ἡγεμόνα χρὴ ποιησάμενον, οὕτως ἐπιχειρεῖν τοῖς κατὰ τὸν βίον ἔργοις, τὰς ἑκάστοτε προσπιπτούσας ὀργὰς διορθούμενον καὶ διανεύοντα ὥσπερ οἱ κυβερνῆται τὰ κύματα τὰ προσφερόμενα. ἔστι γοῦν οὐκ ἔλαττον τὸ δέος, ὀργῆς ἀντιπρόρου κυλινδουμένης, αὐτὸν καὶ σύμπαντα οἶκον ἄρδην ἀπολέσαι καὶ ἀναστρέψαι μὴ διαπλεύσαντα δεξιῶς. οἱ μὴν ἀλλ' ἐπιμελείας εἰς αὐτὰ δεῖ καὶ μελέτης, ἣ καὶ μάλιστα ἀλίσκονται κατύκρας οἱ παραδεξάμενοι τὸν θυμὸν ὡς σύμμαχον ἀρετῆς ἀπολαύοντες ὅσον αὐτοῦ χρήσιμόν ἐστιν ἔν τε πολέμῳ καὶ νῇ Δία ἐν πολιτείαις, τὸ πολὺ δὲ αὐτοῦ καὶ τὸ ἐπιπόλαιον ἐκκρίνειν καὶ ἐκβάλλειν τῆς ψυχῆς, ὅπερ ὀργή τε καὶ πικρία δὲ ὀξυθυμίαν λέγεται, νομίσματα ἥκιστα ταῖς ἀφελείαις ψυχαῖς πρέποντα. τίς οὖν ἐν τῇ ἡλικίᾳ τούτων γίγνεται μελέτη; ἐμοὶ δοκεῖ μάλιστ' ὄν ὧδε γίγνεσθαι, πόῤῥωθεν ἡμῶν προμελετώντων καὶ προαποπλούντων πλεῖστον, οἷον ἐν οἰκέταις τε καὶ πρὸς γυναῖκας τὰς γαμετάς. ὁ γὰρ οἴκοι πρᾶος, καὶ δημοσίᾳ πρᾶος· πολὺ μᾶλλον ἔσται, τοιοῦτος ἔνδοθεν καὶ ὑπὸ τῶν οἴκοι πεποιημένος αὐτῷ τῆς αὐτοῦ ψυχῆς εἶναι ἀγαθός.

XXVIII.

Περὶ τοῦ γεγονέναι κατὰ Πλάτωνα τὸν κόσμον.

Ὅ γε μὴν οὗτοί τε κοινῇ, καὶ οἱ πλεῖστοι τῶν χρωμένων Πλάτωνι, φοβούμενοι καὶ παραλυπούμενοι, πάντα μηχανῶνται καὶ παραβιάζονται καὶ στρέφουσιν ὅς τι δεινὸν καὶ ἄῤῥητον οἰόμενοι δεῖν περικαλύπτειν καὶ ἀρνεῖσθαι τήν τε τοῦ κόσμου τήν τε τῆς ψυχῆς αὐτοῦ γένεσιν καὶ σύστασιν, οὐκ ἐξ ἀϊδίου συνεστώτων, οὐδὲ τὸν ἄπειρον χρόνον οὕτως ἐχόντων, ἰδίᾳ τε λόγου τέτευχε —.

XXIX.

Περὶ δικαιοσύνης πρὸς Χρύσιππον.

I. *Ὅτι μὲν οὖν ἄτοπόν ἐστι τοὺς φιλοσόφους τὸν ἐναντίον λόγον οἰομένους δεῖν τιθέναι, μὴ μετὰ συνηγορίας, ἀλλ' ὁμοίως τοῖς δικολόγοις κακοῦνται, ὥσπερ οὐ πρὸς τὴν ἀλήθειαν, ἀλλὰ περὶ νίκης ἀγωνιζομένους, εἴρηται πρὸς αὐτὸν δι' ἑτέρων.*

II. *Ἃ μὲν οὖν ῥητέον ὑπὲρ Πλάτωνος, ἐν ἄλλοις γέγραπται πρὸς αὐτόν.*

XXX.

Περὶ ἡμερῶν.

I. *Περὶ δ' ἡμερῶν ἀποφράδων, εἴτε χρὴ τίθεσθαί τινας, εἴτε μὴ, ὀρθῶς Ἡράκλειτος ἐπέπληξεν Ἡσιόδῳ, τὰς μὲν ἀγαθὰς ποιουμένῳ, τὰς δὲ, φαύλας, ὡς ἀγνοοῦντι φύσιν ἡμέρας ἁπάσης μίαν οὖσαν, ἑτέρωθι διηπόρηται.*

II. *Ἀθηναῖοι τὴν περὶ Νάξον ἐνίκων ναυμαχίαν, ἧς Χαβρίας ἐστρατήγει, τοῦ Βοηδρομιῶνος περὶ τὴν πανσέληνον· ἐν δὲ Σικελίᾳ περὶ τὰς εἰκάδας· ὡς ἡμῖν ἐν τῷ περὶ ἡμερῶν ἀποδέδεικται.*

XXXI.

Περὶ κυνηγετικῆς.

Αὐτόβουλος. Δέδια δή, ὦ φίλοι, μὴ καὶ το τῆς κυνηγεσίας ἐγκώμιον ἐχθὲς ἀνεγνωσμένον, ἐπάρῃ τοῦ μετρίου πέρα τοὺς φιλοθήρους ἡμῖν νεανίσκους, ὥστε τἄλλα πάρεργα καὶ τὸ μηδὲν ἡγεῖσθαι, πρὸς τοῦτο παντάπασι ῥυέντας· ὅπου δοκῶ μοὶ καὶ αὐτὸς ἐκ νέας αὖθις ἀρχῆς παρ' ἡλικίαν ἐμπαθέστερος γεγονέναι, καὶ ποθεῖν ὥσπερ ἡ Εὐριπίδου Φαίδρα

κυσὶ θωῦξαι
Βαλίαις ἐλάφοις ἐγχριπτόμενος.

οὕτως ἔθιγέ μου πυκνὰ καὶ πιθανὰ τῶν ἐπιχειρημάτων ἐπάγων ὁ λόγος.

Σώκλαρος. Ἀληθῆ λέγεις, ὦ Αὐτόβουλε· καὶ γὰρ ἐκεῖνος ἔδοξέ μοι τὸ ῥητορικὸν ἐγεῖραι διὰ χρόνου χαριζόμενος καὶ συνεαρίζων τοῖς μειρακίοις· μάλιστα δὲ ἥσθην τοὺς μονομάχους αὐτοῦ παραθέντος, ὡς οὐχ ἥκιστα τὴν θηρευτικὴν ἄξιον ἐπαινεῖν ὅτι τοῦ πεφυκότος ἐν ἡμῖν ἢ μεμαθηκότος χαίρειν μάχαις ἀνδρῶν πρὸς ἀλλήλους διὰ σιδήρου, τὸ πολὺ δεῦρο τρέψασα καθαρὰν παρέχει θέαν, ἅμα τέχνης καὶ τόλμης νοῦν ἐχούσης πρὸς ἀνόητον ἰσχὺν καὶ βίαν ἀντιταττομένης καὶ ἐπαινούσης τὸ Εὐριπίδειον

Βραχύ τοι σθένος ἀνέρος·
Ἀλλὰ ποικιλίαις πραπίδων
Δαμᾷ φῦλα πόντου
Χθονίων τ' ἀερίων τε παιδευμάτων.

XXXII.

Μύθων ἢ μυθικῶν διηγημάτων.

Πλουτάρχου δὲ εἰ τὰ μυθικὰ διηγήματα τῶν σῶν εἴσω χειρῶν ἀφῖκτο, οὔ ποτ' ἂν ἐλελήθει σε τίνι διαφέρει πλάσαι τε ἐξ ἀρχῆς μῦθον, καὶ τὸν κείμενον ἐφαρμόσαι πράγμασιν οἰκείοις.

XXXIII.

Ἐκ τῶν Βίων.

α.

Ἡρακλέους Βίος.

I. Ὅτι δὲ Ἡρακλῆς πρῶτος ἀπέδωκε νεκροὺς τοῖς πολεμίοις, ἐν τοῖς περὶ Ἡρακλέους γέγραπται.

II. *Plutarchus* in libro quem de Herculis quali inter homines fuerit animi corporisque ingenio et virtutibus conscripsit, „scite subtiliterque ratiocinatum „Pythagoram Philosophum dicit in reperienda modu„landaque status longitudinisque eius praestantia. „Nam quum fere constaret, curriculum stadii, quod „est Pisae ad Jovis Olympii, Herculem pedibus suis „metatum, idque fecisse longum pedes sexcentos, ce„tera quoque stadia in terra Graecia, ab aliis postea „instituta, pedum quidem esse numero sexcentum, „sed tamen aliquantulum breviora; facile intellexit „modum spatiumque plantae Herculis ratione propor„tionis habita, tanto fuisse quam aliorum procerius, „quanto Olympicum stadium longius esset, quam cae„tera. Comprehensis autem mensura Herculani pedis, „quanta longinquitas corporis ei mensurae conveniret, „secundum naturalem membrorum omnium inter se „competentiam, modificatus est: atque ita id collegit „quod erat consequens, tanto fuisse Herculem corpore „excelsiorem quam alios, quanto Olympicum stadium „ceteris pari numero factis anteiret.“

III. Chaeroneus *Plutarchus* nostrarum esse partium comprobatur, qui „in Oetaeis verticibus Hercu„lem post morborum comitialium ruinas dissolutum „in cinerem“, prodidit.

β.

Δαΐφαντου βίος.

Τὸ δὲ τῶν Φωκίδων ἐνδόξου μὲν οὐ τετυχηκε συγ-

γραφέως, οὐδενὸς δὲ τῶν γυναικείων ἧττον εἰς ἀρετὴν ἐστι· μαρτυρούμενον ἱεροῖς τε μεγάλοις ἃ δρῶσι Φωκεῖς ἔτι νῦν περὶ Γάμπολιν καὶ δόγμασι παλαιοῖς, ὧν τὸ μὲν καθ' ἕκαστον τῆς πράξεως ἐν τῷ Δαΐφαντου βίῳ γέγραπται —.

γ'.

Ἀριστομένους βίος.

Ἐκ ταύτης (Ἀνδανίας) Ἀριστομένης ἐγένετο, ἐπιφανέστατος στρατηγός. τοῦτον οἱ Λακεδαιμόνιοι πολλάκις αὐτοὺς νικήσαντα θαυμάσαντες, ὡς μόλις ἐκράτησαν ἐν τῇ Μεσσηνιακῇ, ἀνατεμόντες ἐσκόπουν εἰ παρὰ τοὺς λοιποὺς ἐστί τι. καὶ εὗρον σπλάγχνον ἐξηλλαγμένον καὶ τὴν καρδίαν δασεῖαν, ὡς Ἡρόδοτος, καὶ Πλούταρχος, καὶ Ῥιανός.

δ'.

Λεωνίδου βίος.

Ὅσα μὲν οὖν ἄλλα πρὸς τούτῳ τολμήματα καὶ ῥήματα τῶν Σπαρτιατῶν παραλέλοιπεν, ἐν τῷ Λεωνίδου βίῳ γραφήσεται· μικρὰ δὲ οὐ χεῖρόν ἐστι καὶ νῦν διελθεῖν. ἀγῶνα μὲν γὰρ ἐπιτάφιον αὐτῷ ἠγωνίσαντο πρὸ τῆς ἐξόδου, καὶ τοῦτον ἐθεῶντο πατέρες αὐτῶν καὶ μητέρες. αὐτὸς δὲ ὁ Λεωνίδας πρὸς μὲν τὸν εἰπόντα παντελῶς ὀλίγους ἐξάγειν αὐτὸν ἐπὶ τὴν μάχην, πολλοὺς μέν, ἔφη, τεθνηξομένους. πρὸς δὲ τὴν γυναῖκα πυνθανομένην ἐξιόντος εἴ τι λέγει, μετασιραφεὶς εἶπεν ἀγαθοῖς γαμεῖσθαι καὶ ἀγαθὰ τίκτειν. ἐν δὲ Θερμοπύλαις μετὰ τὴν κύκλωσιν, δύο τῶν ἀπὸ γένους ὑπεξελέσθαι βουλόμενος, ἐπιστολὴν ἐδίδου τῷ ἑτέρῳ, καὶ ἔπεμπεν· ὁ δὲ οὐκ ἐδέξατο, φήσας μεθ' ὀργῆς· μαχατός τοι, οὐκ ἀγγελιαφόρος εἰπόμαν· τὸν δὲ ἕτερον ἐκέλευεν εἰπεῖν τι πρὸς τὰ τέλη τῶν Σπαρτιατῶν· ὁ δὲ ἀπεκρίνετο τῷ πράγματι, καὶ τὴν ἀσπίδα λαβὼν, εἰς τάξιν κατέστη.

ε.

Ἐπαμεινώνδου βίος.

Πολλῶν δὲ σημείων μοχθηρῶν γενομένων, ὡς ἐν τῷ περὶ Ἐπαμεινώνδου γέγραπται, καὶ Προθόου τοῦ Λάκωνος ἐναντιουμένου πρὸς τὴν στρατείαν, οὐκ ἀνῆκεν ὁ Ἀγησίλαος, ἀλλ' ἐξέπραξε τὸν πόλεμον, ἐλπίζων αὐτοῖς μὲν αὐτονόμου τῆς Ἑλλάδος ὅλης ὑπαρχούσης, ἐκσπόνδων δὲ τῶν Θηβαίων γενομένων, καιρὸν εἶναι δίκην λαβεῖν παρ' αὐτῶν.

ς'.

Σκιπίωνος βίος.

Ἀννίβας δὲ συμπάντων ἀπέφαινε τῶν στρατηγῶν, πρῶτον μὲν ἐμπειρίᾳ καὶ δεινότητι Πύρρον· Σκιπίωνα δὲ, δεύτερον· ἑαυτὸν δὲ τρίτον· ὡς ἐν τοῖς περὶ Σκιπίωνος γέγραπται.

ζ.

Σκιπίωνος Ἀφρικανοῦ.

I. *Οὐ δεῖ δὲ θαυμάζειν εἰ Νασικᾶν μεμίσηκεν οὕτως ὁ δῆμος· ὅπου καὶ Σκιπίων ὁ Ἀφρικανὸς, οἳ δοκοῦσι Ῥωμαῖοι μηδένα δικαιότερον μηδὲ μᾶλλον ἀγαπῆσαι, παρὰ μικρὸν ἦλθεν ἐκπεσεῖν καὶ στέρεσθαι τῆς πρὸς τὸν δῆμον εὐνοίας· ὅτι πρῶτον μὲν ἐν Νομαντίᾳ τὴν τελευτὴν τοῦ Τιβερίου πυθόμενος ἀνεφώνησεν ἐκ τῶν Ὁμηρικῶν*

Ὡς ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι·

ἔπειτα τῶν περὶ Γάϊον καὶ Φούλβιον αὐτοῦ δι' ἐκκλησίας πυνθανομένων τί φρονοίη περὶ τῆς Τιβερίου τελευτῆς, οὐκ ἀρεσκομένην τοῖς ὑπ' ἐκείνου πεπολιτευμένοις ἀπόκρισιν ἔδωκεν. ἐκ τούτου γὰρ ὁ μὲν δῆμος ἀντέκρουσεν αὐτῷ λέγοντι, μηδέπω τουτὶ ποιήσας πρότερον· αὐτὸς δὲ τὸν δῆμον εἰπεῖν κακῶς προήχθη. περὶ μὲν οὖν τούτων ἐν τῷ Σκιπίωνος βίῳ τὰ καθ' ἕκαστα γέγραπται.

II. *Καὶ ὅτε Σκιπίων Ἀφρικανὸς ἐξ οὐδενὸς αἰτίου προφανοῦς ἐτελεύτησε, καὶ σημειά τινα τῷ νεκρῷ πλη-*

γῶν καὶ βίας ἐπιδραμεῖν ἔδοξεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται, τὸ μὲν πλεῖστον ἐπὶ τὸν Φούλβιον ἦλθε τῆς διαβολῆς, ἐχθρὸν ὄντα, καὶ τὴν ἡμέραν ἐκείνην ἐπὶ τοῦ βήματος τῷ Σκιπίωνι λελοιδορημένον· ἥψατο δὲ καὶ τοῦ Γάτου ὑπόνοια. καὶ δεινὸν οὕτως ἔργον ἐπ' ἀνδρὶ τῷ πρώτῳ καὶ μεγίστῳ Ῥωμαίων τολμηθὲν οὐκ ἔτυχε δίκης, οὐδὲ εἰς ἔλεγχον προῆλθεν· ἐνέστησαν γὰρ οἱ πολλοὶ, καὶ κατέλυσαν τὴν κρίσιν, ὑπὲρ τοῦ Γάτου φοβηθέντες, μὴ περιπετὴς τῇ αἰτίᾳ τοῦ φόνου ζητουμένου γένηται.

ή.

Μετέλλου βίος.

Ἀλλὰ γὰρ ὅσης μὲν ἀπέλαυσεν εὐνοίας παρὰ τὴν φυγὴν καὶ τιμῆς Μέτελλος, ὃν δὲ τρόπον ἐν Ῥόδῳ φιλοσοφῶν διητήθη, βέλτιον ἐν τοῖς περὶ ἐκείνου γραφομένοις εἰρήσεται.

θ'

Τιβερίου βίος.

Ἀλλὰ καὶ Τιβερίῳ ὄνος, ὡς Πλούταρχος ὁ Χαιρωνεὺς φησιν, ἔτι μειρακίῳ ὄντι, καὶ ἐν Ῥόδῳ ἐπὶ λόγοις ῥητορικοῖς διατρίβοντι, τὴν βασιλείαν διὰ τοῦ αὐτοῦ παθήματος προεμήνυσεν.

ι.

Κράτητος βίος.

Ἐντυχὼν δὲ τῷ Χαιρωνείῳ Πλουτάρχῳ τὸν Κράτητος ἀναγράψαντι βίον οὐθὲν ἐκ παρέργου τοῦ μεθάνειν δεήσει τὸν ἄνδρα. οὗτος ἡγεμὼν ἐγένετο Ζήνωνι τῶν καλῶν δογμάτων· ἐπὶ τούτου φασὶ τοὺς Ἕλληνας ἐπιγράφειν τοῖς ἑαυτῶν οἴκοις ἐπὶ τῶν προπυλαίων. Εἴσοδος Κράτητι Ἀγαθῷ Δαίμονι.

ια.

Αὐγούστου βίος.

Τούτου τοῦ βίου λείψανα νομιστέον τὰ ἐνεγραφόμενα ἐν τοῖς φερομένοις Ἀποφθέγμασι Πλουτάρχου.

XXXIV.

Ἀελίψανα συγγράμμάτων ἀδήλων.

Ἐν τῷ Στοβαίου Ἀνθολογίῳ.

I. Περὶ τῆς καθ' Ὅμηρον ἐχεμυθίας διὰ τούτου σαφῶς δείκνυται· λέγει γὰρ

Θερσίτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ὀχορητής,
Ἴσχεο, μηδ' ἔθελ' οἷος ἐριζέμεναι βασιλῆϊ.

καὶ τοῦ Τηλεμάχου εἰπόντος,

Ἴλαλά τις Θεῶν ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν·
ἐπιλαμβάνμενος ὁ πατὴρ ἔφη,

Σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε·
Αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ Ὄλυμπον ἔχουσι.

τοῦτο ἐξήγησιν οἱ Πυθαγορικοὶ καλοῦντες οὐδὲν ἀπεκρίνοντο τοῖς περὶ θεῶν ὅ τι τύχοιεν ἱταμῶς καὶ εὐχερῶς ἐρωτῶσι.

II. Νέους δὲ ζηλωτέον τοὺς γέροντας, κατὰ Σιμωνίδην

Ἄθηλος ἵππῳ πῶλος ὡς ἅμα τρέχειν.

καθάπερ φησὶν ὁ Πλάτων ἐπὶ τοῦ μιγνυμένου πρὸς ὕδωρ ἀκράτου, μαινόμενον θεὸν ἑτέρῳ θεῷ νήφοντι σωφρονίζεσθαι.

III. Καὶ μὴν οὐδέν ἐστιν οὕτω τῆς Πυθαγορικῆς φιλοσοφίας ἴδιον, ὡς τὸ συμβολικόν, οἷον ἐν τελετῇ, μεμιγμένον φωνῇ καὶ οἰωπῇ διδασκαλίας γένος· ὥστε μὴ λέγειν

Ἀείσω ξυνετοῖς· θύρας δ' ἐπιθέσθε βέβηλοι·

ἀλλ' αὐτόθεν ἔχειν φῶς καὶ χαρακτῆρα τοῖς συνήθεσι τὸ φραζόμενον, τυφλὸν δὲ καὶ ἄσημον εἶναι τοῖς ἀπείροις. ὡς γὰρ ὁ ἄναξ ὁ ἐν Δελφοῖς οὔτε λέγει οὔτε κρύπτει, ἀλλὰ σημαίνει, κατὰ τὸν Ἡράκλειτον· οὕτω τῶν Πυθαγορικῶν συμβόλων, καὶ τὸ φράζεσθαι δοκοῦν κρυπτόμενόν ἐστι, καὶ τὸ κρύπτεσθαι νοούμενον.

IV. Ἀλλὰ μάλιστα διψῶν ἀπέθανε τῆς γυναικὸς, ἐρῶν ἐρώσης ἀπολιπόμενος. οὐθὲν εἰπεῖν οὔτε ποιῆσαι πρὸς αὐτὴν ἐταμὸν ἐτόλμησαν· ἀλλ' οὕτως ἐνεκαρτέ-

ρησαν ἀμφότεροι τῷ πρέποντι, ὥσπερ ἀποδειξασθαι θέλοντες ὅτι πλεῖστον αἰδοῦς ἔρωτι δικαίῳ μέτεστιν. ὅθεν ἥκιστα πλεῖστον αὐτῇ φαίνεται χρόνον ἀνὴρ συμβεβιωκέναι. πάντα γὰρ διόλου τὸν δεκαετῆ χρόνον ὁμαλῶς συνεβίωσαν. αἱ δὲ ἄλλοις συνοικοῦσιν οὐ συμβιοῦσιν, ὅταν λυπῶσι τοὺς ἄνδρας, ἢ ζηλοτυπῶσιν, ἢ διαφέρονται περὶ χρημάτων, ἢ κακῶς λέγωσι, ἢ φεύγωσι θρυπτόμεναι τὰς φιλοφροσύνας καὶ συνδιαιτήσεις· ὥστε ἂν τοῦτον ἐξαίρῃς τὸν χρόνον ἐν ᾧ ταῦτα πράττουσιν, ἀπολείπεται βραχὺς ἐκεῖνος ὃ τῆς συμβιώσεως.

V. Εἰ μὲν οὖν ὀρθῶς ἐπὶ Πλάτωνος εἶπε Διογένης τί ὄφελος ἡμῖν ἀνδρὸς ὃς πολὺν ἤδη χρόνον φιλοσοφῶν, οὐδένα λελύπηκεν· ἕτεροι κρίνωσιν. Ἴσως γὰρ ὡς τὸ μέλι δεῖ καὶ τὸν λόγον τοῦ φιλοσόφου τὸ γλυκὺ θηκτικὸν ἔχειν τῶν ἡλκωμένων.

VI. Καίτοι περί γε τῶν γερόντων ὁ Σοφοκλῆς εὖ ῥηκε χαριέντως

Σμικρὰ παλαιὰ σώματ' εὐπάζαι ῥοπή.

καταγωγὴ γὰρ ἔοικεν ὁ γεροντικὸς Θάνατος· ἐκβολὴ δὲ καὶ ναυάγιόν ἐστιν ὁ τῶν νέων· ἐκπίπτει γὰρ ἡ ψυχὴ βίᾳ συντριβομένου τοῦ σώματος.

VII. Ὄνειρῳ ἔοικεν ὁ τῶν ἀπαιδεύτων βίος, κενὰς ἔχων φαντασίας.

VIII. Οὔτ' ἐν ἰχθῦσι φωνὴν, οὔτε ἐν ἀπαιδεύτοις ἀρετὴν δεῖ ζητεῖν.

IX. Δυσάρεστοι ὄντες οἱ ἀπαίδευτοι, καθάπερ ἐξ οἰκιῶν τῶν προαιρέσεων καθ' ἡμέραν μετοικίζονται.

X. Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι διαπλανῶνται.

XI. Μήτε λίαν πολυτελῶς, μήτε ἄγαν εὐτελῶς, πειρῶ τὰ περὶ τὴν ἐσθῆτα καὶ δίαιταν καὶ τὴν ἑτέραν διαγωγὴν τὸ σῶμα διοικεῖν· τὸ μὲν γὰρ φθονεῖσθαι ἢ γελᾶσθαι ποιεῖ, τὸ δὲ μισεῖσθαι ἢ ἐλεεῖσθαι.

XII. Καὶ ὁδοῦ καὶ ἀληθείας χαλεπὸν ἀποπλανηθῆναι.

XIII. Τῆς ἀγνοουμένης ἀρετῆς, ὥσπερ τοῦ κατορυγμένου χρυσίου ἡ λαμπρότης οὐ βλέπεται.

XIV. *Τὸ μὲν ἴσον ζυγῷ, τὸ δὲ ἀληθὲς τῷ ἐκ φιλοσοφίας λόγῳ κρίνεται.*

XV. *Ἡ μὲν τροφὴ τοῖς γυμναζομένοις, ἡ δὲ ἀρετὴ τοῖς πεπαιδευμένοις ἡδεῖα φαίνεται.*

XVI. *Φρόνησις εὐτυχίαν ὡς τὰ πολλὰ χαρίζεται, τύχη δὲ φρόνησιν οὐ ποιεῖ.*

XVII. *Ἐπισκοτεῖ τῷ μὲν ἡλίῳ πολλάκις τὰ νέφη, τῷ δὲ λογισμῷ τὰ πάθη.*

XVIII. *Ἐκ μὲν τοῦ ποδὸς τὴν ἄκανθαν, ἐκ δὲ τῆς ἀλόγου ψυχῆς τὴν ἄγνοιαν ὑπεξελέσθαι δεῖ.*

XIX. *Ὁδηγὸν τυφλὸν λαβεῖν, καὶ σύμβουλον ἀνόητον, ἴσον ἐστίν.*

XX. *Οὐχ οὕτω τοῖς ὀρφανοῖς παισὶν, ὡς τοῖς ἀνοήτοις ἀνθρώποις ἐπιτρόπους χρὴ παρεῖναι.*

XXI *Οἱ ἀπὸ τῶν αἰσχρῶν κερδῶν εἰς τὰς καλὰς ἀναλίσκοντες λειτουργίας, ὅμοιόν τι ποιοῦσι τοῖς ἀπὸ ἱερουλίας θεοσεβοῦσιν.*

XXII. *Ἔοικεν ὁ τῶν φιλαργύρων βίος νεκροῦ δείπνῳ· πάντα γὰρ ἔχων, τὸν εὐφρανθησόμενον οὐκ ἔχει.*

XXIII. *Οὔτε παρὰ νεκροῦ ὁμιλίαν, οὔτε παρὰ φιλαργύρου χάριν δεῖ ἐπιζητεῖν.*

XXIV. *Ποτὸν μὲν ἔσβεσε τὴν ποτοῦ ὄρεξιν, καὶ τροφὴ τὴν τροφῆς ἐπιθυμίαν ἠκέσατο· φιλαργυρίαν δὲ οὐ σβέννυσιν ἀργύριον ἢ χρυσίον.*

XXV. *Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ· διὸ τέρψιν μὲν ἔχει, χρείαν δὲ οὐδεμίαν παρέχει.*

XXVI. *Τὰ μὲν ξύλα τὸ πῦρ αὐξάνοντα, ὑπ' αὐτοῦ τοῦ πυρὸς καταναλίσκεται· ὁ δὲ πλοῦτος τρέφων τοὺς κόλακας, ὑπ' αὐτῶν τούτων διαφθείρεται.*

XXVII. *Ὥσπερ οἱ κόρακες παρεδρεύοντες ἐξορύσσουσι τοὺς τῶν νεκρῶν ὀφθαλμοὺς, οὕτως οἱ κόλακες τοῖς ἐπαίνοις τοὺς λογισμοὺς διαφθείρουσι τῶν ἀνθρώπων.*

XXVIII. *Λαγῷ μὲν κύνα, φίλῳ δὲ κόλακα φύσει πολέμιον ἡγητέον.*

XXIX. *Χαίρειν χρὴ τοῖς ἐλέγχουσιν, οὐ τοῖς κολακεύουσιν· οἱ μὲν γὰρ ἡμᾶς λυποῦντες διεγείρουσιν, οἱ δὲ χαριζόμενοι ἐκλύουσι καὶ σκιλλίζουσι.*

XXX. Οὔτε τῆς γαμετῆς τὴν ἑταίραν, οὔτε τῆς φιλίας τὴν κολακείαν δεῖ προτιμᾶν.

XXXI. Οὔτε ἐκ τοῦ κόσμου τὸν ἥλιον, οὔτε ἐκ τῆς ὁμιλίας ἀρτέον τὴν παῤῥησίαν.

XXXII. Θηρεύουσι τοῖς μὲν νυκτὸς τοὺς λαγωοὺς οἱ κυνηγοὶ, τοῖς δὲ ἐπαίνοις τοὺς ἀνοήτους οἱ πολλοί.

XXXIII. Τὸν μὲν λιβανωτὸν τοῖς θεοῖς, τὸν δὲ ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ.

XXXIV. Γλῶσσα βλάσφημος, διανοίας κακῆς ἔλεγχος.

XXXV. Ὁ τῶν ἀσώτων βίος, ὥσπερ καθ' ἡμέραν ἀποθνήσκων ἐκφέρεται.

XXXVI. Ἡ χάρις, ὥσπερ ἡ σελήνη, ὅταν τελεία γένηται, τότε καλὴ φαίνεται.

XXXVII. Ἀχάριστον εὐεργετεῖν, καὶ νεκρὸν μυρίζειν ἐν ἴσῳ κεῖται.

XXXVIII. Φθείρεται ὁ μὲν κόσμος πυρὶ καὶ ὕδατι, ὁ δὲ τῶν ἀκολάστων πλοῦτος ἕρωτι καὶ μέθῃ.

XXXIX. Ὕβρις καὶ οἶνος ἀποκαλύπτειν εἰώθασι φίλοις τὰ ἤθη τῶν φίλων.

XL. Οἱ θυμοὶ, καθάπερ αἱ κύνες, τυφλὰ τίκτουσιν ἐγκλήματα.

XLI. Οἱ μὲν τραχεῖς ἵπποι τοῖς χαλινοῖς, οἱ δὲ ὀξεῖς θυμοὶ μετάγονται τοῖς λογισμοῖς.

XLII. Τὸ μὲν εὔκρατον ὕδωρ τὰς φλεγμονὰς, ὁ δὲ ἐπιεικὴς λόγος τὰς ὀργὰς διαλύει.

XLIII. Ὥσπερ ὄργανον, ἄνεσιν καὶ ἐπίτασιν λαμβάνον, ἡδὺ γίνεται, οὕτω καὶ βίος.

XLIV. Ὅπερ ἂν σιωπᾶσθαι βούλῃ, μηδενὶ εἴπῃς· ἢ πῶς παρά τινος ἀπαιτήσεις τὸ πιστὸν τῆς σιωπῆς, ὃ μὴ παρέσχες σαυτῷ;

XLV. Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις ἔστιν κατὰ ἀνάγκην σκιὰ, τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.

XLVI. Τὸ τῆς δόξης κάλλος ὥσπερ ὑπὸ φύσου τὸ φθόνου ταχὺ καταφθείρεται.

XLVII. Ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτω [illegible] ὑπὸ τοῦ ἰδίου ἤθους κατιεθίζεσθαι.

XLVIII. *Εἰς κάτοπτρον κύψας, θεώρει· καὶ εἰ μὲν καλὸς φαίνει, ἄξια τούτου πράττε· εἰ δὲ αἰσχρὸς, τὸ τῆς ὄψεως ἐλλειπὲς ὡράϊζε καλοκἀγαθίᾳ.*

XLIX. *Τὰ μὲν φυτὰ ἀπὸ τῆς ῥίζης, ἡ δὲ δόξα ἀπὸ τῆς πρώτης * λήψεως αὔξει.*

L. *Ἵππου μὲν ἀρετὴν ἐν πολέμῳ, φίλου δὲ πίστιν ἐν ἀτυχίᾳ κρίνομεν.*

LI. *Σκεύη τὰ μὲν καινὰ κρείττονα, φιλία δὲ ἡ παλαιοτέρα.*

LII. *Φεύγειν δὲ τὴν φιλίαν ὧν ἀμφίβολος ἡ διάθεσις.*

LIII. *Ἐν πολέμῳ μὲν πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείσσων, ἐν δὲ τῷ ζῆν ὁ λόγος τοῦ πλούτου.*

LIV. *Οὔτε ἵππῳ χωρὶς χαλινοῦ, οὔτε πλούτῳ χωρὶς λογισμοῦ, δυνατὸν ἀσφαλῶς χρήσασθαι.*

LV. *Οὔτε συμπόσιον ἄνευ ὁμιλίας, οὔτε πλοῦτος χωρὶς ἀρετῆς, ἡδονὴν ἔχει.*

LVI. *Αἱ μὲν ποδήρεις ἐσθῆτες τὰ σώματα, αἱ δὲ ὑπέρμετροι περιουσίαι τὰς ψυχὰς ἐμποδίζουσιν.*

LVII. *Οὔτε ἵππος εὐγενὴς κρίνοιτ' ἂν πολυτελῆ σκευὴν ἔχων, ἀλλ' ὁ τῇ φύσει λαμπρός· οὔτε ἀνὴρ σπουδαῖος ὁ πολύτιμον οὐσίαν κεκτημένος, ἀλλ' ὁ τὴν ψυχὴν γενναῖος.*

LVIII. *Ὁδὸν μὲν τὴν λειοτάτην ἐκλέγεσθαι χρή, βίον δὲ τὸν ἀλυπότατον.*

LIX. *Ἐπενδύεσθαι δεῖ τῷ μὲν θώρακι χιτῶνα, τῇ δὲ λύπῃ νοῦν.*

LX. *Οὔτε τὸν ἀῤῥωστοῦντα ἡ χρυσόπους ὠφελεῖ κλίνη, οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία.*

LXI. *Τοῖς μὲν νοσοῦσιν ἰατροὺς, τοῖς δὲ ἀτυχοῦσι φίλους δεῖ συμπαρεῖναι.*

LXII. *Αἱ ἐπιφανεῖς τύχαι, καθάπερ οἱ σφοδροὶ τῶν ἀνέμων, μεγάλα ποιοῦσι ναυάγια.*

LXIII. *Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες, καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα· οὕτως οἱ ἐν εὐτυχίᾳ φρονοῦντες εὖ, καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἡτοιμάκασι βοηθήματα.*

LXIV. Ἔοικεν ἡ τύχη φαύλῳ ἀγωνοθέτῃ· πολλὰ γὰρ τοὺς μὴ νικήσαντας στεφανοῖ.

LXV. Ἀτυχίαν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐθράνῃς.

LXVI. Ἐν μὲν ταῖς μέθαις παροινοῦσιν, ἐν δὲ ταῖς ἀτυχίαις παροινοῦσιν οἱ πλεῖστοι.

LXVII. Ἀβέωστοῦντι φορτίον ἐπιθεῖναι, ἢ ἄπαυδεύτῳ ψυχῇ εὐτυχίαν, ταὐτόν ἐστιν.

LXVIII. Νοσοῦντος δίαιτα, καὶ ἄφρονος εὐτυχία, τὸ δυσάρεστον.

LXIX. Ἡ τύχη καθάπερ τοξότης, ποτὲ μὲν ἐκτεγγανει βάλλουσα ἀφ' ἡμᾶς ὥσπερ ἐπὶ τύνα σκοπὸν, καὶ δὲ ἐπὶ τὰ συνεγγὺς παφακείμενα ἡμῖν.

LXX. Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον.

LXXI. Στάσιμοι εἰσὶν αἱ τῶν πεπαιδευμένων ἐλπίδες, ὡς ἐν λιμένι τῷ λογισμῷ ὁρμοῦσαι.

LXXII. Αἱ μὲν τῆς ἀρετῆς ἐλπίδες ἡδεῖαι τῇ ψυχῇ, αἱ δὲ τῆς κακίας νόθοι.

LXXIII. Ταυτόν ἐστιν ἐξ ἀσθενοῦς ἀγκυρίου σκάφος ὁρμεῖν, καὶ ἐκ φαύλης γνώμης ἐλπίδα.

LXXIV. Αἱ πονηραὶ ἐλπίδες, ὥσπερ οἱ κακοὶ δρομεῖς, ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν.

LXXV. Οὔτε γυνὴ χωρὶς ἀνδρὸς, οὔτε ἐλπὶς ἀγαθὴ χωρὶς πόνου γεννᾷ τι χρήσιμον.

LXXVI. Ἡδὺ ἐστιν ὥσπερ φίλῳ σπουδαίῳ, οὕτω καὶ λόγῳ καλῷ συγγηράσκειν.

LXXVII. Παρεκελεύετο τοῖς νέοις τρία ταῦτα ἔχειν ἐπὶ μὲν τῆς γνώμης σωφροσύνην, ἐπὶ δὲ τῆς γλώσσης σιγὴν, ἐπὶ δὲ τοῦ προσώπου αἰδῶ.

LXXVIII. Ὁ μὲν χειμὼν σπέπης, τὸ δὲ γῆρας ἀλίπλας δεῖται.

LXXIX. Γέρων ἀνόητος, ὥσπερ τρίβων παλαιὸς εἰς οὐδὲν ἐστιν εὔθετος.

LXXX. Οὔτε πῦρ ἱματίῳ περιτεῖλαι δυνατὸν οὔτε ἁμάρτημα χρόνῳ.

LXXXI. Ὁ ὑπὲρ μικρῶν ἁμαρτημάτων ὀνει-

τως ὀργιζόμενος, οὐκ ἐᾷ διαγωνᾶναι τὸν ἁμαρτάνοντα, πότε ἔλαττον καὶ πότε μεῖζον ἠδίκησεν.

LXXXII. Plutarchus refert Arcesilaum Philosophum vehementi verbo usum esse de quodam nimis delicato divite; qui incorruptus tamen et castus et perinteger dicebatur. Nam, quum vocem eius infractam capillumque arte compositum et oculos ludibundos atque illecebrae voluptatisque plenos videret: *Nihil interest*, inquit, *quibus membris cinaedi sitis, posterioribus an prioribus.*

LXXXIII. Ἥτε γὰρ αἴγειρος, ὥς φασιν ἄλλοι τε καὶ Πλούταρχος, φιλοπενθὴς καὶ ἀτελὴς πρὸς καρπογονίαν. Διὸ καὶ Σοφοκλῆς ἔν τισι φησίν·

Οὐ χρὴ πότ' ἀνθρώπων
Μέγαν ὄλβον ἀποβλέψαι.
Ταυφιλοίου γὰρ ἰσαμέριος
Ὅστις αἰγείρου βιοτὰν ἀποβάλλει.

LXXXIV. Ὅτι δὲ τῶν Διονυσίων, καὶ τῶν Παναθηναίων, καὶ μέν τοι τῶν Θεσμοφορίων, καὶ τῶν Ἐλευσινίων τὰς τελετὰς Ὀρφεὺς, ἀνὴρ Ὀδρύσης, εἰς τὰς Ἀθήνας ἐκόμισε, καὶ εἰς Αἴγυπτον ἀφικόμενος τὰ τῆς Ἴσιδος καὶ τοῦ Ὀσίριδος εἰς τὰ τῆς Δηοῦς καὶ τοῦ Διονύσου μετατέθεικεν ὄργια, διδάσκει μὲν Πλούταρχος ὁ ἐκ Χαιρωνείας τῆς Βοιωτίας.

LXXXV. Πλούταρχος δὲ ὁ Χαιρωνεὺς τὴν γῆν προσηγόρευσεν Ἥραν· Δητὼ δὲ τὴν λήθην, ἢ τὴν νύκτα, ἐν ᾗ οἷόν τινα λήθην ἡ διάνοια δέχεται.

LXXXVI. Ὅτι πρώτους θεοὺς ἐνόμισαν καὶ Αἰγύπτιοι καὶ Φοίνικες, καὶ μέν τοι καὶ Ἕλληνες, ἥλιον καὶ σελήνην, καὶ οὐρανὸν καὶ γῆν, καὶ τἄλλα στοιχεῖα· τοῦτο γὰρ δὴ καὶ ὁ Πλάτων, καὶ ὁ Σικελιώτης Διόδωρος, καὶ ὁ Χαιρωνεὺς ἐδίδαξε Πλούταρχος.

LXXXVII. Καὶ δεῖ μεμνῆσθαι καὶ ὧν ὁ Χαιρωνεὺς εἶπε περὶ τῆς προνοίας ὀνόματος, ὡς Πλάτωνος οὕτω περὶ τὴν θείαν κελεύσαντος.

LXXXVIII. Ποσότητα δὲ λέγουσιν αὐτὴν (τὴν ψυ-
νίαν) ὅσοι φασὶ τὸ πρῶτον διάστημα ὑπὸ τὸ στη-

εἶναι τὴν γωνίαν· ὧν καὶ Πλούταρχός ἐστιν, εἰς τὴν αὐτὴν δόξαν συνωθῶν καὶ τὸν Ἀπολλώνιον. „δεῖ γὰρ εἶναί τι, φησὶ, διάστημα πρῶτον ὑπὸ τὴν κλίσιν τῶν περιεχουσῶν γραμμῶν, ἢ ἐπιφανειῶν.“ καίτοιγε συνεχοῦς ὄντος τοῦ ὑπὸ τὸ σημεῖον διαστήματος, ἀδύνατον τὸ πρῶτον λαβεῖν· ἐπ᾽ ἄπειρον γὰρ πᾶν διάστημα διαιρετὸν, πρὸς τῷ καὶ εἰὰν ὁπωσοῦν ἀφορίσωμεν τὸ πρῶτον καὶ δι᾽ ἐκείνου γωνίαν ἀγάγωμεν, γίνεσθαι τριγώνον, ἀλλ᾽ οὐ μίαν γωνίαν.

LXXXIX. Πλουτάρχῳ δὲ δοκεῖ τὸ σαφὲς καὶ λεῖον γνήσιον εἶναι Ἀττικισμόν· οὕτω γὰρ, φησὶν, ἐλάλησαν οἱ ῥήτορες.

XC. Οὗτος καὶ τὸν Ἰούλιον Κάνον ἕνα τῶν Στωϊκῶν φιλοσόφων ἀνεῖλε· περὶ οὗ παράδοξον Ἕλλησιν, ὡς δοκῶ, πέπλασται. ἀπαγόμενος γὰρ πρὸς τὸ θανεῖν ἀναράχως, λέγεται τινὶ τῶν ἑταίρων Ἀντιόχῳ τοὔνομα Σελευκεῖ συνεπομένῳ προσειπεῖν, ὡς ἐντεύξεται αὐτῷ κατὰ τὴν αὐτὴν νύκτα μετὰ τὴν ἔξοδον, καὶ διαπορήσει τι τῶν σπουδῆς ἀξίων, καὶ ὅτι μετὰ τρεῖς ἡμέρας Ῥεκτὸς εἰς τῶν ἑταίρων ὑπὸ Γαΐου φονευθήσεται, ἃ καὶ γέγονεν· τοῦ μὲν ἀναιρεθέντος τριταίου· τοῦ δὲ Ἀντιόχου τὴν ἐποψίαν εἰπόντος τῆς νυκτὸς, ὅτι φανεὶς Ἰούλιος Κανὸς τὰ περὶ διαμονῆς τῆς ψυχῆς καὶ καθαρωτέρου φωτὸς μετὰ τὴν ἔξοδον διηγήσατο. ταῦτα Πλούταρχος ὁ Χαιρωνεὺς ἱστορεῖ.

XCI. Ἐν τῷ συνδείπνῳ τοῦ Μαικήνα τράπεζα ἐγγώνιος ἦν ὑπὸ τῇ κλισίᾳ, τὸ μέγεθος μεγίστη, καὶ κάλλος ἄμαχος, καὶ οἷα εἰκὸς, ἐπῄνουν ἄλλοι ἄλλως αὐτήν· ὁ δὲ Ἰόρτιος, οὐκ ἔχων ὅτι παρ᾽ ἑαυτοῦ τερατεύσαιτο, σιγῆς γενομένης εἶπεν· ἐκεῖνο δὲ οὐκ ἐννοεῖτε, ὦ φίλα συμπόται, ὡς στρογγύλη ἐστὶν καὶ ἄγαν περιφερής. ἐπὶ τοίνυν τῇ ἀκράτῳ κολακείᾳ, ὥς τὸ εἰκὸς, γέλως κατερράγη. ἐγγώνιος γὰρ ἦν, καὶ οὐ στρογγύλη ἡ τοῦ Μαικήνα τράπεζα. Πλούταρχος.

XCII. Πλούταρχος λεπτοκάρυον προσάπτει τοῖς κλινοπόσιν, εἰς τὸ μὴ προσιέναι τὸν σκορπίον αὐτοῖς.

XCIII. — οἱ δὲ ἐκ μαχομένων αὐτὰ συναρμόζοντες, ὥσπερ οἱ περὶ Ἀττικὸν καὶ Πλούταρχον.

XCIV. *Καὶ τηροῦσι μὲν αὐτὴν ἐπὶ τῆς οἰκείας τάξεως Πλούταρχος, καὶ Πορφύριος, καὶ οἱ παλαιότεροι.*

XCV. *ά. Ἀρχὴν δὲ, ὡς καὶ Πλούταρχός φησιν, οὐκ ἐπεὶ δεῖταί τινων ἡμῶν ἡ φύσις, καὶ χρώμεθα τούτοις, ἤδη ἐπὶ πᾶν προακτέον καὶ πρὸς πάντα τὴν ἀδικίαν. δίδωσι μὲν γὰρ καὶ παρέχει τοῖς ἀναγκαίοις τὴν ἄχρι τινὸς βλάβην· εἶχε βλάβη τὸ λαμβάνειν τι παρὰ τῶν φυτῶν, καίτοι ζώων μενόντων· τὸ δ' ἐκ περιουσίας καὶ πρὸς ἡδονὴν ἀπολαύειν ἕτερα καὶ φθείρειν, τῆς παντελοῦς ἦν ἀγριότητος καὶ ἀδικίας· καὶ ἡ τούτων ἀποχὴ οὔτε πρὸς τὸ ζῆν, οὔτε πρὸς τὸ εὖ ζῆν ἡμᾶς ἠλάττου. εἰ μὲν γὰρ ὡς ἀέρος καὶ ὕδατος φυτῶν τε καὶ καρπῶν, ὧν ἄνευ ζῆν ἀδύνατόν ἐστιν, οὕτω φόνου ζώων καὶ βρώσεως σαρκῶν ἐτυγχάνομεν δεόμενοι πρὸς τὸν βίον, ἀναγκαίαν ἡ φύσις συμπλοκὴν εἶχεν ἂν πρὸς ταύτην τὴν ἀδικίαν. εἰ δὲ πολλοὶ μὲν ἱερεῖς θεῶν, πολλοὶ δὲ βασιλεῖς βαρβάρων ἀγνεύοντες, ἄπειρα δὲ γένη ζώων, τὸ παράπαν οὐ θιγγάνοντα τῆς τοιαύτης τροφῆς, ζῶσιν καὶ τυγχάνουσι τοῦ κατὰ φύσιν τέλους, πῶς οὐκ ἔστιν ἄτοπος ὁ κελεύων, εἴ τισιν ἀναγκαζοίμεθα πολεμεῖν, μηδὲ οἷς ἔξεστιν εἰρηνικῶς ὁμιλεῖν, ἀλλὰ ἢ πρὸς μηδὲν ἰᾷ δικαιοσύνῃ χρωμένους ζῆν, ἢ πρὸς πάντα χρωμένους μὴ ζῆν; ὥσπερ οὖν ἐπ' ἀνθρώπων, ὁ μὲν αὐτοῦ σωτηρίας ἕνεκα καὶ παίδων ἢ πατρίδος, ἢ χρημάτων τινῶν παραιρούμενος, ἢ χώραν ἐπιτρίβων καὶ πόλιν, ἔχει πρόσχημα τῆς ἀδικίας τὴν ἀνάγκην· ὅστις δὲ ταῦτα δρᾷ διὰ πλοῦτον ἢ κόρον ἢ ἡδονὰς τρυφώσας, καὶ ἀποπληρώσεις οὐκ ἀναγκαίων ποριζόμενος ἐπιθυμιῶν, ἴμικτος εἶναι δοκεῖ καὶ ἀκραιὴς καὶ πονηρός· οὕτω τὰς μὲν εἰς φυτὰ βλάβας, καὶ πυρὸς καὶ ναμάτων ἀναλώσεις, κουράς τε προβάτων καὶ γάλα, βοῶν τε ἐξ-*
μέρωσιν καὶ κατάζευξιν ἐπὶ σωτηρίᾳ καὶ διαμονῇ [illegible]
χρωμένοις ὁ Θεὸς δίδωσι συγγνώμην· ζῶα δὲ [illegible]
σφαγαῖς καὶ μαγειρεύειν ἀναπιμπλαμένους [illegible]
τροφῆς ἢ πληρώσεως χάριν, ἀλλ[illegible]
γίας, ποιουμένους τέλος, ὑπερ[illegible]

νόν. ἀρκεῖ γαρ ὅτι μηδὲν πονεῖν δεομένοις χρώμεθα προκάμνουσι, καὶ

Μόχθους ἵππων ὄνων τε ὀχείαν καὶ ταύρων
Γονὰς,

ὡς Αἰσχύλος φησὶν,

— ἂν δοῦλα καὶ πόνων ἐκδέκτορα
χειρωσάμενοι καὶ καταζεύξαντες.

β'. Ὁ δὲ ἀξιῶν ἡμᾶς ὄψῳ μὴ χρῆσθαι βοῖ, μηδὲ πνεῦμα καὶ ζωὴν διολλύντας καὶ διαφθείραντας, ἡδύσματα πλησμονῆς καὶ καλλωπίσματα προστίθεσθαι τραπέζης, τίνος ἀναγκαίου πρὸς σωτηρίαν ἢ καλοῦ πρὸς ἀρετὴν ἀφαιρεῖται τὸν βίον; οὐ μὴν ἀλλὰ καὶ τοῖς ζώοις τὰ φυτὰ παραβάλλειν, κομιδῆ βίαιον. τὰ μὲν γὰρ αἰσθάνεσθαι πέφυκε, καὶ ἀλγεῖν καὶ φοβεῖσθαι καὶ βλάπτεσθαι, διὸ καὶ ἀδικεῖσθαι· τοῖς δ' οὐθέν ἐστιν αἰσθητὸν, οὕτως δὲ οὐδὲ ἀλλότριον, οὐδὲ κακὸν, οὐδὲ βλάβη τις, οὐδὲ ἀδικία. καὶ οἰκειώσεως πάσης καὶ ἀλλοτριώσεως ἀρχὴ τὸ αἰσθάνεσθαι· τὴν δὲ οἰκείωσιν ἀρχὴν τίθενται δικαιοσύνης οἱ ἀπὸ Ζήνωνος. πῶς δὲ οὐκ ἄλογον πολλοὺς τῶν ἀνθρώπων ἐπ' αἰσθήσει μόνον ζῶντας ὁρῶντας νοῦν δὲ καὶ λόγον οὐκ ἔχοντας, πολλοὺς δὲ πάλιν ὠμότητι καὶ θυμῷ καὶ πλεονεξίᾳ τὰ φοβερώτατα τῶν θηρίων ὑπερβεβληκότας, παιδοφόνους καὶ πατροκτόνους, τυράννους καὶ βασιλέων ὑπουργούς· πρὸς μὲν τούτους οἴεσθαι εἶναι ἡμῖν· πρὸς δὲ τὸν ἀροτῆρα βοῦν, καὶ τὸν σύντροφον κύνα, καὶ τὰ γάλακτι μὲν τρέφοντα κουρᾷ δὲ κοσμοῦντα θρέμματα, μηδὲν εἶναι, πῶς οὐ παραλογώτατόν ἐστι;

γ'. Ἀλλ' ἐκεῖνο νὴ Δία τοῦ Χρυσίππου πιθανὸν ᾖ, ὡς ἡμᾶς αὐτῶν καὶ ἀλλήλων οἱ θεοὶ χάριν ἐποιήσαντο, ἡμῶν δὲ τὰ ζῶα, συμπολεμεῖν μὲν ἵππους, καὶ συνθηρεύειν κύνας, ἀνδρείας δὲ γυμνάσια παρδάλεις καὶ ἄρκτους καὶ λέοντας· ἡ δὲ ὗς, ἐνταῦθα γὰρ τῶν χαρίτων τὸ ἥδιστον, οὐ δι' ἄλλο τι πλὴν θύεσθαι ἐγεγόνει, καὶ τῇ σαρκὶ τὴν ψυχὴν ὁ θεὸς οἷον ἅλας ἐνέμιξεν, εὐωψίαν ἡμῖν μηχανώμενος· ὅπως δὲ ζωμοῦ καὶ παραδειπνίων ἀφθονίαν ἔχωμεν, ὄστρεά τε παντοδαπὰ καὶ πορφύρας

καὶ ἀκαλήφας καὶ γένη πτηνῶν ποικίλα παρεσκεύασεν, οὐκ ἀλλαχόθεν, ἀλλ' ὡς αὐτοῦ μέγα μέρος ἐνταῦθα τρέψας εἰς γλυκυθυμίας, τὰς τιτθὰς ὑπερβαλλόμενος καὶ καταπυκνώσας ταῖς ἡδοναῖς καὶ ἀπολαύσεσι τὸν περίγειον τόπον. ὅτῳ δὲ δοκεῖ ταῦτά τι τοῦ πιθανοῦ καὶ θεῷ πρέποντος μετέχειν, σκοπείτω τί πρὸς ἐκεῖνον ἐρεῖ τὸν λόγον ὃν Καρνεάδης ἔλεγεν, ἕκαστον τῶν φύσει γεγονότων, ὅταν τοῦ πρὸς ὃ πέφυκε καὶ γέγονε τυγχάνῃ τέλους, ὠφελεῖται· κοινότερον δὲ τῆς ὠφελείας, ἣν εὐχρηστίαν οὗτοι λέγουσιν, ἀκουστέον· ἡ δὲ ὑς φύσει γέγονε πρὸς τὸ σφαγῆναι καὶ καταβρωθῆναι· καὶ τοῦτο πάσχουσα, τυγχάνει τοῦ πρὸς ὃ πέφυκε, καὶ ὠφελεῖται. καὶ μὴν εἰ πρὰς ἀνθρώπων χρῆσιν ὁ θεὸς μεμηχάνηται τὰ ζῶα, τί χρησόμεθα μυίαις, ἐμπίσι, νυκτερίσι, κανθάροις, σκορπίοις, ἐχίδναις. ὧν τὰ μὲν ὁρᾷν εἰδεχθῆ, καὶ θιγγάνειν μιαρὰ, καὶ κατ' ὀδμὰς δυσανάσχετα, καὶ φθέγγεται δεινὸν καὶ ἀτερπές· τὰ δ' ἄντικρυς ὀλέθρια τοῖς ἐντυγχάνουσιν· φαλαίνας τε καὶ πρίστεις καὶ τὰ ἄλλα κήτη, ἃ μυρία βόσκειν Ὅμηρός φησιν ἀγάστονον Ἀμφιτρίτην, τί οὐκ ἐδίδαξεν ἡμᾶς ὁ δημιουργὸς, ὅπη χρήσιμα τῇ φύσει γέγονε; εἰ δὲ οὐ πάντα φασὶν ἡμῖν καὶ πρὸς ἡμᾶς γεγονέναι, πρὸς τῷ σύγχυσιν ἔχειν πολλὴν καὶ ἀσάφειαν τὸν διορισμὸν, οὐδὲ ἐκφεύγομεν τὸ ἀδικεῖν, ἐπιτιθέμενοι καὶ χρώμενοι βλαβερῶς τοῖς οὐ δι' ἡμᾶς, ἀλλ' ὥσπερ ἡμεῖς κατὰ φύσιν γεγενημένοις. ἐὼ λέγειν ὅτι χρείᾳ τὸ πρὸς ἡμᾶς ὁρίζοντες, οὐκ ἂν φθάνοιμεν ἑαυτοὺς ἕνεκα τῶν ὀλεθριωτάτων ζώων, οἷα προκύδιλοι καὶ φάλαιναι καὶ δράκοντες, γεγονέναι συγχωροῦντες. ἡμῖν μὲν γὰρ οὐδὲν ἂπ ἐκείνοι ὑπάρχει τοπαράπαν ὠφελεῖσθαι· τὰ δὲ ἁρπάζοντα καὶ διαφθείροντα τοὺς παραπίπτοντας ἀνθρώπους βορᾷ χρῆται, μηδὲν ἡμῶν κατὰ τοῦτο δρῶντα χαλεπώτερον, πλὴν ὅτι τὰ μὲν ἑκοῦσα καὶ λιμὸς ἐπὶ ταύτην ἄγει τὴν ἀδικίαν, ἡμεῖς δὲ ὕβρει καὶ τρυφῆς ἕνεκα, παίζοντες πολλάκις ἐν θεάτροις καὶ κυνηγεσίοις, τὰ πλεῖστα τῶν ζώων φονεύομεν.

XCVI. Διὰ τί μὴ συνίστανται νέφη ἐν τῷ πολὺ τῆς

γῆς ὑπεραυειηκότι τόπῳ· ὅτι γαρ οὐ συνίσταται ἐκ τῆς μακρᾶς ἱστορίας ἐστὶ θῆλον. τὰ γὰρ ὑψηλότατα τῶν ὀρῶν ὑπερνεφῆ τέ ἐστι καὶ ὑπερήνεμα. τέφραν γὰρ ἔν τισι τούτων ἀποθέμενοί τινες, ἢ καὶ ἐκ θυσιῶν τῶν ἐν ἐκείνοις γενομένων ἀπολελοιπότες, μετὰ πλείστους ἐνιαυτοὺς περιεργασάμενοι, κειμένην εὗρον αὐτὴν οὕτως ὡς ἐθεσαν. καὶ ἐν Κυλλήνῃ δέ φασιν, Ἀρκαδίας δ' ὄρος, βληθεῖσαν, μήτε ὑπὸ πνευμάτων διεσκεδασμένην. ἱστορεῖ δὲ Πλούταρχος καὶ γράμματα μεῖναι εἰς ἑτέραν τῶν ἱερείων ἀνάβασιν ἐκ τῆς προτέρας ἐν τῷ Ὀλύμπῳ τῷ Μακεδονικῷ. ἀλλὰ καὶ οἱ τὰ τοιαῦτα τῶν ὀρῶν διοδεύοντες, ὡς καὶ ἐμοί τις τὸν Ὄλυμπον διοδεύσας ἔλεγε, κατωτέρω τῆς πορείας αὐτῶν τὰς τῶν νεφῶν γινομένας συστάσεις καὶ ὑετὸν συνιστάμενον ἀστραπῶν τε ἕλλαμψιν, καὶ πτύπου βροντῶν ἤκουον φερομένου κάτωθεν· καὶ ἁπλῶς ὅσα συμβαίνουσιν ἐκ τῆς τῶν νεφῶν συγκρίσεως καὶ ἡμῖν ἄνω γενόμενα φαίνεται, ἐκείνων κατωτέρω συνίσταται. καίτοιγε οὐδὲ πολύ τι τῆς γῆς τὰ ὑψηλότατα τῶν ὀρῶν ὑπῆρται. οἱ γὰρ τῆς μηχανικῆς ἐπιστήμονες τέχνης, διὰ τῶν ὀργάνων, δι' ὧν τὰ ὕρη μετρεῖν εἰώθασιν, εὑρόντες τούτων τὰ ὕψη, τὰ μέγιστά φασι τῶν ὀρῶν δέκα καὶ δύο σταδίων ἔχειν τὴν κάθετον.

XCVII. Ψυχροί τινες τὴν φύσιν οἱ τέττιγες· διὰ μετὰ θερινὰς τροπὰς ἀπάρχονται τῆς ᾠδῆς. καὶ ἡλίου ἀπερχομένου τὸν ἑαυτῶν μετίασι κέλαδον· ὥστε μεσημβρίας εἰσὶν ᾠδικώτεροι. τέττιξ γοῦν θῆλυς κατὰ πολὺ ψυχροτέρα τοῦ ἄῤῥενος, καὶ φύσις αὐτὴ τὴν σιωπὴν ἐγκελεύεται, ἐπίταοιν ἐντιθεῖσα ψυχρότητος· διὸ κωτίλος τέττιξ οὐκ ἔστι θῆλυς· ἀλλ' οἷά τις θεὰ σιωπῶσα τὰ ἄῤῥητα. Πλούταρχος.

XCVIII. *Institutio Traiani. Epistola ad Traianum.*

1. Plutarchus Traiano Salutem Dicit. Modestiam tuam noveram non appetere principatum, quem tamen semper morum elegantia mereri studuisti. Quo quidem tanto dignior iudicaris, quanto a crimine ambi

tionis videris esse remotior. Tuae itaque virtuti congratulor, et fortunae meae; si tamen recte gesseris quem probe meruisti. Alioquin te periculis, et me detrahentium linguis subiectum iri non dubito; cum et ignaviam Imperatorum Roma non ferat, et sermo publicus delicta discipulorum refundere soleat in praeceptores. Sic Seneca Neronis sui merito detrahentium carpitur linguis, adolescentium suorum temeritas in Quintilianum refunditur, et Socrates in pupillum suum clementior criminatur. Tu vero quidvis rectissime geres, si non recesseris a te ipso. Si primum te composueris, si tua omnia disposueris ad virtutem, recte tibi procedent universa. Politicae constitutionis maiorum vires tibi expressi. Cui si obtemperas, Plutarchum vivendi habes auctorem. Alioquin praesentem epistolam testem invoco; quia in perniciem imperii non pergis auctore Plutarcho.

2. Est ergo primum omnium, ut princeps se totum metiatur, et quod in toto corpore reipublicae, cuius vice fruatur, diligenter advertat. Est autem respublica, (sicut Plutarcho placet) corpus quoddam, quod divini muneris beneficio animatur, et summae aequitatis agitur nutu, et regitur quodam moderamine rationis. Ea vero, quae cultum religionis in nobis instituunt et informant, et Dei (ne secundum Plutarchum *Deorum* dicam) caerimonias tradunt, vicem animae in corpore reipublicae obtinent. Illos vero, qui religionis cultui praesunt, quasi animam corporis suspicere et venerari oportet. Quis enim sanctitatis ministros, Dei ipsius vicarios esse ambigit? Porro, sicut anima totius habet corporis principatum; ita et hi, quos ille religionis praefectos vocat, toti corpori praesunt. Augustus Caesar eousque sacrorum Pontificibus subiectus fuit. donec et ipse, ne cui omnino subesset, Vestalis creatus est Pontifex, et paulo post ad Deos *relatus est vivus.* Princeps vero capitis in republica *obtinet locum,* uui subiectus Deo, et his qui vices il-

lius agunt in terris; quoniam et in humano corpore anima vegetatur caput et regitur. Cordis locum arcatus obtinet, a quo bonorum operum et malorum praecedunt initia. Oculorum, aurium, et linguae officia sibi vindicant iudices et praesides provinciarum. Officiales et milites manibus coaptantur. Qui semper assistunt principi, lateribus assimilantur. Quaestores et commentarienses, non illos dico qui carceribus praesunt, sed comites rerum privatarum, ad ventris et intestinorum refert imaginem: quae si immensa aviditate congesserint, et congesta tenacius reservaverint, innumerabiles et incurabiles generant morbos, ut vitae eorum totius corporis ruina imminent. Pedibus vero solo iugiter inhaerentibus, agricolae coaptantur: quibus capitis providentia tanto magis necessaria est, quo plura inveniunt diverticula, dum in obsequio corporis in terra gradiuntur, eisque iustius tegumentorum debetur suffragium, qui totius corporis erigunt, sustinent, et promovent molem. Pedum adminicula robustissimo corpore tolle, suis viribus non procedet: sed aut turpiter, inutiliter, et moleste manibus repet, aut brutorum animalium ope movebitur.

3. In summa ergo quatuor sunt, quae nititur reipublicae principibus inculcare: reverentiam Dei, cultum sui, disciplinam officinalium et potestatum, affectum et protectionem subditorum. Deum ergo in primis asserit honorandum: deinde se ipsum colendum unicuique: post, ut doctrinam praepositi totius disciplina domus redoleat: et tandem universitas subiectorum de capitis praepositorum sibi incolumitate laetetur. Magnorum quoque virorum strategematibus et strategematicis utitur.

4. Ego et in hoc, sicut et in plurimis, Plutarchum censeo audiendum, qui Deam caecam colendam esse negat, asserens eam nisi a caecis coli non posse. Multa quoque proponit exempla, quibus liquet omnes caecae Deae cultores caecatos et praecipitatos tandem in

foveam exterminii. Testatur hoc Galba, qui totam aetatem luculenter producens in senium huius Deae familiaritate et cultu in brevi elatus, et in breviori praecipitatus est. Qualiter autem apud Suetonium quaere. Queritur tamen praefatus philosophus, et in aure iam dicti principis lachrymabiliter ingemiscit, et quod haec vitio caecitatis et temeritatis probrosa Dea, et omnibus ignominiosa numinibus, omnium Deorum templa foedaverit, et Deorum omnium praeripuerit cultum; ut praeter aedes privatas, quas in orbe et urbe passim habet, rupem etiam Tarpeiam occupaverit, supremo Iovi coaequata, et publicae fortunae imago aurea in Capitolio ab advenis, convenis, et indigenis publice adoretur, et tantam prae ceteris habet auctoritatem, quod in tota ratione mortalium, ut dici solet, sola utramque paginam videtur implere. Videas eam ibi rotam versare volubilem: quodque magis mirere, eiusdem rotae impulsu de pectore Iovis sororum pensa praecipitat et conculcat. Quisquis enim Fortunam statuit, fata praecipitat et convellit. Fortuna semper consistit in his quae improvisa emergunt. Eam usquequaque nititur evacuare Plutarchus: et ex praemissis quatuor locis, naturae, officii, morum, conditionis, totius reverentiae manare credit originem. Ille quidem in cultu Deorum eos praecipue asserit venerandos, qui ei familiarius et vicinius accedunt: aut natura, aut Liber Indorum domitor, Hercules qui eo ipso in se Iovem protestatus est quod angues iugulavit in cunis: aut officio, ut Pontifices praefectique sacrorum: aut moribus, ut philosophi, qui mentis divinae haustum investigatione et dispensatione sapientiae indicant: aut conditione, ut quos favor numinis extulit, ut aliis praeessent, ex causa potius familiari quam officio publico.

5. *Nam praecedentia* Plutarchi in Institutione Traiani, *et Iulii Frontini in* libro strategematum sunt.

6. *Quid de continentia* dicam rerumque contemtu,

quandoquidem Plutarchi Strategematica nonnulla promisi. M. Catonem eodem vino quo remiges contentum fuisse traditur. Nunc autem, ut in Traiano Plutarchi Strategematicis imponatur modus, tantae fortitudinis et civilitatis fuit, ut Romani imperii fines, quod post Augustum defensum magis fuerat, quam nobiliter ampliatum, longe lateque diffunderet.

7. Cordis locum, auctore Plutarcho, Senatus obtinet. Senatus vero, sicut maioribus placuit, officii nomen est, et habet aetatis notam. Cet.

8. Dum Plutarchi vestigia in Traiani institutione familiarius sequor, me ipsum arbitror hac imagine compellari: eroque ludibrio omnium, nisi diligentius persequar quod incepi. Me enim in praesenti clientem eius professus sum. Sequor ergo eum et a capite reipublicae cum eo usque ad pedes descendam; ea tamen conditione, ut, si his, quibus iura permittitur ignorare, mordacior in hac parte apparuero, id non mihi, sed Plutarcho, adscribant: aut sibi potius qui regulam quam profitentur, et qua vivendum est eis, discere noluerunt.

9. Manus itaque reipublicae aut armata est, aut inermis. Oportet, inquit Pericles, collegam Sophoclem arguens, praetorem non modo manus, sed oculos habere continentes.

10. Poëtarum doctissimus Maro, ad quem Plutarchus suum destinat Traianum, ut civilem vitam ab apibus mutuetur, *Admiranda canit levium spectacula rerum.* Cet. —

11. Quocirca qui miles esse voluerit, praediscat artem, eamque usu et exercitio firmet, ut cum electus fuerit et militiae sacramento adstrictus, reipublicae et sibi utiliter vivat, et non sit, prout Plutarchus ait, manus manca. His enim verbis in Institutione Traiani novissime usus est. Sequamur ergo eum, et, sicut ipse ait, quasi soccos pedibus faciamus, ut non offendantur ad lapidem obicemve alium, quem multiplex ingerit casus.

12. Vnde Plutarchus ea dicit in omnibus exsequenla, quae humilioribus, id est multitudini, prosint.

13. Rem politicam legitur Socrates instituisse, et in eam dedisse praecepta, quae a sinceritate sapientiae, quasi quodam fonte naturae manare dicuntur. Hoc autem in summa colligitur, ut quae in republica humiliora sunt, maiorum officio diligentius conserventur. Institutionem Traiani, cuius mentio superius facta est, diligentius relege, et haec latius conscripta invenies.

14. Sed poterunt de his, quae sunt ab Institutione Traiani superius dicta sufficere.

15. In quo princeps differat a Tyranno, dum revolveretur auctore Plutarcho Institutio Traiani, superius dictum est, et quae principis sint officia, aut reipublicae membra, diligenter expositum.

16. — ut Plutarchi verbo utar, praefecti regionum impugnantes legem Domini.

XCIX. *Archigrammaton.* De magistratuum moderatione librum fertur scripsisse Plutarchus, qui inscribitur *Archigrammaton*, et magistratum suae urbis, ad patientiam et iustitiae cultum, verbis instituisse dicitur et exemplis.

Περὶ Εὐγενείας.

1. Ἄπιστος ἡ τῶν σοφιστῶν συκοφαντία κατὰ τῆς εὐγενείας, οὗ μηδὲ καὶ τὰ ἐν μέσῳ καὶ πᾶσι γνώριμα σκοποῦσιν, ὅτι πρὸς τὰς ὀχείας τοὺς εὐγενεῖς ἵππους καὶ κύνας ὠνοῦνται καὶ κιχρῶνται, καὶ ἀμπέλων εὐγενῆ σπέρματα καὶ ἐλαιῶν, καὶ τῶν ἄλλων δένδρων· ἀνθρώπων δὲ οὐδὲν ὄφελος νομίζουσιν εὐγένειαν εἰς τὰς μελλούσας διαδοχάς· ἀλλ' αὐτὸ πείθονται βάρβαρον εἶναι καὶ ἑλληνικὸν σπέρμα, καὶ οὐκ οἴονται λειηθυίας τινὸς ἀρχὰς καὶ σπέρματα ἀρετῆς συγκαταβάλλεσθαι τοῖς

γεννωμένοις, ὥσπερ τῷ Τηλεμάχῳ τοῦ Ὀδυσσέως, ἐφ᾽ οὗ καὶ πάνυ τῷ ὀνόματι ποιητὴς εἴρηκεν·

— Πατρὸς ἐνέσπαται μένος ἠΰ·

ὡς ἂν ἐν ταῖς σπερμάτων ὀλίγαις σταγόσι καὶ τῶν ἀριτῆς συῤῥεόντων ἀγαθῶν. ἐπαινεῖται μὲν ὑφ᾽ Ὁμήρου Νέστωρ πολλαχῶς, ἐκεῖνο δὲ τὰ πρῶτα φέρει·

— Νηλείῳ υἷι ἐοικώς,

Νέστορι.

καὶ προσαγορεύων Ἀγαμέμνονα Ὀδυσσέα

Διογενὲς Λαερτιάδη πολυμήχαν᾽ Ὀδυσσεῦ·

φησὶ δὲ καὶ ἄλλον μὲν ἄκρου Μένεω, ἄλλον δὲ Στροφίου, καὶ ἄλλον μεγάλου Δολοπίωνος, καὶ πολλοὺς Δαρδανίδας εὐγενεῖς, καὶ Δηϊκόωντα κρατεροῦ Περγάσου υἱὸν, καὶ ἄλλους ἐκ πατρὸς Διοκλέους,

— γένος δ᾽ ἦν ἐκ ποταμοῖο

Ἀλφειοῦ, ὅστ᾽ εὐρὺ ῥέει Πυλίων διὰ γαίης·

καὶ ἄλλον Ἀμύντορος, ἔτι δὲ καὶ Σελάγου, καὶ θεῖον Μέντορος, καὶ Τρυνταίου, καὶ Ἀγήνορος. τὸν δὲ Ἰδομενέα πρὸς Δηΐφοβον λέγοντα ποιεῖ τάδε,

Μίνως δ᾽ αὖ τέκεθ᾽ υἱὸν ἀμύμονα Δευκαλίωνα.
τὸν δ᾽ Ἀχιλλέα Πηλείδην καλεῖ, καὶ τὸν Αἰνείαν Ἀφροδίτης ἐξ αἵματος εὐχόμενον εἶναι· οὕτως γὰρ πρὸς τὸν Ἀχιλλέα λέγοντα ποιεῖ,

Ἴδμεν δ᾽ ἀλλήλων γενεὴν, ἴδμεν δὲ τοκῆας,
Προκλυτ᾽ ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·
Φασί σε μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
Μητρὸς δ᾽ ἐκ Θέτιδος καλλιπλοκάμου ἁλοσύδνης
Αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο.

καὶ αὖθις, τί γὰρ βλάψειέν ποι πλείω χορηγεῖν;

Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεὺς,
Κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔπω Ἴλιος ἱρὴ,
Ἔν πεδίῳ πεπόλιστο, πόλις μερόπων ἀνθρώπων.
Ἀλλ᾽ ἔθ᾽ ὑπωρείας ᾤκεον πολυπιδάκου Ἴδης.
Δάρδανος αὖ τέκεθ᾽ υἱὸν Ἐριχθόνιον βασιλῆα,
Ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων
Τοῦ τρισχίλιαι ἵπποι ἕλος κατὰ βουκολέοντο
Θηλεῖαι πώλοισιν ἀγαλλόμεναι ἁπαλῇσι.

Τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,
Ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτῃ·
Αἱ δ' ὑποκυσάμεναι ἔτεκον δυοκαίδεκα πώλους.
Αἱ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον, οὐδὲ κατέκλων·
Ἀλλ' ὅτε δὴ σκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολίοιο θέεσκον.
Τῷσι δ' Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα·
Τρωὸς δ' αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο·
Ἶλός τ' Ἀσσάρακός τε, καὶ ἀντίθεος Γανυμήδης,
Ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διΐ οἰνοχοεύειν,
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.
Ἶλος δ αὖ τέκε δ' υἱὸν ἀμύμονα Λαομέδοντα
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο, Πρίαμόν τε,
Λαμπόν τε Κλυτίον θ', Ἱκετάονά τ' ὄζον Ἄρηος·
Ἀσσάρακος δὲ Κάπυν· ὁ δ' ἄρ' Ἀγχίσην τέκε παῖδα.
Αὐτὰρ ἔμ' Ἀγχίσης, Πρίαμος δ' Ἕκτορ' ἀντιθέην.

καὶ πρὸς ἄλλον αὐτὸς ὁ Πρίαμος,

οὐκ ἂν ἐποίησεν, οἶμαι, τοσάκις ὁ φρονιμώτατος ποιητῶν γονέων, γένους, εὐγενείας μνήμην, εἰ ταῦτα τοῖς αἰνετοῖς οὐκ ἠξίωσεν ἀριθμητέα.

II. Ὁ δὲ Τυρταῖος τοὺς αὑτοῦ στρατιώτας εἰς πόλεμον παρακαλούμενος „γενεὰς Ἡρακλέους ἀνικήτου" φησὶν αὐτούς. ποσάκις παρὰ Σιμωνίδῃ, Πινδάρῳ, Ἀλκαίῳ, Ἴβύκῳ, Στησιχόρῳ, ἡ εὐγένεια ἐν λόγου καὶ τιμῆς μέρει ἐστί; ἔτι δ' ὁ Πλάτων ὅταν τὴν τῶν γονέων δόξαν θησαυρὸν εἶναι μέγαν φησὶν, οὐ καταφρονεῖν ἑαυτὴν διδάσκει τὴν εὐγένειαν. „τῶν εὐγενῶν οἰκεῖον, ὁ Φιλήμων λέγει, πρὸς τὸν πόλεμον καὶ θάνατον ὁρμᾶν, ὡς ἱερεῖα". καί τοι οὐκ οἶδα πῶς τὰς ἀκροτάτας τῶν πολιτειῶν ταπεινώσεις ἐκεῖθεν ὁρῶμεν ἀποβεβηκυίας, ὅταν ἀγενεῖς καταλάβωσι τοῦ πολιτεύειν. ἐν τῇ πολυκηδεστάτῃ ἐκείνῃ Χαιρωνείᾳ μάχῃ γενόμενος ὑπὸ Φιλίππου Δημάδης αἰχμάλωτος ἐρωτῶντι αὐτῷ. „ποῦ τῶν Ἀθηναίων εὐγένεια; ποῦ τῶν Κεκροπιδῶν γένος; ποῦ ῥώμη"; οἴσθα, φησὶν, ἂν, ὦ βασιλεῦ, εἰ τῶν μὲν

Ἀθηναίων ὁ Φίλιππος, τῶν δὲ Μακεδόνων ἦρχεν ὁ Χάρης.“ ἔτυχε δ' ὁ Χάρης τότε στρατηγήσας. τί οὖν Ἀλέξιδος ἀναιδέστερον; ὃς, τῆς στρατηγίας τὴν γεωργίαν προτιμῶν, οὐκ ἐν νῷ εἶχεν, ὅσον τοῦ τῶν κεκτημένων τὸ δουλωτικὸν πρᾶγμα διαφερόμενον τυγχάνει· „καὶ ἡμεῖς, φησὶν, ἀγενεῖς οὐχ ἧττον στρατευόμεν.“ ἀλλὰ μὲν οὐχ ἡ αὐτὴ τιμὴ ἑκατέροις, οὐχ ὁ αὐτὸς θυμὸς, οὐδ' ὁρμή. εἰ δὲ τὴν ἀλήθειαν ἐκθλίψεις, οὐχ ἡ αὐτὴ προθυμία τῷ τε ἀγενεῖ καὶ τῷ εὐγενεῖ ὑπακούουσιν.

III. Ἀνακαλεῖς με πρὸς τοὺς πάλαι χρόνους· ἆρα ἐς Δευκαλίωνος; ἢ τὰ παρὰ Χαλδαίοις καὶ Αἰγυπτίοις ἐκδεδομένα; ἀλλὰ τοῦτ' ἦν πρὸς τὸν ἄῤῥυθμον ἐκεῖνον καὶ ἄτακτον ὄγκον, πρός τε τὰς ἀρχὰς ἀνατέλλοντος ἔτι τοῦ ἡμᾶς ἀνακαλεῖν. αὐξηθείσας πόλεις, ἀγροὺς ἐργευομένους, ἀμπελώνων ἐργασίαν οὐκ ἀνακτέον εἰς ταύτην παλαιὰν ἀταξίαν, οὔτ' εἰκὸς ἀγενὲς αἷμα ἐπὶ τὸ τοῦ διακεκοσμημένου παντὸς ἀναφέρειν στοιχεῖα. βούλει γοῦν ἀναχωρῶμεν εἰς χρόνους ἐν οἷς ἐκεῖνός φησι· Δήεις τόν γε σύεσσι παρήμενον· αἱ δὲ νέμονται Πὰρ Κόρακος πέτρην, ἐπί τε κρήνῃ Ἀρεθούσῃ. ἀλλὰ τότε καταλήψῃ ἂν μὴ στερηθεῖσαν τῆς οἰκείας τιμῆς τὴν εὐγένειαν. ἐν ποιμέσι τραφεὶς ὁ Ῥωμύλος ὁρᾷς ὡς Ἄρεος αἷμα πνεῖ, ὡς βασιλικῶν ἤδη προθεμιῶν ἀντιποιούμενος. τὸ δ' αὐτὸ καὶ τὸν Κῦρον λέουσι πεπονθέναι. ἐπεὶ δὲ πρὸς τὴν τοῦ Ἀμάσιδος λιτάνην ἀνακαλεῖς, ἄγε δὴ τί ποτε φησὶν Ἡρόδοτος, ἢ καὶ μᾶλλον ὡς αὐτὸν Ἄμασιν κακουργήσαντα καὶ στρεψώσαντα τὸ ἄκρον τῆς δόξης τῆς βασιλικῆς. ἀκούσιον οὖν αὐτὸν, ἐπειδὴ θέλῃς. τὰ μὲν δὴ πρῶτα κατώρθουν τὸν Ἄμασιν Αἰγύπτιοι, καὶ ἐν οὐδεμιᾷ μοίρᾳ μείζονι ἦγον, ἅτε δὴ δημότην τὸ πρὶν ἐόντα, καὶ οἰκίης οὐκ ἐπιφανέος· μετὰ δὲ, σοφίῃ αὐτοὺς ὁ Ἄμασις οὐκ εὐγνωμοσύνῃ προσηγάγετο. ἦν οἱ ἄλλα τε ἀγαθὰ μυρία, ἐν δὲ καὶ ποδανιπτὴρ χρύσεος, ἐν τῷ αὐτός τε Ἄμασις καὶ οἱ δαιτυμόνες οἱ πάντες τοὺς πόδας ἐς ἑκάστοτε ἐναπενίζετο

μα δαίμονος ἐξ αὐτοῦ ἐποιήσατο, καὶ ὕβρυσε τῆς
ως ὕκου ἦν ἐπιτηδεώτατον. οἱ δὲ Αἰγύπτιοι φοι-
ες πρὸς τῶγαλμα ἐσέβοντο μεγάλως. μαθὼν δὲ
ασις τὸ ἐκ τῶν ἀστῶν ποιεύμενον, συγκαλέσας Αἰ-
ους ἐξέρηνε, φὰς ἐκ τοῦ ποδανιπτῆρος τῶγαλμα
ένεσθαι, ἐς τὸν πρότερον μὲν τοὺς Αἰγυπτίους ἐνε-
τε καὶ ἐνουρέειν, καὶ πόδας ἐναποπλύνεσθαι, τότε
γάλως σέβεσθαι. ἤδη ὦν, ἔφη λέγων, ὁμοίως αὖ-
ῷ ποδανιπτῆρι πεπρηγέναι· εἰ γὰρ πρότερον ἦεν
ιης, ἀλλ' ἐν τῷ παρεόντι εἶναι αὐτέων βασιλεὺς,
μᾶς τε καὶ προμηθέεσθαι ἑωυτοῦ ἐκέλευε. τοι-
μὲν τρόπῳ προσηγάγετο τοὺς Αἰγυπτίους, ὥστε
οῦν δουλεύειν. εἰ ταῦτα ψεύδεται ὁ Ἡρόδοτος,
έον παρ' αὐτῷ μηδαμῶς, οὐδέν ἐστιν ὅπερ πρά-
α παρέχοι τῇ εὐγενείᾳ· ἐὰν οὕτως μὲν, οὐκ ἐξ
Ἀμάσιδος προσποιήσεως καὶ εἰς τοὺς Θεοὺς ἀθε-
ι ἀσελγείας ἀντιλήπτεός ὁ λόγος, πρὸς τὸ τῆς εὐ-
ις καταφρονεῖν, ἀλλὰ νὴ Δία μᾶλλον ἐκεῖνος ἐοι-
τὲρ τῆς εὐγενείας ἀπολογούμενος, ὁ τὸν Ἄμασιν
ῶν περὶ αὐτὸν ἀτιμηθέντα διδάσκων, ὡς οὐκ ἐν-
υ γένους ὑπάρχοντα, ἀλλ' εὑρὼν διὰ τὴν ἀρρητον
ιν ὡς ἐν Θεοῦ λόγῳ προσκυνῆσθαι, ἐκ τοῦ φαύλου
ενετῆς ὑπερφρονηθείς, ἐδείκνυσεν ἱκανῶς, ὅτι,
ἦρχεν ἡ εὐγένεια, οὐκ ἔδει τινὸς ὑποκρίσεως, καὶ
πὸ λεκάνης παραβολῆς.

V. Σὺ δ' ἐπεί με πρὸς τὰς τῶν βασιλειῶν ἀρχὰς
ὸν Δηϊόκην τὸν Μῆδον ἀνακαλεῖς καὶ πάντοθεν
ρ ὁμιφαλὸν τὸν σὸν ἐκεῖνον Ἡρόδοτον προβάλλεις,
ά περὶ Δηϊόκην παρ' αὐτοῦ ἐκδοθέντα διακρίνω-
ἐκεῖνος γὰρ οὕτως·

ἦρ ἐν τοῖσι Μήδοισι σοφὸς, τῷ οὔνομα ἦν
κης, παῖς δ' ἦν Φραόρτεω· οὗτος ὁ Διϊόκης ἐρα-
; τυραννίδος, ἐποίεε τάδε. κατοικημένων τῶν Μή-
ιατὰ κώμας, ἐν γῇ ἑωυτοῦ ἐὼν καὶ πρότερον δόκι-
καὶ μᾶλλόν τε καὶ προθυμότερον δικαιοσύνην ἐπι-
ος ἤσκεε· καὶ ταῦτα μέντοι, ἐούσης ἀνομίης πολ-
ὰ πᾶσαν τὴν Μηδικὴν, ἐποίει, ἐπιστάμενος, ὅτι

τῷ δικαίῳ τὸ ἄδικον πολέμιόν ἐστι. οἱ δὲ ἐκ τῆς αὐτῆ κώμης Μῆδοι ὁρῶντες αὐτοῦ τοὺς τρόπους, δικαστὴν μὲν ἑαυτῶν αἱροῦντο. ὁ δὲ δὴ, οἷα μνεμόνευε ἀρχὴν, ἰθύς τε καὶ δίκαιος ἦν, ποιέων τε ταῦτα, ἐπαινον εἶχε οὐκ ὀλίγον πρὸς τῶν πολιτέων, οὕτω ὥστε πυνθανόμενοι ἐν τῇσι ἄλλῃσι κώμῃσι, ὡς Δηϊόκης εἴη ἀνὴρ μοῦνος κατὰ τὸ ὀρθὸν δικάζων, πρότερον περιπίπτοντες ἀδίκοισι γνώμῃσι, τότε ἐπεί τε ἤκουσαν, ἄσμενοι ἐφοίτεον παρὰ τὸν Δηϊόκεα, καὶ αὐτοὶ δικασόμενοι· τέλος δὲ οὐδενὶ ἄλλῳ ἐπετράποντο. πλεῦνος δὲ ἀεὶ γινομένου τοῦ ἐπιφοιτέοντος, οἷα πυνθανομένων τὰς δίκας ἀποβαίνειν κατὰ τὸ εὖν, γνοὺς ὁ Δηϊόκης ἐς ἑωῦτὸ πᾶν ἀνακείμενον, οὔτε κατίζειν ἔτι ἤθελε, ἐνθάπερ πρότερον προκατίζων ἐδίκαζε, οὔτ' ἔφη δικᾶν ἔτι· οὐ γὰρ οἱ λυσιτελέειν τῶν ἑωῦτοῦ ἐξημελημότα, τοῦσι πέλας δὲ ἡμέρης δικάζειν. ἐούσης οὖν ἁρπαγῆς καὶ ἀνομίης ἔτι πολλῷ μᾶλλον ἀνὰ τὰς κώμας ἢ πρότερον ἦν, συνελέχθησαν οἱ Μῆδοι ἐς τωὐτὸ, καὶ ἐδίδοσάν σφισι λόγον, λέγοντες περὶ τῶν κατηκόντων. ὡς δ' ἐγὼ δοκέω, κάλλιστα ἔλεγον οἱ τοῦ Δηϊόκεω φίλοι· „οὐ γὰρ δὴ τρόπῳ τῷ παρέοντι χρεώμενοι δυναιοί ἐσμεν οἰκεῖν τὴν χώρην, φέρε, στήσωμεν ἡμέων αὐτῶν βασιλέα, καὶ οὕτω ἥ τε χώρη εὐνομήσεται, καὶ αὐτοὶ πρὸς ἔργα τρεψόμεθα, οὐδὲ ὑπ' ἀνομίας ἀνάστατοι ἐσόμεθα." ταῦτα καὶ λέγοντες πείθουσι ἑωῦτοὺς βασιλεύεσθαι. αὐτίκα δὲ προβαλλομένων ὁντινα στήσονται βασιλέα, ὁ Δηϊόκης ἦν πολλὸς ὑπὸ παντὸς ἀνδρὸς καὶ προβαλλόμενος καὶ αἰνεόμενος, ἐς ὃ τοῦτον καταινέουσι βασιλέα σφίσι εἶναι.

Ἆρα τί διασύρει τῆς εὐγενείας ὁ σὸς ἐκεῖνος Δηϊόκης; ποίᾳ γὰρ τῇ εὐγενείᾳ τιμὴ μείζων, ἢ ἀπὸ τοῦ περὶ τὴν ἐπιείκειαν ἐκείνου διαλογισμοῦ, καὶ τὴν ἰσότητα καὶ τὴν δικαιοσύνην τὴν αὐτῆς ἀρχὴν ἀποκεῖσθαι, ἵνα μή σε πείθω εἰς τοῦτό με προσελθόντα, ὥστε τὴν ἀρετὴν σὺν μόνῃς καὶ γυμνῇς συγκρίνειν τῇς εὐγενείας. οὐ γὰρ ἐκεῖνα ἀκούειν βούλομαι·

Ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεὺς,

Ὅς πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβε,
Χρύσεα Χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων·

καί τοι ὁ τοῦ Ἡροδότου Δηιόκης, ὃ ἐξ ἐπιεικείας χρηματίζων, εἰ πάντες διὰ τὴν τοῦ δικαίου ἐπιθυμίαν εἰς αὐτὸν βασιλείαν ἀναφέρουσι, τῇ μὲν βασιλείας, τῇ δὲ εὐγενείας ἑαυτὸν ἀξιώτατον ἀποδηλοῖ. ἔπειτα δὲ βασιλείαν κεκτημένος οὐκ ἐπὶ μικρὸν τὴν τοῦ δικαίου ὑπόκρισιν ὑπῆρξαι δείκνυσιν, ἐνδελεχῶς περὶ τὰ διαιτήματα σωφρονέστατος τυχὼν, καὶ τῶν βιαίων καὶ ἀσελγῶν τὴν κόλασιν περὶ πολλοῦ ποιούμενον, τοσούτῳ ταῖς δίκαις ἐνδοξοτέρως, ὅσῳ πρὸς τὰ πρὶν διαφέρων ἦν βασιλεὺς ὤν.

V. Ἀλλὰ μὲν οὐκ ἔξαρνός εἰμι, τὴν εὐγένειαν ἀπὸ τῆς ἀρετῆς ὀρχὴν εἰληφέναι, ὑπ' αὐτῆς ὑποστηρίζεσθαι, ὑπ' ἐκείνης ἀκίνδυνοι γίνεσθαι λαμπράν. τὸ δ' αὐτὴν ἀτιμάζεσθαι τοῦτ' ἐμοὶ πάνυ δυσχερές· ἀξιοτάτην δὲ παντὸς μετεωρισμοῦ διϊσχυρίσομαι. ὅστις δὲ κτώμενος τυγχάνῃ τῇ προαγουμένῃ ἀρετῇ ἀκόλουθον εὐγένειαν, τοῦτον προιμιητέον τοῖς εὐγενέσι στερηθεῖσιν ἐπαγγελοῦμαι. ὡς δὲ μὴ διελέγχωμαι τῇ ὁμωνυμίᾳ, τὴν εὐγένειαν καλῶ, ἐπαινῶ, καὶ ταύτης ἀπολογίας ἀξιῶ τὴν τοῦ γένους λεγομένην ἀρετὴν, τὴν ὡς διὰ βήματα παρὰ προγόνων καὶ τῶν πάππων καὶ τῶν προπάππων μνήμην ἐν ἡμῖν ἀνανεάζουσαν, καὶ ἡμᾶς ἐν ἐκείνων ὀνόμασι καὶ γνωρίμους καὶ εὐσήμους ποιοῦσαν. ἀρέσκει δὲ καὶ τὸ Σαπφοῦς τούτοις προσάπτειν·

Ὄ πλοῦτος ἄνευ ἀρετᾶς
Οὐκ ἀσινὴς πάροικος, ἢ δ' ἐξ ἀμφοτέρων
Κρᾶσις εὐδαιμονίας ἔχει ἄκρον.

τί ἄρα, φήσεις, αὐτὸς προστασιάσει τῆς ἀπ' ἀρετῆς σοι τυχούσης εὐγενείας; ἐὰν γὰρ ὑπὲρ αὐτῆς μὴ λόγους ποιήσῃς, λήξῃς ἂν ὦν, ὅπερ ἦσαν ἀπόγονοι. ὅστις γὰρ ἀντιλαμβάνει τῆς ἀπὸ τῶν ἐκγόνων λειφθείσης εὐγενείας, οὗτος διὰ πολλῆς αἰτίας γενναῖος δύναται καλεῖσθαι· εἰ δὲ μή, ἀλλ' οὐκ εὐθὺς διὰ ταῦτα προσκρούεσθαι δεῖ, οὐ δῆτα μᾶλλον, ἢ μουσικὴ, γεωμετρία, πολιτικὴ, ἰατρεία, στρατηγία, ἐὰν τύχωσιν εἰς φλαῦρον

ἄνθρωπον πεπτωκυῖαι. οὕτως ὁρᾷς, ὡς οὐκ ἔστιν ὅπως ἡμᾶς ἐπὶ πλεῖω καταστρεβλῶμεν ἐπιπόφως ἐξετάζοντες, διὰ τί τὴν εὐγένειαν ἐκ τῶν παλαιῶν χρημάτων τε καὶ ἀρετῆς διαμετροῦμεν.

VI. Οὐδὲ μὴν οὐδ' αὐτὸς Ἀριστοτέλης, ὃν ὥσπερ διώκοντα τουτονὶ τὸν ἀγῶνα προσκαλεῖτε, οὕτως εὐγενείας ἀνισόῤῥοπος διαιτητὴς ἐστιν, ὥσθ' ὑμῖν συμφωνεῖσθαι. καὶ γὰρ ἐν τοῖς Πολιτικοῖς ἄλλως τε ἄλλο ζητοῦντος ἐκεῖ γνώμη σχεδὸν αὕτη.

Ὅτι μὲν τοίνυν εἰσὶ φύσεις τινὲς, οἱ μὲν ἐλεύθεροι, οἱ δὲ δοῦλοι, φανερὸν, οἷς καὶ συμφέρει τὸ δουλεύειν, καὶ δίκαιόν ἐστι. ὅτι δὲ καὶ οἱ τἀναντία φάσκοντες τρόπον τινὰ λέγουσιν ὀρθῶς, οὐ χαλεπὸν ἰδεῖν. διχῶς γὰρ λέγεται τὸ δουλεύειν, καὶ ὁ δοῦλος· ἔστι γάρ τις κατὰ νόμον δοῦλος, καὶ δουλεύων. ὁ γὰρ νόμος ὁμολογία τίς ἐστιν, ἐν ᾧ τὰ κατὰ πόλεμον κρατούμενα τῶν κρατούντων εἶναί φασι. τοῦτο δὲ τὸ δίκαιον πολλοὶ τῶν ἐν τοῖς νόμοις, ὥσπερ ῥήτορα, γράφονται παρανόμων. ὡς δεινὸν, εἰ τοῦ βιάσασθαι δυναμένου, καὶ κατὰ δύναμιν κρείττονος, ἔσται δοῦλον καὶ ἀρχόμενον τὸ βιασθέν. καὶ τοῖς μὲν οὕτω δοκεῖ· τοῖς δὲ ἐκείνως, καὶ τῶν σοφῶν. αἴτιον δὲ ταύτης τῆς ἀμφισβητήσεως, καὶ ὁ ποιεῖ τοὺς λόγους ἐπαλλάττειν, ὅτι τρόπον τινὰ ἀρετὴ τυγχάνουσα χορηγίας, καὶ βιάζεσθαι δύναται μᾶλλον· καὶ ἔστιν ἀεὶ τὸ κρατοῦν ἐν ὑπεροχῇ ἀγαθοῦ τινος· ὥσθ' δοκεῖν μὴ ἄνευ ἀρετῆς εἶναι τὴν βίαν, ἀλλὰ περὶ τοῦ δικαίου μόνον εἶναι τὴν ἀμφισβήτησιν· διὰ γὰρ τοῦτο, τοῖς μὲν εὐνοια δοκεῖ τὸ δίκαιον εἶναι, τοῖς δ' αὐτὸ τοῦτο δίκαιον, τὸ τὸν κρείττονα ἄρχειν. ἐπὶ διαστάντων γε χωρὶς τούτων λόγων, οὔτ' ἰσχυρὸν οἰδὲν ἔχουσιν, οὔτε πιθανὸν ἄτεροι λόγοι, ὡς οὐ δεῖ τὸ βέλτιον κατ' ἀρετὴν ἄρχειν καὶ δεσπόζειν. ὅλως δ' ἀντεχόμενοί τινες, ὡς οἴονται, δικαίου τινὸς, (ὁ γὰρ νόμος δίκαιόν τι) τὴν κατὰ πόλεμον δουλείαν τιθέασι δικαίαν ἅμα δ' οὐ φασὶ, τήν τε γὰρ ἀρχὴν ἐνδέχεται μὴ δικαίαν εἶναι τῶν πολέμων, καὶ τὸν ἀνάξιον δουλεύειν, οὐδαμῶν ἂν φαίη τις δοῦλον εἶναι. εἰ δὲ μὴ, συμβήσεται τῶν

εὐγενεστάτους εἶναι δοκοῦντας, δούλους εἶναι, καὶ ἐκ δούλων, ἐὰν συμβῇ πραθῆναι ληφθέντας. διόπερ αἰτοὺς οὐ βούλονται λέγειν δούλους, ἀλλὰ τοὺς βαρβάρους. καί τοι ὅταν τοῦτο λέγωσιν, οὐδὲν ἄλλο ζητοῦσιν, ἢ τὸ φύσει δοῦλον, ὅπερ ἐξ ἀρχῆς εἴπομεν. ἀνάγκη γὰρ εἶναί τινας φάναι, τοὺς μὲν πανταχοῦ δούλους, τοὺς δ' οὐδαμοῦ· τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ εὐγενείας. αὐτοὺς μὲν γὰρ οὐ μόνον παρ' αὐτοῖς εὐγενεῖς, ἀλλὰ πανταχοῦ, νομίζουσιν· τοὺς δὲ βαρβάρους οἴκοι μόνον, ὡς ὄντι τὸ μὲν ἁπλῶς εὐγενὲς καὶ ἐλεύθερον, τὸ δ' οὐχ ἁπλῶς. ὥσπερ καὶ ἡ τοῦ Θεοδέκτου Ἑλένη φησί·

Θείων δ' ἀπ' ἀμφοῖν ἐκγόνοιν ῥιζωμάτων
Τίς ἂν προσειπεῖν ἀξιώσειε λάτριν;

ὅταν δὲ τοῦτο λέγωσιν, οὐθενὶ ἀλλ' ἢ ἀρετῇ καὶ κακίᾳ διορίζουσι τὸ δοῦλον καὶ ἐλεύθερον, καὶ τοὺς εὐγενεῖς καὶ τοὺς δυσγενεῖς. ἀξιοῦσι γὰρ, ὥσπερ ἐξ ἀνθρώπου ἄνθρωπον, καὶ ἐκ θηρίων γίνεσθαι θηρίον, οὕτω καὶ ἐξ ἀγαθῶν ἀγαθον. ἡ δὲ φύσις βούλεται μὲν τοῦτο ποιεῖν πολλάκις, οὐ μέντοι δύναται.

VII. *Τοσοῦτον δεῖ παρ' αὐτῷ τὴν εὐγένειαν διαφέρεσθαι, ὥστε εἰς ἄκραν τιμὴν προφερομένη ἐοικέναι. πρῶτον μὲν ὅταν δηλοῖ, μὴ δίκαιον εἶναι, ἐὰν εὐγενέστατοι καὶ γενναιότατοι, καὶ ἐνδοξότατοι ἀξιούμενοι αἰχμάλωτοι γένωνται, δοῦλοι ὦσι, καὶ ἐν ἀνδραπόδων ἔχωνται λόγῳ. καὶ γὰρ οὐκ εἰκότως ἐνδέχεται δοῦλος γίνεσθαι ὁ εὐγενέστατος ἁλοὺς ἐν πολέμῳ. ὁ τοῦτο μὴ δίκαιον εἶναι φάσκων, τὴν εὐγένειαν οὐκ ἐκσυρίττει, ἔπειτα δὲ διαιρῶν τοὺς εὐγενεῖς κατὰ διαφοράς, καὶ μὴ δοκιμάζων τοὺς βαρβάρους· οὐ συγχωροῦντας ἄλλην ἢ τὴν οἰκοθεν εὐγένειαν. ἡ δὲ τοῦ Θεοδέκτους Ἑλένη ὅλῳ τῷ σωρῷ διακοσμεῖ τὴν εὐγένειαν, ὡς ὄντως ἐνδοξοτάτην ἀνέκαθεν ἀπ' εὐγενῶν ὑπάρχουσαν. ἀμωσγέπως καὶ ὁ Ἑρμόδωρος ἄδικον ἀμφισβήτησιν ἀνατελλομένην φησὶν, οὔτε δικαίᾳ κρίσει, οὔθ' ὅπλοις τέλους τετυχυῖαν, παρ' ἐκείνοις ἀδελφοῖς, ὧν ἕτερος μὲν ἀπὸ πατρὸς, ἕτερος δὲ ἀπὸ μητρὸς, προσποιεῖται τὴν*

εὐγένειαν. τελευταῖος δὲ ἅλις θηλοῖ, ὡς οὐκ
μενος τὸν λόγον τὸν ταῖς ἀρεταῖς καὶ κακίαι
γένειαν καὶ τὴν τοῦ γένους ἀμαυρότητα δι
ὅτι πέφυκε μὲν ἄνθρωπος ἐξ ἀνθρώπου, τοι
διακρίνεσθαι. εἰ δὲ ἐξ ἀνθρώπων ἄνθρωπο
διὰ τοῦτο ἰσότιμοι, καὶ ἐν τῷ αὐτῷ ἀριθμ
κτέοι, οἷδ' ὁ ἐξοχώτατος ἀρετῇ ἀπὸ τοῦ κα
ἀσελγεστάτου διαφέρων ἦν. τοῦτο γὰρ ἡ φι
ἀποδοῦναι ἐπιθυμεῖ, θάμὰ δὲ ἐμποδίζεται
νουσα τῆς ἀποτελειώσεως. τί δὲ χρὴ ἐξ Ἀρι
συνειλεγμένα μαρτύρια κατὰ τῆς εὐγενείας
ἐκεῖνον γὰρ ὁρῶμεν ἐν ἐκδεδομένῳ Περὶ Εὐγ
βλίῳ καὶ ἐν τοῖς ἐπαινετοῖς διακεκοσμηκότα,
ἀγαθῶν λόγῳ διηριθμηκότα.

VIII. *Πάλιν ἐπειδὴ μᾶλλον ἐνστὰς προβ*
αὐτὸν Ἀριστοτέλη, φέρε, ἐξετάζωμεν, πότε
τοσοῦτον προϋπηλάκισε τὴν εὐγένειαν, ὅσο
θεύεις. οὕτως γὰρ ἐν τοῖς αὐτοῖς αὐτὸς ἄλλ

Ἴσως γὰρ ἂν φαίη τις, κατὰ παντὸς
ἀγαθοῦ δεῖν ἀνίσως νενεμῆσθαι τὰς ἀρχὰς
τὰ λοιπὰ μηδὲν διαφέροιεν, ἀλλ' ὅμοιοι τυγχ
τες· τοῖς γὰρ διαφέρουσιν ἕτερον εἶναι τὸ δί
τὸ κατ' ἀξίαν· ἀλλὰ μὴν εἰ τοῦτο ἀληθὲς,
κατὰ χρῶμα, καὶ κατὰ μέγεθος, καὶ καθ' ἕ
ἀγαθὸν, πλεονεξία τις τῶν πολιτικῶν δι
ὑπερέχουσιν. ἢ τοῦτο ἐκπόλιον τὸ ψεῦδος
δ' ἐπὶ τῶν ἄλλων ἐπιστημῶν καὶ δυνάμεων·
ὁμοίων αἱλητῶν τὴν τέχνην οὐ δοτέον πλεο
αὐλῶν τοῖς εὐγενεστέροις· οὐδὲν γὰρ αὐλή
τιον. δεῖ δὲ τῷ κατὰ τὸ ἔργον ὑπερέχοντι δι
τῶν ὀργάνων τὴν ὑπεροχήν. εἰ δὲ μήπω δῆ
γόμενον, ἔτι μᾶλλον αὐτὸ προαγαγοῦσιν ἑστα
εἰ γὰρ εἴη τις ὑπερέχων μὲν κατὰ τὴν αὐλητι
δ' ἐλλείπων κατ' εὐγένειαν, ἢ κάλλος, εἰ
ἕκαστον ἐκείνων ἀγαθὸν ἐστι τῆς αὐλητικῆς
τήν τ' εὐγένειαν καὶ τὸ κάλλος,) καὶ κατὰ
γίαν, ὑπερέχουσι πλέον τῆς αὐλητικῆς, ἢ

τὴν αὐληтικὴν, ὅμως τούτῳ δοτέον τοὺς διαφέροντας τῶν αὐλῶν· δεῖ γὰρ εἰς τὸ ἔργον συμβάλλεσθαι τὴν ὑπεροχὴν καὶ τοῦ πλούτου, καὶ τῆς εὐγενείας· συμβάλλονται δὲ οὐδέν. ἔτι κατά γε τοῦτον τὸν λόγον πᾶν ἀγαθὸν πρὸς πᾶν ἂν εἴη συμβλητόν. εἰ γὰρ μᾶλλον τό τι μέγεθος, καὶ ὅλως ἂν τὸ μέγεθος ἐναμιλλον εἴη καὶ πρὸς πλοῦτον, καὶ πρὸς ἐλευθερίαν· ὥστ' εἰ πλέον ὁδὶ διαφέρει κατὰ μέγεθος, ἢ ὁδὶ κατ' ἀρετὴν, καὶ πλέον ὑπερέχει ὅλως ἀρετῆς μέγεθος, εἴη ἂν συμβλητὰ πάντα. τόσον δὲ γὰρ μέγεθος, εἰ κρεῖττον τοσοῦδε τοσόνδε, δῆλον ὡς ἴσον. ἐπεὶ δὲ τοῦτο ἀδύνατον, δῆλον, ὡς καὶ ἐπὶ τῶν πολιτικῶν εὐλόγως οὐ κατὰ πᾶσαν ἀνισότητα ἀμφισβητοῦσι τῶν ἀρχῶν. εἰ γὰρ οἱ μὲν βραδεῖς, οἱ δὲ ταχεῖς, οὐδὲν διὰ τοῦτο δεῖ τοὺς μὲν πλεῖον, τοὺς δ' ἔλαττον ἔχειν. ἀλλ' ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ἡ τούτων διαφορὰ λαμβάνει τὴν τιμήν· ἀλλ' ἐξ ὧν πόλις συνέστηκεν, ἐν τούτοις ἀναγκαῖον ποιεῖσθαι τὴν ἀμφισβήτησιν. διόπερ εὐλόγως ἀντιποιοῦνται τῆς τιμῆς οἱ εὐγενεῖς, καὶ ἐλεύθεροι καὶ πλούσιοι. δεῖ γὰρ ἐλευθέρους τ' εἶναι καὶ τίμημα φέροντας. οὐ γὰρ ἂν εἴη πόλις ἐξ ἀπόρων πάντων, ὥσπερ οὐδ' ἐκ δούλων. ἀλλὰ μὴν εἰ δεῖ τούτων, δηλονότι καὶ δικαιοσύνης, καὶ τῆς πολιτικῆς ἀρετῆς. οὐδὲ γὰρ ἄνευ τούτων οἰκεῖσθαι πόλιν δυνατόν. πλὴν ἄνευ μὲν τῶν προτέρων ἀδύνατον εἶναι πόλιν, ἄνευ δὲ τούτων οἰκεῖσθαι καλῶς. πρὸς μὲν οὖν τὸ πόλιν εἶναι, δόξειεν ἂν ἢ πάντα, ἢ ἔνιά γε τούτων, ὀρθῶς ἀμφισβητεῖν· πρὸς μέντοι ζωὴν ἀγαθὴν ἡ παιδεία καὶ ἡ ἀρετὴ μάλιστα δικαίως ἂν ἀμφισβητοίησαν, καθάπερ εἴρηται καὶ πρότερον. ἐπεὶ δὲ οὔτε πάντων ἴσον ἔχειν δεῖ τοὺς ἴσους ἢν τι μόνον ὄντας, οὔτε ἄνισον τοὺς ἀνίσους καθ' ἓν· ἀνάγκη πάσας εἶναι τὰς τοιαύτας πολιτείας παρεκβάσεις. εἴρηται μὲν οὖν καὶ πρότερον, ὅτι διαμφισβητοῦσι τρόπον τινὰ δικαίως πάντες, ἁπλῶς δ' οὐ πάντες δικαίως· οἱ πλούσιοι μὲν, ὅτι πλέον μέτεστι τῆς χώρας αὐτοῖς, ἡ δὲ χώρα κοινόν· ἔτι τὰ συμβόλαια πιστοὶ μᾶλλον, ὡς ἐπὶ τὸ πλέον· ἐλεύθεροι καὶ εὐγενεῖς, ὡς ἐγγυς ἀλλήλων. πολίτ-

αὖλλον οἱ γενναιότεροι τῶν ἀγενῶν· ἡ δ εὐγένεια παρ' ἑκάστοις οἴκοι τίμιος· ἔτι διότι βελτίους εἰκὸς τοὺς ἐκ βελτιόνων. εὐγένεια γάρ ἐστιν ἀρετὴ γένους. ὁμοίως δὲ φήσομεν δικαίως καὶ τὴν ἀρετὴν ἀμφισβητεῖν· κοινωνικὴν γὰρ ἀρετὴν εἶναί φαμεν τὴν δικαιοσύνην, ἧς πάσας ἀναγκαῖον ἀκολουθεῖν τὰς ἄλλας. ἀλλὰ μὴν καὶ οἱ πλείους πρὸς ἰοὺς ἐλάττους· καὶ γὰρ πλείους καὶ πλουσιώτεροι, καὶ βελτίους εἰσὶν, ὡς λαμβανομένων τῶν πλειόνων πρὸς τοὺς ἐλάττους. ἆρ' οὖν εἰ πάντες εἶεν ἐν μιᾷ πόλει (λέγω δ' οἷον οὔτ' ἀγαθοὶ, καὶ οἱ πλούσιοι, καὶ εὐγενεῖς, ἔτι δὲ πλῆθος ἄλλο τι πολιτικὸν) πότερον ἀμφισβήτησις ἴσται, τίνας ἄρχειν δεῖ, ἢ οὐκ ἔσται; καθ' ἑκάστην μὲν οὖν πολιτείαν τῶν εἰρημένων ἀναμφισβήτητος ἡ κρίσις, τίνας ἄρχειν δεῖ· τοῖς γὰρ κυρίοις διαφέρουσιν ἀλλήλων· οἷον ἡ μὲν τοῖς διὰ πλουσίων· ἡ δὲ τῷ διὰ τῶν σπουδαίων ἀνδρῶν εἶναι, καὶ τῶν ἄλλων ἑκάστη τὸν αὐτὸν τρόπον. ἀλλ' ὅρας σκοποῦμεν, ὅταν περὶ τὸν αὐτὸν ταῦθ' ὑπάρχῃ χρόνον, πῶς διοριστέον; εἰ δὴ τὸν ἀριθμὸν εἶεν ὀλίγοι πάμπαν οἱ τὴν ἀρετὴν ἔχοντες, τίνα δεῖ διελεῖν τὸν τρόπον; ἢ τὸ ὀλίγοι πρὸς τὸ ἔργον δεῖ σκοπεῖν, εἰ δυνατοὶ διοικεῖν τὴν πόλιν; ἢ τοσοῦτοι τὸ πλῆθος, ὥστ' εἶναι πόλιν ἐξ αὐτῶν; ἔστι δὲ ἄπορία τις πρὸς ἅπαντας τοὺς διαμφισβητοῦντας περὶ τῶν πολιτικῶν τιμῶν. δόξαιεν γὰρ οὐδὲν λέγειν δίκαιον, οἱ διὰ τὸν πλοῦτον ἀξιοῦντες ἄρχειν· ὁμοίως δὲ καὶ οἱ κατὰ γένος. δῆλον γὰρ, ὡς εἴ τις πάλιν εἰς πλουσιώτερος ἁπάντων ἐστὶ, δῆλον ὅτι κατὰ τὸ αὐτὸ δίκαιον τοῦτον ἄρχειν τὸν ἕνα ἁπάντων δεήσει· ὁμοίως δὲ καὶ τὸν εὐγενείᾳ διαφέροντα, τῶν ἀμφισβητούντων δι' ἐλευθερίαν· ταυτὸ δὲ τοῦτο ἴσως συμβήσεται καὶ περὶ τὰς ἀριστοκρατίας ἐπὶ τῆς ἀρετῆς. εἰ γάρ τις εἰς ἀμείνων ἀνὴρ εἴη ἁπάντων τῶν ἐν τῇ πολιτεύματι σπουδαίων ὄντων, τοῦτον δεῖ εἶναι κύριον κατὰ ταυτὸ δίκαιον. οὐκοῦν εἰ καὶ τὸ πλῆθος εἶναί γε δεῖ κύριον, διότι κρεῖττους εἰσὶ τῶν ὀλίγων· κἂν εἷς, ἢ πλείους μὲν τοῦ ἑνὸς, ἐλάττους δὲ τῶν πολλῶν, κρείττους ὦσι τῶν ἄλλων, τούτους ἂν δέοι κυρίους εἶναι

μᾶλλον, ἢ τὸ πλῆθος. πάντα δὴ ταῦτ' ἔοικε φανερὸν ποιεῖν, ὅτι τούτων τῶν ὅρων οὐδεὶς ὀρθός ἐστι, καθ' ὃν ἀξιοῦσιν αὐτοὶ μὲν ἄρχειν, τοὺς δ' ἄλλους ὑπὸ σφῶν ἄρχεσθαι. καὶ γὰρ δὴ καὶ πρὸς τοὺς κατ' ἀρετὴν ἀξιοῦντας κυρίους εἶναι τοῦ πολιτεύματος, ὁμοίως δὲ καὶ τοὺς κατὰ πλοῦτον, ἔχοιεν ἂν λέγειν τὰ πλήθη λόγον τινὰ δίκαιον.

IX. Ἐν τούτοις Ἀριστοτέλης οὐ μόνον οὐ διέβαλε τὴν εὐγένειαν, ἀλλὰ καὶ ἐπῄνεσε. τῶν καλῶν εἶναί φησι τὴν εὐγένειαν, αὐτὴν δὲ καίπερ οὐκ ἀεὶ προτιμᾷ, καὶ ὅλως οὐκ ἐν τῷ αὐτῷ τὴν ἀρετήν. μόνον δηλοῖ, ὅτι οὐκ ἀποδέχεται τὸ ἄτοπον ἐκεῖνο, κατ' ἐξοχὴν, καίπερ ἐν ἄλλοις ἴσους ὄντας, ἀνίσους δεῖν τῶν ἀρχῶν μεταδίδοσθαι. τοῖν ἰσοτέχνοιν αὐλητοῖν μὴ προκριτέον τὸν εὐγενέστερον ἐν τοῖς αὐλοῖς, οὐ γὰρ βέλτιον αὐλήσειεν ἄν, ἀλλὰ τὸν εὐτεχνότερον. τί γὰρ ἡ εὐγένεια ποιεῖ πρὸς τὴν ἐμπειρίαν τῶν αὐλῶν; ἀλλὰ μᾶλλον ἀποφαίνει, τῇ πόλει χρησίμους εἶναι τοὺς εὐγενεῖς, τοὺς ἐλευθέρους, ἔτι δὲ χρησιμωτέραν τὴν δικαιοσύνην, καὶ τὴν ἀνδρείαν. τέλος δὲ, τί ἐκεῖνος οὐχ ἅλις ἐμφαίνει μὴ στυφελιζομένην τὴν εὐγένειαν, ὅταν αὐτὴν ἐν τιμῇ ἔχεσθαι παρὰ πᾶσι λέγει, ὡς πιθανὸν δοκεῖν τοὺς ἐκ βελτιόνων πεφυκότας βελτίους τυγχάνειν; πῶς οὖν τῆς ὑπὸ τοῦ παντὸς ἀνθρωπίνου γένους εὐγενείας τιμωμένης ἡμεῖς καταφρονοῦμεν, διασπῶμεν, διασύρομεν, ἵνα δὲ μὴ χολὴν κινῇς ἡμῖν, οὕτω συχνάκις ἀνακληθέντος ἐκείνου τοῦ σοῦ Ἀριστοτέλους, ἢ τὰ ἐκείνων δόγματα ἀποβλητέα, ἢ τοῖς ἀγαθοῖς προσαριθμητέον τὴν εὐγένειαν, ὥσπερ καὶ τὸν πλοῦτον, καὶ πρὸς τὴν εὐδαιμονίαν συμφέρειν οὐκ ἂν δύναιο ἔξαρνος εἶναι.

X. Πάλιν ἐκεῖνο φλυαρεῖς. τί γὰρ ἄλλο νομίζομεν εἶναι τὴν εὐγένειαν, εἰ μὴ παλαιὸν πλοῦτον, ἢ παλαιὰν δόξαν, οὐδέτερον ἐφ' ἡμῖν ὄν, ἀλλὰ τὰ μὲν τύχης ὠήλου, τὰ δ' ἀκρασίας χάριν ἀνθρωπίνης, ὥστ' ἐκ δυεῖν ἀλλοτρίων κρέμαται τὸ πεφυσημένον ὄνομα ἡ εὐγένεια. καὶ ὁ πλοῦτος μὲν οὐχ ὁμοίους αὑτῷ τοὺς γεννηθέντας ποιεῖ, ἀλλ' ὁ ἐξ ἀρετῆς γεννηθεὶς εἰκονίζεται ὑπὸ τῶν

ἐπὶ τῆς ψυχῆς δικαίων εἰς τοὺς ἐκγόνους διαχεομένων, καὶ τοῦτ' ἔστιν ἡ ὄντως εὐγένεια, ὁμοίωσις δικαιοσύνης. Ἆρ' οὖν εὐγενέστερος ἦν ὁ Μίδου πλοῦτος τῆς Ἀριστείδου πενίας; καί τοι ὁ μὲν οὐδ' ἐντάφια κατέλιπών. τῷ δὲ Φρυγὶ πάντ' ἂν ἐδύνατο εἶναι τάφος. ἀλλ' οὐκ ἐν πλουσίῳ τὸ εὐγενές· (πυρὸς ἔχει τινὰ τρόπον πᾶσα πονηρία· ἀμφότερα χωρὶς τροφῆς ὀφανίζεται σβεννύμενα.) ἡ δὲ Σωκράτους ἀδοξία μαίας καὶ Ῥομογλύφου πατρὸς οὐκ ἦν εὐγενεστέρα τῆς Σαρδαναπάλου δόξης; μὴ σὺγε νομίζεις, ὅτι Ξέρξης εὐγενέστερος ἦν Κυναιγύρου, καί τοι ὁ μὲν ὑπὲρ τῆς ἰδίας πατρίδος ἀπεκόπη τὴν χεῖρα, ὁ δὲ ὑπὲρ τοῦ ζῆν ἔφυγεν, ἀπὸ τῆς μεγάλης βασιλείας μεγάλην περικείμενος δειλίαν.

XI. *Λέγεται μὲν ταῦτα μεγαλοπρεπῶς. ἐγὼ δὲ οὐχ οὕτως ἀλλότριός εἰμι τῆς ἐπιεικείας, ὥστε τιθέναι τῇ ἀρετῇ ἐναντίαν τὴν εὐγένειαν. οὐ ποιήσω, οὐ λέξω· τὸ δὲ τῆς εὐγενείας ὄνομα κενὸν εἶναι, μηδαμῶς συμφήσω· οὐχ ἧττον δ' ὡς ἄχρηστα τὰ χρήματα εἰς Θάλατταν καταποντισθήσεσθαί τις κελεύῃ. πολλάκις μὲν μήτε τρόπαια πάρεστιν ἡμῖν, μήτε κτήματα, μήτε πάπποι, μήτε πρόπαπποι· ὅτῳ δὲ ταῦτα ὑπάρχουσιν ἕξοχα, τούτοις χαίρειν τε καὶ χρῆσθαι τὸν καλῶς τὰ τῆς ἀρετῆς ἔργα μελετῶντα, οὐδὲν κωλύει πρὸς τὴν εὐδαιμονίαν. ἀλλὰ μᾶλλον εἰσὶ βοήθειαι καὶ ὄργανα σοφίας· ἅπερ κἂν μὴ ὑποῤῥιζῶσι τὴν ἀρετὴν, αὐτήν τε διακοσμοῦσι, οὐκ ἄλλως ἢ καλῇ παρθένῳ, ἂν ἀπύρυφος ᾖ, πρέπει τε ἡ λαμπρὰ ἐσθὴς, καὶ προστίθησιν, οὐκ οἶδ' ὅ τι πρὸς τὸ τῆς φύσεως κάλλος. οὕτως οὐχ οἵη τε οὖσα ἡ εὐγένεια τὴν ἀρετὴν θαυμαστοτέραν ποιεῖν, ἥτις ταῖς ἰλλοι ἀκτῖσιν λαμπροτέρα ὑπάρχει, ὅμως οὐκ οἶδα τί αὐτῆς καὶ κόσμου τῷ τῆς ἀρετῆς σπουδαίῳ προσφέρει. μεῖζον τοῦ δὲ τὸν Σωκράτην τοῦ Ξέρξου προτιμήσεις; εἰ δὲ Κῦρος τὰ εἰς αὐτὸν συμβεβλημένα ὑπὸ τοῦ Σωκρατικοῦ Ξενοφῶντος εἶχεν, δῆλον ὅτι τοῖς σοῖς νόμοις καὶ τοῖς αὐτοῦ Σωκράτους τὰ τοῦ Κύρου τιθῆς ἂν ὡς ἀρετώτερα τοσοῦτον, ὅσον ὑστερίζουσι οἱ λόγοι τῶν πραγμάτων.*

XII. Ὁ δὲ Ἀνάχαρσις ὅταν ἔλεγε τοὺς Ἀθηναίους παρὰ Σκύθαις βαρβάρους, ὥσπερ τοὺς Σκύθας ἐν τοῖς Ἀθηναίοις, οὐ κατεδίκαζε τὴν εὐγένειαν, ἀλλὰ μᾶλλον ἕκαστον ἐν τῇ οἰκείᾳ χώρᾳ δοκεῖν εὐγενῆ σημαίνει. οὐκοῦν ῥᾴδιον ὀνειδίζεσθαι τὸ τοῦ γένους ἄδοξον, τοῖς ὅσον τύχοι ἔθνεσιν ἀλλοδαποῖς. ὁ δὲ Χρύσιππος ἐν τῷ περὶ τῶν ἀρετῶν ἰσοτιμίας περίτεγμα καὶ διάξυσμα τὴν εὐγένειαν καλεῖ, μηδὲν ἄρα διαφέρειν ἕτου πυρὰ πατρὸς γεγονὼς τυγχάνῃς, εὐγενοῦς ἢ μή. τί τῶν Στωϊκῶν ἀρχηγῶ ἀποκρίνωμαι, ζητεῖς; τοῦθ' ὅπερ ἤκουσας ἐμὲ κατ' ἐκείνης λέγοντα στοᾶς. τοῦτον τὸν Στωϊκὸν Λαπίθαν καὶ ἐξ ἀδάμαντος συμπεπηγνυμένον, οὗ θαυμαστὸν ἀγνοεῖν τὴν εὐγένειαν, ὃς καὶ τὸ στῆθος λόγχῃ πεπαρμένος οὐκ αἰσθάνεσθαι φησι, οὐδὲν τοῦτο πρὸς αὐτὸν, μηδαμῶς ὑποδιδόντα τοῖς ἀλγήμασι, καὶ τμηθεὶς ἀναίσθητος ὤν. τοιαύτης τῆς στοᾶς ἔτοικοι τί θαυμαστὸν, εἰ τὸν ἄνθρωπον τὴν εὐγένειαν ἀφαιροῦσιν, οὓς τὸν ἔρωτα, τὸ ἔλεος, τὴν ἀνελεημοσύνην, καὶ τὰ πάθη τὰ λοιπὰ τῷ ἀνθρώπῳ, παρὰ φύσεως δοθέντα, ἀποσπῶσιν. οὗτοί εἰσιν οἱ ἐν μέσῳ τῷ πυρὶ μὴ φλέγεσθαι ἀπαγγέλλοντες, οὐδ' ἐν μέσῃ τῇ θαλάσσῃ ὑπὸ τῶν κυμάτων καταποντίζεσθαι. οὗτοι οἱ ἀφ' ἡμῶν τοὺς τῆς φύσεως θεσμοὺς ἐξορίζοντες, τὰ πάθη μάτην ἐμπεφυκότα λέγοντες. οὗτοι οἱ τὴν πρόνοιαν τὴν ἀγχίνοιαν μάλα γραῦν μητέρα καλοῦντες τούτου τοῦ παντὸς, ἣν διὰ τί γε οὐχ ὥραιαν ἐπεσκήψαντο τῇ ἡλικίᾳ, εἴπερ ἡμᾶς ἐβούλοντο πείθειν αὐτὴν τηλικούτου ὄγκου αὐτοκτίστην; ἀλλὰ τὰ μὲν ἀνέχεσθαι οὐ χαλεπόν· ὅτι δὲ τῆς εὐγενείας οἰκείους δορυφόρους χλευάζει, τὴν ἀλαζονείαν, τὸ κομψὸν, τὴν βίαν, τὴν τοῦ ἀνθρωπίνου δικαίου καταφρόνησιν, ὅτι τῶν βασιλέων καὶ τῶν ἀρχόντων τινὰς ὑπὸ τούτων ὑποβρυχιομένους ὁρῶσιν, οὐ μέμνηνται τοὺς αὐτοὺς τούτους, οἳς αὐθάδει φωνῇ τῆς εὐγενείας δορυφόρους καλοῦσιν, ἐν ἄλλοις τῶν ἀγενῶν οὐχ ἥκιστα ὑπάρχειν. ἐκείνων τὴν μῆνιν φησὶν

Μῆνιν ἄειδε, Θεὰ, Πηληϊάδεω Ἀχιλῆος
Οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε,

Πολλὰς τ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
Ἡρώων, αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν,
Οἰωνοῖσί τε πᾶσι.

ταύτην δὲ τὴν μῆνιν ἆρα μέγιον ἐνόμιζε τοῦ Ἀχιλλέως; ἢ χείρων ἦν Φαλάριδος καὶ Ἀγαθοκλέους καὶ Διονυσίου, οὓς ἀγενεῖς οὐκ ἀγνοοῦμεν; οὐ γὰρ ποιητὴς ἐκεῖνος ὁ κάλλιστα πεπαιδευμένος ὅταν λέγει·

Οὐ μὲν γὰρ τί που ἔστιν ὀϊζυρώτερον ἀνδρὸς
Πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει,

μᾶλλον περὶ εὐγενοῦς φησι. οὔσης δὲ τῆς φύσεως σφαλερᾶς, οὐκ εὐθὺς οὐδὲν διαφέρει τοῦ ἀγενοῦς ὁ γενναῖος, ἀλλὰ τὰ παρὰ φύσεως ἐπιτήδεια ὡς ὑπὸ θεοῦ σωθέντα θαυμάζεται·

Οὕτως οὐ πάντεσσι θεὸς χαρίεντα δίδωσιν
Ἀνδράσιν, οὔτε φυὴν, οὔτ' ἂρ φρένας, οὔτ' ἀγορητύν.
Ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνὴρ,
Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει, οἱ δέ τ' ἐς αὐτὸν
Τερπόμενοι λεύσσουσιν.

οὔδ' ἂν ἴδῃς εἰς τὰς ἀρχὰς, προστασίας, βασιλείας ἐσβάλλοντά τινα τῶν ἀγενῶν, τοὺς δὲ εὐγενεστάτους καταβαλλομένους, διὰ τοῦτο διώξεις τὴν εὐγένειαν. ἐκεῖνα γὰρ οὐ μᾶλλον τῶν εὐγενῶν ἢ τῶν δημοτικῶν ἅπτεται,

Εἰ γάρ ἐγένου σὺ, Τρόφιμε, τῶν πάντων μόνος,
Ὅν τ' ἔτικτεν ἡ μήτηρ ἐφ' ᾧ γε διατελεῖν
Πράσσων ἃ βούλει, καὶ διευτυχεῖν ἀεὶ,
Καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
Ὀρθῶς ἀγανακτεῖς· ἔστι γὰρ σ' ἐψευσμένος,
Ἀτοπόν τε πεποίηκ'. εἰ δ' ἐπὶ τοῖς αὐτοῖς νόμοις
Ἐφ' οἷσπερ ἡμεῖς, ἕπασας τὸν ἀέρα
Τὸν κοινὸν, ἵνα σοί τι τραγικώτερον λαλῶ
Οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον.

λέλεκται γὰρ τοιαῦτα καὶ τῷ δήμῳ, καὶ τοῖς ἐν τέλει, οἷς οὔτε δόξα, οὔτε ἀδοξία πρὸς ταῦτα συμφέρειν δύνατται. ἐξ ἴσου τὰ παρὰ θεοῖς εἱμαρμένα ἑκατέροις ἀγνοεῖται· ἐπεὶ

Σύμβολον δ' οὔπω τις ἐπιχθονίων
Πιστὸν ἀμφὶ πράξιος ἐσ-

σομένας εὗρεν Θεόθεν.
Τῶν δὲ μελλόντων τετύφλωνται φράδαι·
Πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν
Ἔμπαλιν μὲν τέρψιος. οἱ δ' ὑνιαρᾶις
Ἀντικύρσαντες ζάλαις
Ἐσθλὸν βαθὺ πήματος ἐν μι-
κρῷ πεδάμειψαν χρόνῳ.

XIII. *Πάλιν πρὸς Χρύσιππον ἀναχωρῶ, ὃς κατὰ τῆς εὐγενείας ὑπὸ τοῦ ξυνετωτάτου ποιητοῦ πεποιῆσθαι γράφει τάδε,*

Ὃν κεν ἐγὼ δήσας ἀγάγω, ἢ ἄλλος Ἀχαιῶν·
ὡσπερανεὶ χρέων ἢ Θερσίτου τοῦ ἀσελγεστάτου καὶ ἀτιμωτάτου λόγους τοὺς ἀσχημονεστάτους εἰς τὸν ἄριστον βασιλέα πρὸς ταῦτα μεταφέρειν. ἀλλὰ μᾶλλον Ὀδυσσέα τινὰ ζητεῖν τοῦ ἀβελτέρου ἀποπλήξοντα τὴν αὐθάδειαν. πάλιν ὑλακτεῖ, λέγων, ὑπὸ τοῦ αὐτοῦ ποιητοῦ τὰ τῶν εὐγενῶν κακῶς πεπραγμένα δηλωθέντα, ὅταν τὴν Ἄρεως καὶ Ἀφροδίτης μοιχείαν ὁ Ἥφαιστος κατείληφε,

Ζεῦ, πάτερ, ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Δεῦθ', ἵνα ἔργα γελαστὰ καὶ οὐκ ἐπιεικτὰ ἴδησθε.
Ὡς ἐμὲ χωλὸν ἐόντα Διὸς θυγάτηρ Ἀφροδίτη
Αἰὲν ἀτιμάζει, φιλέει δ' ἀΐδηλον Ἄρηα·
Οὕνεχ' ὁ μὲν καλός τε καὶ ἄρτιπος, αὐτὰρ ἐγωγε
Ἠπεδανὸς γενόμην· ἀτὰρ οὔτι μοι αἴτιος ἄλλος,
Ἀλλὰ τοκῆε δύω· τὼ μὲν γείνασθαι ὄφελλον.

εἰ μὲν οὖν ἡ ἐκ Διὸς ἐκγεγαυῖα ἐγκαλεῖται Ἀφροδίτη, ἀλλὰ μὲν καὶ ὁ ἐγκαλῶν οὐχ ἥττον ἐξ αὐτοῦ τοῦ Διός· οὐδ' ὠνείδιζε δικαίως Ἀφροδίτῃ τῷ Ἡφαίστῳ τὴν χωλότητα· ἀπαρνεῖται γὰρ ἑαυτὸν αἴτιον τῆς πηρώσεως· οὐδ' ὠνέ'δισεν αἰτὸς τὴν εὐγένειαν Ἀφροδίτῃ. Ἆρα τί λέγει,

Ἀλλ' ὄψεσθ', ἵνα τώγε καθεύδετον ἐν φιλότητι
Εἰς ἐμὰ δέμνια βάντε· ἐγὼ δ' ὀρόων ἀπάχημαι.
Οὐ μέν σφας ἔτ' ἔολπα μενυνθά γε κείσεμεν οὕτω,
Καί μάλα περ φιλέοντε· τάχ' οὐκ ἐθελήσετον ἄμφω
Εὕδειν, ἀλλά σφωε δόλος καὶ δεσμὸς ἐρύξει,

Εἰπόκε μοι μάλα πάντα πατὴρ ἀποδώσει ἕεδνα,
Ὅσσα οἱ ἐγγυάλιξα κυνώπιδος οὕνεκα κούρης,
Οὔνεκά οἱ καλὴ θυγάτηρ, ἀτὰρ οὐκ ἐχέθυμος.

ταῦτα μᾶλλον πρὸς τὴν εὐγενῆ Ἀφροδίτην ἢ πρὸς τὴν δημοτικὴν Λαΐδα, ἢ δυοῖν ὀβολοῖν ἑταιρίδιον; ἢ ἐκεῖνοι τοῦ Ἡφαίστου δεσμοὶ τοῦ μὲν καταλειφθέντος καὶ προσεχομένου Ἄρεος καθάπτονται, τοῦ δὲ ἐκ τοῦ δήμου τυχόντος οὔ; Ἥφαιστος μὲν

— καπὰ φρεσὶ βυσσοδομεύων·
Ἐν δ' ἔθετ' ἄκμονα μέγαν, πόκτε δὲ δεσμοὺς
Ἀρρήκτους, ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν.
Αὐτὰρ ἐπειδὴ τεῦξε δόλον κεχολωμένος Ἄρει,
Βῆ ῥ' ἴμεν ἐς θαλαμον, ὅθι οἱ φίλα δέμνι' ἔκειτο.
Ἀμφὶ δ' ἄρ' ἑρμῖσιν χέε δέσματα κύκλῳ ἁπάντη.
Πολλὰ δὲ καὶ καθύπερθε μελαθρόφιν ἐξεκέχυντο
Ἠΰτ' ἀράχνια λεπτά, τά γ' οὔ κέ τις οὐδὲ ἴδοιτο,
Οὐδὲ θεῶν μακάρων· περὶ γὰρ δολόεντα τέτυκτο.
Αὐτὰρ ἐπειδὴ πάντα δόλον περὶ δέμνια χεῦεν,
Εἴσατ' ἴμεν ἐς Λῆμνον ἐϋκτίμενον πτολίεθρον.

οὗτοι οἱ δεσμοὶ ἐξ ἴσου μάλα τείνουσιν εἰς ἅπαντας τοὺς ἀνεχομένους ἑαυτοὺς τοῖς ἐρωτικοῖς ἁλίσκεσθαι δελέασι. εἰς τοιαύτας τὰς πέδας ἐκείνους ἀνάγκη πίπτειν, τὰ δ' ἁμαρτήματα οὐχ οὕτως στέγεσθαι καὶ καλύπτεσθαι, ὥστε μὴ ἐμφαίνεσθαι. οὐκ ἀγνοεῖς τοῦτο ὅπερ εἴς λέγει τῶν Θεῶν·

Οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει δὲ βραδὺς ὠκύν.
Ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα,
Ὠκύτατόν περ ἐόντα θεῶν οἳ Ὄλυμπον ἔχουσι,
Χωλὸς ἐὼν, τέχνῃσι· τὸ καὶ μοιχάγριε ὄφελλεν.

ἢ δ' ὑμετέρα ἐκείνη στοὰ, ὦ Στωϊκοί, μηδένα πώποτε μοιχὸν ἑώρακε περιπατοῦντα; ἢ δ' ἐν προσώπῳ κηλὶς εἰ μᾶλλον βλέπεται, ὅτι μᾶλλον ἐπίδηλος, οὕτως εἰκότως καὶ τῶν εὐγενῶν τὰ πλάσματα ἐκδηλότερα ὄντα, θᾶττον διώκεσθαι. εἰ δὲ μὴ τὴν στοὰν καταβάλλετε τὰ πάντα ἁμαρτήματα φάσκοντες ἴσα τυγχάνειν, τί τῶν εὐγενῶν ἀκριβέστερον ἐπιτηρεῖτε; θυγατρὸς ἑαυ-

κεχρῆσθαι τὸν ἐκ δήμου, καὶ τὸν βασιλέα μηδὲν διαφέρειν λέγετε· ὅμως πολλὰ φλυαροῦντες εἰς τὸν τῶν εὐγενῶν τύφον, ἀλαζονείαν, ἔρωτας, ἀθεμίστους συνουσίας, ὠμότητα, ἀντιδίκων ἐπιθυμητικοὺς καλεῖτε, καὶ τῶν μὲν εὐεργεσιῶν ἀμνήμονας, ἀδικουμένους δὲ δριμυτάτους πρὸς τὸ ἀποτίειν. ταῦτα μὲν οὖν εἰ μόνους εἰς τούτους προσήκει, δικαίως ἴσως ἂν ἡμῖν οὕτω ῥητορεύειν συνεχωροῦμεν. νυνὶ δὲ μηδ' ἡμᾶς αὐτοὺς τούτων τῶν παθημάτων ἐλευθέρους ἐποίησεν ἐκείνη ὑμετέρα πρόνοια χρησμολόγος γραῦς. διὸ γοῦν ἐφ' οἷς τοὺς ἄλλους σωφρονίζετε, ταῦτα ἀφ' ὑμῶν ἀφαιρεῖτε.

XIV. *Φανερὸν τοίνυν, ἔφην ἐγὼ, περὶ ὧν πάλαι διηπορήσαμεν, διὰ τί ποτε οἱ ἐκ πάλαι πλουσίων, ἢ οἱ ἐκ πάλαι σπουδαίων εὐγενέστεροι δοκοῦσιν εἶναι μᾶλλον τῶν σύνεγγυς τἀγαθὰ κεκτημένων. αὐτὸς γὰρ ἐγγύτερος σπουδαῖος ὤν, ἢ πάππου σπουδαίου τευχηκὼς, ὥστ' εἴη ἂν εὐγενὴς ὁ ἀγαθὸς ἀνήρ. καί τινες εἰρήκασιν, οὕτως ἐκ τοῦ διελέγχειν προσποιούμενοι τὸν συλλογισμὸν τῆς εὐγενείας, ὥσπερ φησὶ καὶ Εὐριπίδης, οὐχὶ τῶν ἐκ πάλαι σπουδαίων εὐγένειαν φάμενος εἶναι, ἀλλ' ὅστις ἀνὴρ ἀγαθὸς ἁπλῶς. τὸ δὲ οὐκ ἔστιν· ἀλλ' ὀρθῶς ζητοῦσιν οἱ τὴν ἀρχαίαν ἀρετὴν προστιθέντες. τὰ δ' αἴτια εἴποιμεν, τουτέστιν, ὅτι ἡ μὲν εὐγένεια ἐστὶν ἀρετὴ γένους, ἡ δ' ἀρετὴ σπουδαῖον· σπουδαῖον δ' ἐστὶ γένος, ἐν ᾧ πολλοὶ σπουδαῖοι πεφύκασιν ἐγγίνεσθαι. συμβαίνει δὲ τὸ τοιοῦτον, ὅταν ἐγγένηται ἀρχὴ σπουδαία ἐν τῷ γένει· ἡ γὰρ ἀρχὴ τοιαύτην ἔχει τὴν δύναμιν, πολλὰ παρασκευάζειν, οἷά περ αὐτή. τοῦτο γάρ ἐστιν ἀρχῆς ἔργον, ποιῆσαι οἷον αὐτὴ ἕτερα πολλά. ὅταν οὖν ἐγγένηται τοιοῦτος εἷς τις ἐν τῷ γένει, καὶ οὕτω σπουδαῖος, ὥστ' ἔχειν τὸ ἀπ' ἐκείνου ἀγαθὸν πολλὰς γενεὰς, τοῦτο σπουδαῖον ἀνάγκη εἶναι τὸ γένος. πολλοὶ γὰρ ἔσονται σπουδαῖοι ἄνθρωποι, ἄν[illegible]πων ἢ τὸ γένος, ἄντε ἵππων, ὁμοίως δὲ καὶ [illegible]λων ζώων. ὥστ' εὐλόγως οὐχ οἱ πλούσιοι[illegible]θοὶ, ἀλλ' οἱ ἐκ πάλαι πλουσίων[illegible] ὑγιεῖς εἶεν ἄν. ζητεῖ γὰρ ὁ λό[illegible]*

ἄνωθεν πάντων. Οὐ μὴν ἀλλ' οὐδ' οἱ ἐκ προγόνων ἀγαθῶν, εὐγενεῖς πάντως, ἀλλ' ὅσοι τυγχάνουσιν ἀρχηγοὶ τῶν προγόνων ὄντες. ὅταν μὲν οὖν αὐτὸς ἀγαθὸς, μὴ ἔχει δὲ τοιαύτην δύναμιν τῆς φύσεως, ὡς τίκτειν πολλοὺς ὁμοίως, οὐκ ἔχει ἀρχὴν τοιαύτην δύναμιν ἐν τούτοις Ἀρχὴ τοῦ γένους καὶ εὐγενεῖς, οἳ ἀπὸ τούτου τοῦ γένους ὄντες, οὐκ ἐὰν ὁ πατὴρ εὐγενὴς ᾖ, ἀλλ' ἐὰν ὁ ἀρχηγὸς τοῦ γένους· οὐ γὰρ δὶ' αὐτὸν ὁ πατὴρ ἐγένησεν ἀγαθὸν, ἀλλ' ὅτι τοιοῦτον γένους ἦν.

XV. Ταῦτα μὲν Θεόγνιδος περιφέρεται, ὡς ὁ Μεγαρεὺς Ξενοφῶν λέγει· οὗτος ὁ ποιητὴς περὶ ἀρετῆς καὶ κακίας λόγους ποιεῖται, καὶ εἰκότως περὶ ἀνθρώπων βίου ἀπομνημόνευμα καλεῖσθαι δύναται, παραπλησίως εἰ τῆς ἱππικῆς ἐπιστήμων τις, περὶ αὐτῆς ἐγγράφει. τούτου τοῦ ποιήματος, ὡς οἶμαι, συνισταμένη ἐστὶν ἀρχὴ, ὅταν ἀπὸ τοῦ καλοῦ τοῦ γένους προοιμάζει. οὕτω γὰρ ἐδόκει, οὔτ' ἄνθρωπον, οὔτ' ἄλλο τι τῶν φυομένων μέλλειν ἔσεσθαι καλὸν, εἰ μὴ καὶ αὐτὰ τὰ αὐτὸν γεννήσοντα καλὰ ᾖ. διὰ τοῦτο καίριον ᾠήθη τῶν ἄλλων ζώων παραδείγμασι χρῆσθαι, ἅπερ οὐκ εἰκῇ ἀλλὰ σπουδαιοτέρως τρέφεται, ὧν περὶ τὴν κηδείαν καὶ τὴν θεραπείαν οὐ μικροῦ ποιούμεθα, οὐκ ἄνευ τέχνης τινὸς, ὡς γενναιότατα τυγχάνωσι, ὅπερ καὶ θηλοῖ διὰ τὰ ἑπη τάδε·

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
Εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
Κτήσασθαι, γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
Ἔσθλὸς ἀνὴρ, ἢν τις χρήματα πολλὰ διδῷ.
Οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
Πλουσίου, ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
Χρήματα γὰρ τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἐγήμει,
Καὶ κακὸς ἐξ ἀγαθοῦ, πλοῦτος ἔμιξε γένος.

ὅσον καθήκει τὴν τῶν υἱῶν γένεσιν, ἐν τούτοις τοῖς ἔπεσιν ἡ τῶν ἀνθρώπων ἄγνοια δηλοῦται· καὶ δι' τοῦτο συμβαίνειν τοὺς ἐνδόξους οἴκους ἀμαυροῦσθαι, τῷ τοὺς εὐγενεῖς τοῖς ἀγενέσι συζεύγνυσθαι. οἱονεὶ μέντοι πολλοὶ τὴν ἀνθρωπίνην ἐπιθυμίαν καλλωπίζειν

ματίαν ἐν τούτοις κατηγορεῖσθαι, διότι οὐδεὶς παραιτεῖται βουλόμενος χρηματίζεσθαι τῇ ἀγενὴς καὶ ἄδοξος, τῇ δὲ κακὸς καὶ αἰσχρὸς γίνεσθαι. οὐ μὲν ἀλλ' ὡς ἐγῷμαι τὴν τῶν ἀνθρώπων ἄγνοιαν μᾶλλον αἰτιάσασι τῶν διὰ φιλοχρηματίαν τὴν εὐγένειαν ἀνεχομένων κατὰ σχολὴν ἐξίτηλον γίνεσθαι.

XVI. Ἀλλ' ἐπεὶ ὁ Χρύσιππος ἐξ ἐραστοῦ Εὐριπίδου πρὸς ἡμᾶς ἀναμάχεται, φέρε δή, προφέρωμεν ἅπερ ἐκεῖνος τῆς εὐγενείας κήρυξ ἦδε περὶ αὐτῆς. οὕτω γὰρ αὐτός·

Εἰ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα,
Ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει.
Φεῦ, φεῦ τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο
Ὅσην ἔχει φρόνησιν, ἀξιωμά τε·
Κἂν γὰρ πένης ὢν τυγχάνῃ χρηστὸς γεγώς,
Τιμὴν ἔχει τιν', ἀναμετρούμενος δέ πως
Τὸ τοῦ πατρὸς γενναῖον ὠφελεῖ τρόπῳ.
Ἡμῶν τί δῆτα τυγχάνεις χρείαν ἔχων;
Πατέρων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γεγώς.
Πένης γὰρ οὐκ ἐκεῖν' ἀπώλεσεν τὸ τοῦ πατρὸς γενναῖον·

φέρει δὲ καὶ τοῦτ' οὐ μικρὸν εὐγενὴς
Ἀνὴρ στρατηγῶν, εὐκλεᾶ τ' ἔχων φάτιν,
Ἐν τοῖς τέκνοις γὰρ ἡ ἀρετὴ τῶν εὐγενῶν
Ἐνέλαβε· κρείσσων τ' ἐστὶ πλουσίου γάμου.
Δεινὸς χαρακτὴρ κἄπίσημος ἐν βροτοῖς
Ἐσθλῶν γενέσθαι κἀπὶ μεῖζον ἔρχεται
Τῆς εὐγενείας τοὔνομα τοῖσιν ἀξίοις.

ταῦτα μὲν γὰρ οὐκ ἔστιν ἀνθρώπου διαμαχομένου καὶ καταβαλλομένου τὴν εὐγένειαν, μᾶλλον δὲ ἐπαινοῦντος καὶ ὑπεραίροντος. τί δ' ἐκεῖνα τοῦ αὐτοῦ;

Οὐκ ἔστι τοῦδε παῖσι κάλλιον γέρας,
Ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
Γαμεῖν τ' ἀπ' ἐσθλῶν· ὃς δὲ νικηθεὶς πόθῳ
Κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω,
Τέκνοις ὄνειδος οὔνεχ' ἡδονῆς λιπεῖν.
Τὸ δυστυχὲς γὰρ ἡ εὐγένεια ἀμύνεται

Τῆς δυσγενείας μᾶλλον· ἡμεῖς γὰρ πατῶν
Εἰς τοὔσχατον πεσόντες εὑρομεν φίλους.
Τοσὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι
Χρηστοῖς θ' ὁμιλοῦντ' εὐσεβεῖν ἡσκημότα.
Πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς
Γένοιτ' ἂν; οὐδεὶς τοῦτο μ' ἂν πίθοι ποτέ.
— — Τόν' εὐγενὲς
Πολλὴν δίδωσ' ἐλπίδ' ὡς ἄρξουσι γῆς
Τὴν εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος,
Τιμῶσι πολλοὶ πρὸς τέκνων χάριν λαβεῖν,
Τό τ' ἀξίωμα μᾶλλον ἢ τὰ χρήματα.
Ἀλλ' εἴπερ εἰ γενναῖος, ὡς αὐτὸς λέγεις,
Σήμαιν', ὅτου τ' εἰ καὶ πίθων· τὸ γὰρ καλῶς
Πεφυκὸς οὐδεὶς ἂν μιάνειεν λόγος.

XVII. Ἀλλὰ τὸν Χρύσιππον ἀφῶμεν, οὐχ ὡς ἐναντιούμενον ἑαυτῷ. ὥσπερ ἐν τῷ πρώτῳ περὶ Ἀγαθοῦ καὶ ἐν τῷ περὶ Ῥητορικῆς, ὑγίειαν ἐάν τις τοῖς ἀγαθοῖς ἀριθμῇ οὐκ ἀντιμάχεσθαι, καὶ ἐν τῷ περὶ τῶν παθῶν αὐτὰ Αἱρετῶν οὐδὲ μανίας ἀποχρεῖ τοὺς τούτων καταφρονοῦντας. καὶ τῷ ὄντι οὔτ' ἐκεῖνοι οὔθ' οἱ Στωϊκοὶ δέονται τῆς εὐγενείας, ὅσοι τοιαύτης ἐφάπτονται φιλοσοφίας, ἣ τὰ πάνθ' ὡς ἀπὸ θείας μηχανῆς ἑαυτοῖς συντόμως χορηγεῖσθαι μεγαλαυχοῦνται· αὐτοὺς πλουσίους, εὐγενεῖς, καλοὺς, βασιλέας εἶναι· τοὺς ἀλλ μην οὗτοι οἱ πλούσιοι, τοὺς ἄλλους τὴν τροφὴν προσ τοῦσι, τούτους τοὺς βασιλέας οὐδεὶς ὑπακούει. αὐ πᾶσιν ἔνοχοι τὰ πάντα κέκτηνται, μόλις ἐπήλυδες οἴκον μὲν εἰς τρεῖς μῆνας μισθωσάμενοι, τὸν δὲ μισθ οὐκ ἀποτελοῦντες.

XVIII. Ὁ δὴ Φίλων οὐχ ὥσπερ σοὶ δοκεῖ, ὅτ ἄδικος διακεῖται πρὸς τὴν εὐγένειαν, οὔτε τὴν τοῦ κόφρονος γνώμην δοκιμάζει, καίπερ αὐτὴν ἀναφέρ οὕτω γὰρ ἐκεῖνος·

Ὅλως δὴ περὶ εὐγενείας ἐγὼ ἀπορῶ, τίνας χρὴ λεῖν τοὺς εὐγενεῖς. εἰκότως γάρ, ἔφην, τοῦτο ἐν τορῶν· καὶ γὰρ παρὰ τῶν πολλῶν καὶ παρὰ τῶν τὰ μὲν ἀμφισβητεῖται, τὰ δὲ οὐ λέγεται σαφῶς

τὰ περὶ τῆς δυνάμεως. λέγω δὲ τοῦτο, πότερον τῶν τιμίων ἐστὶ καὶ σπουδαίων· ἢ καθάπερ Λυκόφρων ὁ Σοφιστὴς ἔγραψε καινόν τι πάμπαν. ἐκεῖνος γὰρ ἀντιπαραβάλλων ἑτέροις ἀγαθοῖς αὐτὴν εὐγένειαν μὲν οὖν, ἧς ἀφανὲς τὸ κάλλος, ἐν λόγῳ δὲ τὸ σεμνὸν, ὡς πρὸς δόξαν οὖσαν τὴν αἵρεσιν αὐτῆς, κατὰ δὲ ἀλήθειαν οὐδὲν διαφέροντας τοὺς ἀγενεῖς τῶν εὐγενῶν.

Ταῦτα δὲ οὐ θαυμαστὸν ὑπὸ ἀγενοῦς γεγράφθαι σοφιστοῦ. Ἆρα τίνα τούτῳ ἀντιθῶμεν; Ποσειδώνιον, οἶμαι, σεμνὸν μάλα φιλόσοφον ταῦτα πρὸς Τουβέρωνα διαλεγόμενον·

Ἀμφισβητεῖται δὲ καθάπερ καὶ περὶ τοῦ πηλίκου ἀγαθόν ἐστι, οὕτω καὶ τίνας δεῖ καλεῖν εὐγενεῖς; οἱ μὲν γὰρ τοὺς ἐξ ἀγαθῶν γονέων εὐγενεῖς εἶναι νομίζουσι, καθάπερ καὶ Σωκράτης· διὰ καὶ τὴν Ἀριστείδου ἀρετὴν, καὶ τὴν θυγατέρα αὐτοῦ γενναίαν εἶναι. Σιμωνίδην δέ φασι ἀποκρίνασθαι διερωτώμενον, τίνες εὐγενεῖς, τοὺς ἐκ πάλαι πλουσίων φάναι· καί τοι κατὰ τοῦτον τὸν λόγον οὐκ ὀρθῶς ἐπιτιμῶσι. Θεόγνις δὲ ὁ ποιητὴς ὅ ποιήσας,

Ὡς τὴν μὲν εὐγένειαν αἰνοῦσι βροτοὶ,
Μᾶλλον δὲ κηδεύουσι τοῖσι πλουσίοις.

ἦ, πρὸς Διὸς, οὐχ αἱρετώτερος ὁ πλουτῶν αὐτὸς, ἢ οὗ ὁ πρόπαππος, ἢ τῶν προγόνων τις τὰ πλούσιος ἦν, αὐτὸς δὲ πένης; πῶς γὰρ οὐκ, εἰπε. καὶ δέοι τ' ἂν κηδεύειν τοῖς πλουσίοις μᾶλλον, ἢ τοῖς εὐγενέσιν; εὐγενεῖς γὰρ οἱ παλαιοὶ, κρείττους δὲ οἱ νῦν· οὐκοῦν ὁμοίως κἄν τις ὑπολαμβάνῃ οὐ τοὺς εὐγενεῖς εἶναι τοὺς ἐκ πάλαι πλουσίων, ἀλλὰ τοὺς ἐξ ἀγαθῶν πάλαι· κρείττων γὰρ ἂν δόξειεν ἀρχαίας ἀρετῆς πρόσφατος· καὶ μετέχειν μᾶλλον ἕκαστον πατρὸς ἢ προπάππου· αἱρετώτερον δ' αὐτοῦ εἶναι σπουδαῖον, ἀλλ' οὐ τὸν πρόπαππον ἢ τινα τῶν ἄλλων προγόνων. ὀρθῶς, ἔφη, λέγειν. ἆρ' οὖν οὐκ ἔπειἐν μηδετέρῳ τούτων ὁρῶμεν τὴν εὐγένειαν, σκεπτέον ἄλλον τρόπον; τίνα τοῦτον; ἐνίοτε σκεπτέον δ', ἔφη. τὸ εὖ σημαίνει τι δήπου τῶν ἐπαινετῶν καὶ σπουδαίων, οἷον τὸ εὐπρόσωπον καὶ τὸ εὐόφθαλμον· ὥστε

θὸν γάρ τι καλὸν σημαίνει κατὰ τοῦτον τὸν λόγον. πάνυ γὰρ εἶπεν. οὐκοῦν εὐπρόσωπον μέν ἐστι τὸ ἔχον ἀρετὴν προσώπου, εὐόφθαλμον δὲ τὸ ὀφθαλμοῦ ἀρετήν. οὕτως, εἶπεν. ἀλλὰ μήν ἐστι γένος τὸ μὲν σπουδαῖον, τὸ δὲ φαῦλον, ἀλλ' οὐ σπουδαῖον. πάνυ γε, εἶπε. σπουδαῖον δέ γέ φαμεν ἕκαστον, κατὰ τὴν αὑτοῦ ἀρετὴν εἶναι, ὥστε καὶ γένος σπουδαῖον ὡσαύτως. οὕτως, εἶπε. δῆλον ἄρ', ἔφην, ὅτι ἐστὶν ἡ εὐγένεια ἀρετὴ γένους.

XIX. Ταῦτα, φημὶ, οὔτε διαφημοῦσι τὴν εὐγένειαν, οὔθ' ὑπὸ τῶν ποιητῶν πεπλασμένα δύναται πρὸς τὴν τῆς ἀληθείας στερεὰν ταμιεύεσθαι μαρτυρίαν. ἐκεῖνα γὰρ καὶ εἰς τοὺς θεοὺς αὐτοὺς ἀναφέρουσιν, ἅπερ οὐδὲ εἰς σώφρονας ἄνδρας ἄνευ αἰσχύνης μεταθετέα. οὐδ' ὁτῳοῦν ἀμφισβητούμενον γένος ἐστὶ, καὶ ἀπ' αὐτοῦ δοκεῖ τῆς εὐγενείας τύχη, διὰ τοῦτο τῆς εὐγενείας ἀρχὴ μιαίνεται. τούτων γὰρ οἱ πάλαι πρόγονοι καὶ ἐπαινετοὶ, καὶ πᾶσιν ὑπῆρξαν ἔνδοξοι, καὶ ἀπὸ τῶν εἰς τοὺς εὐγενεῖς. ὅθεν δῆλον, εἰ τῆς εὐγενείας γονὴ προσιγμένη εἰς ἔρωτας τοὺς ἀκολάστους ἔφυσεν ἀπαραιτήτους ἐπιγόνους· δικαιότερον ἂν ἦν τοὺς κατὰ νόμους ἐξ γενῶν πεφυκότας ὡς ἐπαινετοὺς εὐδοκιμεῖσθαι. εἰ ἐξ εὐγενοῦς ἐπιθυμίας, εἰς δημοτικὸν πεπτωκυῖας, ἀπὸ εὐσήμου ἐγένετο, ὅσῳ εὐσημότερος ἔσεται ὁ ἐκ τοῦ Θαροῦ Θαλάμου; οὐδ' ἐκ τῶν παρὰ τοὺς εὐγενεῖς πλημμελημάτων ἡ εὐγένεια τεύξεταί ποτε ἀκλείας· οὐ μᾶλλον ἢ διὰ τῶν φιλαργύρων πλεονεξίαν ἢ τῶν χρημάτων αὐχή. καὶ εἰ μὲν ἐκ τοιούτων ὑπαρχῶν συνουσιῶν προεπεγένοντο εὐκλεεῖς, σπουδαῖοι δὲ γεγενημένοι τῷ τοῦ ὀνόματος ἀθανασίαν εἰς τὰ πρόῤῥω προὔδοσαν τοῖς ὑστέροις· τί κωλύει, τὴν εὐγένειαν ἀπὸ τῆς ἐκείνου ἀρετῆς ἀρχήν τε καὶ αὔξησιν εἰληφέναι; καὶ ὁ ὑβριστικῶς ἐρωτηθεὶς, τίς ποτ' ἐτύγχανεν ὢν ὁ τοῦ Πηλέως πατὴρ, ἠρώτησε καὶ αὐτὸς τὸν Πτολεμαῖον βασιλέα, τίς ἦν ὁ τοῦ Λάγου πατήρ; ἢ ὕβρει ὕβριν ἀπέτεμνεν, ἢ τοὺς ῥυπαροὺς ἀνθρώπους ἐμιμήσατο, ὧν ἴθος ἦν τὴν εὐγενείᾳ φθονεῖν. ἀξιῶ δὲ, τῇ εὐγενείᾳ οὕτω τὸ

ι ἰκείαν αὐτονομίαν διατηρεῖσθαι, ὡς μὴ καταπατεῖν
τὰς ἄλλας ἐν τῇ πολιτείᾳ κατασταίσεις, καὶ αὐτὰς ἔχειν
ἐν ὄχλου τάξει. Ἰνδικοὺς κύνας δῶρον πεμφθέντας
Ἀλεξάνδρῳ φησὶν Ἀριστόβουλος, πρὸς μὲν τοὺς ἀγρί-
ους ταύρους καὶ ὀρεῖς ἀδμήτους προβαλλομένους, ἀκι-
νήτους κατακεῖσθαι, πρὸς δὲ τὸν εἰσηγμένον λέοντα
ἐκθορήσαντας εἰς μάχην ἐπερρίφθαι. τὸν αὐτὸν τόπον
ἂν μὲν δημοτικοί ποτε τὴν εὐγένειαν ζηλοτυπῶσιν, ἐὰν
δὲ σοφισταὶ εἰς αὐτὴν φλυαρῶσιν, οὐ θέμις αὐτοὺς εἰσ-
ορούειν, βοᾶν, κράζειν, ἀλλὰ σιγῇ τὴν αὐτῶν στωμυ-
λίαν καταχοῦν. ἔστω αὐτοῖς ἐν παραδείγματος λόγῳ τὸ
τοῦ Καίσαρος ἀπόφθεγμα· λέγοντι γάρ τινι ὡς κακο-
λογεῖται, ἀλλὰ μὴν ἀρκεῖ μοι, φησὶν, ὡς τοιοῦτός εἰμι,
ὥστε μὴ παρ' ἐκείνων κακουργεῖσθαι. οὐδ' ἐξεῖναι βού-
λομαι τοῖς εὐγενέσι, τοῖς ἐν τέλει, τοῖς ἄρχουσι, παρέ-
χειν ὦτα ταύταις ταῖς ἔρισιν, ἐκπεπληγμένους· ἀλλὰ
κἄλλον τὰς αὐτῶν μεταφέρειν μελέτας, πρὸς ἃ ἡ εὐγέ-
νεια συνεγείρει, ἵνα περὶ τῶν ἄλλων σωτηρίας σπουδὴν
τοιούμενοι πολλὴν, περὶ τῆς αὐτῶν οὐ πολλὴν ἄγαν
ἔχωσι φροντίδα, μεθ' ἑαυτῶν ἀναπολοῦντες τὸ παλαιὸν
ἐκεῖνο τοῦ Ἀλεξάνδρου· εὖ ποιήσαντα κακῶς ἀκούειν
εἶναι βασιλικόν.

XX. Ἀλλὰ μὴν οὐ περὶ τούτου ἡ παροῦσα πραγμα-
τεία, πότερον ὁ τῶν ἀγροίκων ἢ τῶν ἐν πόλεσιν ἄρχαι-
τερος βίος, οὐδ' εἴ τις ἐγκωμιάζων τὸ ἐν ἀγροῖς ζῆν,
τοῦ Κρόνου βασιλέως γόνον ἔπαρχειν ἔλεξε τοὺς γεωρ-
γοὺς, δέον ταύτην τὴν μαρτυρίαν ὡς ἀληθεστάτην
προφέρεσθαι. ἅπαντες γὰρ ἡμεῖς οἱ θνητοὶ ὑπὸ τῶν
θεῶν τυγχάνομεν γενόμενοι· οὐ μέντοι κωλύουσι τὰ ἤθη,
ἀλλὰ τὰ τῶν ἐθνῶν ἔθη, καὶ αὐτὴ ἡ αἴσθησις ἡ κοινὴ, τὸ
ἐπ' αἰσχροῦ καλὸν, ἀλήθειαν ἀπὸ πλουσίου, χωλὸν ἀπ'
ἀρτίου μὴ διακρίνεσθαι· οὐδ' εἴ τινες ἐν τοῖς γεωργοῖς
πρὸς ἑτέραν θεραπείαν ἔχοιεν, διὰ τοῦτο τὴν εὐγένειαν
ἐπ' αὐτῶν τὴν ἀρχὴν ἀναγκαῖον εἰληφέναι· οὐ γὰρ ἦν-
τον λέγουσιν ὄντες γεωργοὶ, ὥσπερ ἐν οἰκίᾳ πολυτελεῖ
σύλλογοι εἰσὶ γένη πολλά, καὶ θοῦλοι μέντοι, ὅ τε πρω-
άτης, καὶ οἱ ταμίαι, καὶ οἱ κυαθίζοντες, καὶ οἱ γεωρ-
τεῖς, ἔτι δὲ καὶ ἄλλοι, ὥσπερ οἱ κτηνοτρόφοι.

Οὐδ' ἀπρεπὲς ἂν ἦν, ὅλην τὴν εὐγένειαν ἀποδείκνυσθαι, οὐχ ἧττον ἢ τὴν καλοκαγαθίαν. οὐδ' ὅσοιπερ ἀπὸ τοῦ Κάστορος διφρηλάτων γεγονότας ἐρίζουσιν, εὐγένειαν ἀποφαίνουσιν, ἀλλ' ἀρχὴν μᾶλλον· οὐδ' ἄδοξοι, ἀλλ' ἐπιφανεῖς, ἔτυχον ἡνίοχοι τότε, ὅταν ἀφ' ἁρμάτων μόνον ἦσαν αἱ μάχαι, ἢ τῶν κελήτων ἤγνοεῖτο στρατεία· ὅσα δὴ τούτου παραδείγματα παρὰ τῷ Ὁμήρῳ; ἀλλὰ διὰ τί με πρὸς Πίνδαρον ἀνακαλεῖς;

Ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ
Μιᾶς δὲ πνέομεν
Ματρὸς ἀμφότεροι.

ἀλλ' ἀπείρους τόπους ὁρᾷν ἐστι παρ' ἐκείνῳ τοὺς νικῶντας ἀπὸ τῆς εὐγενείας ἐγκωμιάζοντι, καὶ αὐτὸν Ἀλκιμίδην ἀπὸ τοῦ πάππου Πραξιδάμαντος, τοῦ Σωκλίδου μνήμην ἀνανεώσαντος, ὃν τῶν Αἰγεσιμάχου υἱῶν ἐξοχώτατον ὑπάρξαι φησί. οὐδ' ἐπῆλθεν αὐτῷ κακολογεῖν τὴν εὐγένειαν, ἀλλὰ μᾶλλον προτρέπειν ἅπαντας τοὺς ἀνθρώπους πρὸς τὸ τὰ τῆς σπουδῆς καὶ ἀρετῆς καλὰ καρποῦσθαι, ὅσοιπερ ἀπὸ τῶν Θεῶν γεγονότας μεμνῆσθαι ἀξιοῦσι. οὐ γὰρ Ἡσιόδου εἵπετο τοῖς λήροις φάσκοντος ἐκ τῆς γῆς τὸν οὐρανὸν, ἐξ οὐρανοῦ Κρόνον, ἐκ Κρόνου Δία πεφυκέναι. ὁ δὲ Πίνδαρος συνετῶν οὐ πάντας ἐξ ἴσου διάγειν βίον μαρτυρεῖ ἐν τοῖς τοῦ Σωγένους ἐγκωμίοις.

XXI. Μέχρι δὲ τίνος ἀπειρόκαλος ἔσῃ τὸ Ἰφικράτους ἀπόφθεγμα εὐλογήσας; τοιούτῳ δὲ κέχρηται ποτε καὶ ὁ Τύλλιος. ὁ μὲν οὖν Ἰφικρατης ἀστείως τιν ἑαυτὸν μὲν ἀφ' Ἁρμοδίου γένος ἔχειν μεγαλαυχοῦντα ἐκείνῳ δὲ ὀνειδίζοντι τὸ εὐγενὲς, ἀλλὰ μὴν τό μου γένος ἀπ' ἐμοῦ λαμβάνει τὴν ἀρχὴν, τὸ δὲ σὸν ἐν σοὶ λήγει τούτοις ἐκεῖνος τὴν μὲν εὐγένειαν οὐ κατέβαλεν, τὸ δὲ ἀγενὲς εἰκότως ἀνέκαμψεν εἰς τὸν ὀνειδίζοντα. οὕτω δὲ δίκαιόν ἐστι, τοὺς εὐγενεῖς τῆς αὑτῶν εὐγενείας ἀντιποιεῖσθαι, ὥστε μηδαμῶς αὐτοὺς μὲν ἀλαζονεύειν τοὺς δὲ ἄλλους ἀποβηματίζειν, ἐν νόῳ ἔχοντας, ὡς καὶ αὐτοὶ κοινῇ μοίρᾳ πεφυκότες, καὶ ἀσμένως ἂν ἀκούοντες τὸ Εὐριπίδειον ἐκεῖνο πρὸς Ἑκάβην·

Φεῦ, ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων
Δούλειον ἦμαρ εἶδες· ὡς πράσσεις κακῶς
Ὅσον περ εὖ ποτ· ἀνασηκώσας δέ σε
Φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας.

καὶ παρὰ τῷ αὐτῷ οὐκ ἀνάρμοστα τὰ Πολυνείκους·

Οὐδ' ἠὐγένειά σ' ἦρεν εἰς ὕψος μέγα;
Κακὸν τὸ μὴ ἔχειν· τὸ γένος οὐκ ἔβοσκέ με.

οὐ διαμάχεσται μὲν οἷν τοιαῦτα τῇ εὐγενείᾳ, μᾶλλον δὲ, νὴ Δία, προσορμιοῦσι πρὸς τὴν τῶν προγόνων δόξης ἀντίληψιν, σωτηρίαν, αὔξησιν· χαλεπὸν γὰρ καὶ δύσφορον τὸ τοῦ Ὀδυσσέως, ὅταν δικαίως εἰς εὐγενῆ ῥίπτηται,

Σὺ δ' ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους,
Ξαίνεις, ἀρίστου πατρὸς Ἑλλήνων γεγώς.

οὐ γὰρ ἐκεῖνοι πρὸς ὀρχήσεις γενόμενοι, οὔτε πρὸς τὰς ἡδονὰς, παιδιὰς, ἀφροδίσια, ἁρπαγὰς, ἀδικίας πεφυκότες· ἀλλὰ πρὸς μὲν την ἀρετὴν, πόνον, σπουδὴν, τὴν περὶ τῶν πολιτῶν σωτηρίαν· πρὸς δὲ τοῦ δήμου πολιτικὰς ὠφελείας εἰκότως πρέπον αὐτοὺς οὐ μόνοις σφισὶν αὐτοῖς φαινομένους πεφυκέναι. τούτοις δὲ φάναι προσήκει τὰ ὑπὸ τοῦ Σατύρου τῇ Παλλάδι λεχθέντα περὶ τὴν αὐλητικὴν ἄγαν δήπου τερπομένῃ. ἀλλὰ πατρῴας μεμνημένους εὐγενείας ἐς ταύτην ἐοικέναι, ταύτῃ ἥδεσθαι, πρὸς ταύτης αὔξησιν προπετεῖς ὑπάρχειν, καὶ τῇ ἑτέρᾳ ἐκείνῃ τῆς ψυχῆς εὐγενείᾳ ἐπιφανεῖς ποιεῖσθαι δεῖ. ἔτι δὲ πρὸς ἐκεῖνο τοῦ συνετωτάτου ποιητοῦ ἀναβλέπειν, προσέχειν δὲ τὸν νοῦν, ὅπως ἑαυτοῖς ἁρμόζῃ τὸ πρὸς Ἑρμῆν λεχθὲν παρὰ Πριάμου,

— οἷος δὴ νὺ δέμας καὶ εἶδος ἀγητός,
Πέπνυσαί τε νόον, μακάρων δ' ἐξ ἐσσὶ τοκήων.

καὶ δικαίως οἷοί τε ὦσι προσφέρειν τὸ Ὀδυσσέως πρὸς Πηνελόπην, τῆς ὀλιθρίας ἡδονῆς ἡττηθείσης·

Ὡς δ' αὔτως Κίρκη κατερήτυεν ἐν μεγάροισιν
Αἰαίη, δολόεσσα, λελιωμένη πόσιν εἶναι,
Ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπεισεν.

ὡς δὲ εὐπρεπὲς, οὐχ ὑπὸ τῶν κολάκων ἀλλὰ καλῶν τε καὶ ἐπαινετῶν ἀνδρῶν ἀκούειν, ὅπερ ἀκήκοεν Ἕκτωρ ὑπὸ τοῦ Πολυδάμαντος.

Ἄλλῳ μὲν γὰρ ἔδωκε θεος πολεμήϊα ἔργα,
Ἄλλῳ δ' ὀρχηστὴν, ἑτέρῳ κίθαριν καὶ ἀοιδὴν,
Ἄλλῳ δ' ἐν στήθεσσι τίθει νόον εὐρύοπα Ζεὺς
Ἐσθλὸν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι,
Καί τε πόλεις ἐσάωσε, μάλιστα δέ κ' αὐτὸς ἀνέγνω.

καὶ τοῦ αὐτοῦ·

Λαῶν οἷσιν ἄνασσε, πατὴρ δ' ὡς ἥπιος ἦεν.

ἀλλὰ παρ' Εὐριπίδην, φῆς, οὐκ Ἠλέκτρα δικαίως χλευάζει τὴν εὐγένειαν; λέγουσα, τὸν ἔνδοξον Ἀγαμέμνονα, εἰ ἄρα ἔνδοξον, ἐξ Ἀτρέως γεγονέναι· καὶ διηγουμένη τὴν Ταντάλου τοῦ Διὸς αἰκίαν, τιμωρουμένων τῶν θεῶν. ἀλλὰ μὴν οὐ δίκαιόν ἐστι τὴν ἑνὸς ἢ δυοῖν ἀλαζονείαν τῇ εὐγενείᾳ πράγματα παρέχειν. οὐδ' ἐκείνη φησὶ τὰς ἀτυχίας ὀνειδίζειν, καὶ φάσκουσα δὲ μηδὲν κακὸν, μηδένα νόσον εἶναι. οὐ τὸ φορτίον οὐ φέρῃ ἡ τῶν ἀνθρώπων φύσις, εἰς τὴν ἀνθρωπίνην μᾶλλον εἰσέβλεπε μοῖραν. οὐ κάκιστα δὲ ὁ Ἀρχίλοχος·

— Τοῖος ἀνθρώποισι γὰρ
Θυμὸς, Γλαῦκε Λεπτίνεω παῖ, γίνεται θνητοῖς,
Ὁκοῖον Ζεὺς ἐφ' ἡμέραν ἄγει.

τὸ Αἰσώπου βατραχίδιον πρὸς τὴν μητέρα ἐξογκωμένην καὶ ἐρωτῶσαν, εἰ ὁ τους ἀπούσης αὐτῆς γόνους βεβορὼς μείζων ἦν, ἀπέκρινεν· οὐδ' εἰ μέση διαῤῥαγῇς, φησὶν, ὦ μῆτερ, ἐκείνῳ τύχῃς ἴσῃ· οὕτως οὐδ' οἱ ἀγενεῖς λεγέτωσαν ὅσα βούλονται, βασκαινέτωσαν τῇ εὐγενείᾳ, οὐδέποτε τῶν εὐγενῶν κρείττονες ἔσονται, οὔτε πάρισοι, μὴ προύργου ποιήσαντες τὴν ἀρετήν. πόθεν δὴ; ἢ ἐξ ἴσης ἀνθρώπων μοίρας; ἢ φύσει τινί; ἢ τοῖς Αἰσωπικοῖς μύθοις πάλιν προσέχοντες, τὰ ἡ ἐργάτις ἡμέρα τῇ ἑορτῇ ἀντῄρητο, ὡς ὑφ' αὐτῆς ἐπιπεπονημένων ῥαθύμως διὰ λαιμαργίας ἀναλίσκουσαν· πρὸς αὐτὴν ἡ ἑορτή· φέρε δὴ, ἔφη, τὰς μοίρας ἀλλήλαις μεταβάλλωμεν. ἡ δ' ἀπέκρινεν, οὐ θέμις, τὸν ὑπὸ Διὸς ἐπιτελούμενόν μοι τῶν ἱερῶν κλῆρον καταλείπειν. συμφέρειν τῷ Διὶ ἑκὰς τῶν μυστηρίων ἀποτρέπειν τὸν βίβηλον ὄχλον.

Λείπει τὰ ἑξῆς.

ΠΕΡΙ ΠΟΤΑΜΩΝ.

I.

Τδάσπης.

I. Χρυσίππη διὰ μῆνιν Ἀφροδίτης εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ γενησαντος Τδάσπου, καὶ μὴ στέγουσα τοὺς παρὰ φύσιν ἔρωτας, νυκτὸς βαθείας, τῷ προειρημένῳ συνῆλθε, τῆς τροφοῦ συνελθούσης. οὐκ εὐτυχήσας δὲ περὶ τῶν συμβεβηκότων ὁ βασιλεὺς, τὴν μὲν ἐνεδρεύσασαν αὐτὸν γραῦν ζῶσαν κατέχωσεν· τὴν δὲ θυγατέρα σταυρώσας, διὰ λύπης ὑπερβολὴν ἔῤῥιψεν ἑαυτὸν εἰς ποταμὸν Ἰνδὸν, ὃς ἀπ' αὐτοῦ Τδάσπης μετωνομάσθη· ἔστι δὲ τῆς Ἰνδίας νομικῶς καταφερόμενος εἰς τὴν Σαρωνιτικὴν Σύρτιν.

II. Γενᾶται δ' ἐν αὐτῷ λίθος Λύχνις καλούμενος. ἐλαιώδης δέ ἐστι τῇ χρόᾳ, καὶ ζεστὸς πάνυ· σελήνης δ' αὐξομένης, εὑρίσκεται πρὸς μελῳδίαν αὐλῶν· χρῶνται δὲ οἱ ἐν ἐξοχῇ τυγχάνοντες αὐτῷ.

III. Εὑρίσκεται δ' αὐτοῦ παρὰ τὰς καλουμένας Πύλας βοτάνη, παρόμοιος Ἡλιοτροπίῳ· ταύτην λειοτριβοῦντες, τῷ χυλῷ τοῖς καύμασιν ἀλείφονται, καὶ φέρουσιν ἀκινδύνως τῆς περισσοτέρας θερμασίας τὴν ἀναθυμίασιν.

IV, Οἱ δ' ἐγχώριοι, τὰς ἀσεβῶς ἀναστρεφομένας παρθένους σταυροῖς προσηλώσαντες, εἰς αὐτὸν βάλλουσι, τῇ σφῶν διαλέκτῳ τὸν Ἀφροδίτης ὕμνον ᾄδοντες.

V. Κατορύσσουσι δὲ κατ' ἐνιαυτὸν γραῦν κατάκρυτον, παρὰ τὸν ὀνομαζόμενον λόφον Θηρόγονον· ἅμα γὰρ τὴν πρεσβύτιν ἐρπετῶν πλῆθος ἐκ τῆς ἀκρωρείας ἐξέρχεται, καὶ τὰ περιπίπτοντα τῶν ἀλόγων ζώων κατεσθίει· καθὼς ἱστορεῖ Χρύσερμος ἐν π' Ἰνδικῶν. μέμνηται δὲ τούτων ἀκριβέστερον Ἀρχέλαος ἐν τῇ περὶ Ποταμῶν.

VI. Τρέφεται δ' αὐτῷ ὄρος Ἐλέφας καλούμενον

ήσης· Διὸς γάρ ἐστι Ἡγήσιος. καὶ τελέσας
ἔθανεν. ἀκούσας δὲ τούτων ὁ Πῶρος, ψοφ
Ἀλεξάνδρου γόνασι προσέπεσεν, εἰρήνην αἰ
τυχὼν δὲ, ὧν ἤθελε, τὸ ὄρος Ἐλέφαντα μετ
καθὼς ἱστορεῖ Δέρκυλλος ἐν γ' περὶ Ὀρῶν.

11.

Ἰσμηνός.

I. Ἰσμηνὸς ποταμός ἐστι τῆς Βοιωτίας κ
Θήβας· ἐκαλεῖτο δὲ τὸ πρότερον Κάδμου
αἰτίας τοιαύτης· Κάδμος, τὸν κρηνοφύλακα
τοξεύσας, καὶ εὑρὼν ὥσπερ πεφαρμακευμέν
τὸ ὕδωρ, περιήρχετο τὴν χώραν ζητῶν πηγή
μενος δὲ κατὰ τὸ Κωρύκαιον ἄντρον, κατὰ
Ἀθηνᾶς, τὸν δεξιὸν πόδα βαθύτερον εἰς κηλῖ
ποταμοῦ δ' ἀναδοθέντος ἐκ τοῦ τόπου, ὃ ἤρα
τήσας, Κάδμου πόδα πρασηγόρευσεν αὐτόν.
τινα χρόνον, Ἰσμηνος, Ἀμφίονος καὶ Νιόβης
Ἀπόλλωνος τοξευθεὶς, καὶ ἀλγηδόνι συνεχόμ
τὸν ἔβαλεν εἰς τὸν προειρημένον ποταμὸν, ὃς
Ἰσμηνὸς ὠνομάσθη· καθὼς ἱστορεῖ Σώστρ

ἔγημε, τὸ δ' ὄρος ὠνόμασεν Ἀστέριον ἀπὸ τοῦ συγκυρήματος. ὕστερον δ' ἐκλήθη Κιθαιρὼν δι' αἰτίαν τοιαύτην. Τισιφόνη μία τῶν Ἐριννύων, εἰς ἐπιθυμίαν ἐμπεσοῦσα παιδὸς εὐπρεποῦς, Κιθαιρῶνος τοὔνομα, καὶ μὴ στέγουσα τὴν ἐπίτασιν τῶν ἐρώτων, λόγους αὐτῷ περὶ συνόδων ἀπέστειλεν· ὁ δὲ τὸ καταπληκτικὸν τῆς προειρημένης φοβηθεὶς, οὐδ' ἀποκρίσεως αὐτὴν ἠξίωσεν· ἡ δ' ἀποτυχοῦσα τῆς προαιρέσεως, ἐκ τῶν πλοκάμων ἕνα τῶν δρακόντων ἀπέσπασεν, καὶ ἐπὶ τὸν ὑπερήφανον ἔβαλεν· ὁ δ' ὅφις τοῖς κόλποις περισφίγξας αὐτὸν, ἀεῖλεν, Ἀστερίου ποιμαίνοντος ἐν ταῖς ἀκρωρείαις. κατὰ δὲ πρόνοιαν Θεῶν, τὸ ὄρος ἀπ' αὐτοῦ μετωνομάσθη Κιθαιρὼν, καθὼς ἱστορεῖ Λέων ὁ Βυζάντιος ἐν τοῖς Βοιωτιακοῖς.

III. Ἑρμησιάναξ δὲ ὁ Κύπριος ἱστορίας μέμνηται τοιαύτης. Ἐλικὼν καὶ Κιθαιρὼν ἀδελφοὶ τυγχάνοντες, διαφόρους ἔσχον τῶν τρόπων τὰς διαθέσεις· ὁ μὲν γὰρ Ἐλικὼν, πρᾳότερος ὑπάρχων καὶ προσηνὴς, συμπαθῶς γηροβοσκεῖ τοὺς γονεῖς· ὁ δὲ Κιθαιρὼν, πλεονέκτης τυγχάνων, καὶ θέλων εἰς ἑαυτὸν μεταστῆσαι τὴν οὐσίαν, πρῶτον μὲν ἐφόνευσε τὸν γεννήσαντα, τὸν δ' ἀδελφὸν ἐξ ἐνέδρας κατακρημνίζων, καὶ αὐτὸς συγκατηνέχθη· κατὰ δὲ Θεῶν πρόνοιαν εἰς ὁμώνυμα ὄρη μεταμορφωθέντες, ἐγένοντο· Κιθαιρὼν μὲν διὰ τὴν ἀσέβειαν, Ἐριννύων μῦθος· Ἐλικὼν δὲ διὰ φιλοστοργίαν, Μουσῶν ἐνδιαίτημα.

III.

Ἕβρος.

I. Ἕβρος ποταμός ἐστι τῆς Θράκης, προσηγορίαν εἰληχὼς ἀπο τῆς συστροφῆς τῆς καταφορᾶς τοῦ ὕδατος. Κάσανδρος δὲ, ὁ βασιλεὺς τῶν τόπων, γήμας Κροτωνίκην, ἐγέννησεν ἐξ αὐτῆς υἱὸν Ἕβρον· ἀποσταξάμενος δὲ τῇ συμβιώσει τῆς προτέρας γυναικὸς, ἐπέγημε τῷ τέκνῳ Δαμασίππην, τὴν Ἄτρακος· ἥτις εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ προγόνου, λόγους αὐτῷ περὶ συνόδων ἀπέστειλεν. ὁ δ' ὡς Ἐριννὺν φυγὼν τὴν μητρυ-

προσηυκαίρει κυνηγίαις. ἀποτυχοῦσα δὲ τῆς προαιρέσεως ἢ ἀσελγὴς, κατεψεύσατο τοῦ σώφρονος, ὡς βιάσασθαι αὐτὴν θελήσαντος. Κάσανδρος δὲ τῷ ζήλῳ συμπεριενεχθεὶς, μεθ' ὁμῆς ἐπὶ τὸν ὕλην ἦχθη, καὶ σπασάμενος τὸ ξίφος, ἐδίωκε τὸν υἱὸν, ὡς ἐπίβουλον τῶν πατρῴων γάμων. ὁ δὲ υἱὸς περισπασθεὶς γενόμενος, ἑαυτὸν ἔῤῥιψεν εἰς ποταμὸν Ῥόμβον, ὃς ἐκ αὐτοῦ Ἕβρος μετωνομάσθη· καθὼς ἱστορεῖ Τιμόθεος ἐν τῷ περὶ Ποταμῶν.

II. Ὅρος δ' αὐτῷ παράκειται Παγγαῖον, τὴν προσηγορίαν ἔχον ἀπ' αἰτίαν τοιαύτην. Ὁ Παγγαῖος, Ἄρεως καὶ Κριτοβούλης παῖς, τῇ θυγατρὶ κατ' ἄγνοιαν συγγενόμενος, ἀθυμίᾳ συσχεθεὶς, ἔδραμεν εἰς Κασσάνιον ὄρος, καὶ διὰ λύπης ὑπερβολὴν σπασάμενος τὸ ξίφος, ἑαυτὸν ἀνεῖλε· κατὰ δὲ πρόνοιαν Θεῶν ὁ τόπος μετωνομάσθη Παγγαῖος.

III. Γεννᾶται δὲ ἐν αὐτῷ τῷ προειρημένῳ ποταμῷ βοτάνη, παρόμοιος Ὀριγάνῳ, ἧς τὰ ἄκρα δρεψάμενοι Θρᾷκες, ἐπιτιθέασι πυρὶ μετὰ τὸν κόρον τῆς δημητριακῆς τροφῆς, καὶ τὴν ἀναφερομένην ἀναθυμίασιν δεχόμενοι ταῖς ἀναπνοαῖς, παροῦνται, καὶ εἰς βαθὺν ὕπνον καταφέρονται.

IV. Γεννᾶται δὲ καὶ ἐν τῷ Παγγαίῳ ὄρει βοτάνη, Κιθάρα καλουμένη, διὰ ταύτην τὴν αἰτίαν. Διασπαράξασαι τὸν Ὀρφέα, τὰ μέλη τοῦ προειρημένου εἰς ποταμὸν ἔβαλον Ἕβρον· καὶ ἡ μὲν κεφαλὴ τοῦ θνητοῦ κατὰ πρόνοιαν θεῶν, εἰς δράκοντα μετέβαλε τὴν μορφὴν τοῦ σώματος· ἡ δὲ λύρα κατεστηρίχθη, κατὰ προαίρεσιν Ἀπόλλωνος· ἐκ δὲ τοῦ ῥεύσαντος αἵματος ἐνεφάνη βοτάνη, Κιθάρα καλουμένη. τῶν δὲ Διονυσίων τελουμένων, αὕτη κιθάρας ἀναδίδωσιν ἦχον· οἱ δ' ἐγχώριοι νεβρίδας περιβεβλημένοι καὶ θύρσους κρατοῦντες, ὕμνον ᾄδουσιν·

Καὶ τότε φρονήσεις, ὅταν ἔσῃ μάτην φρονῶν·

καθὼς ἱστορεῖ Κλειτώνυμος ἐν τῷ γ' τῶν Τραγικῶν.

IV.

Γάγγης.

I. Γάγγης ποταμός ἐστι τῆς Ἰνδίας, τὴν προσηγορίαν λαβὼν δι αἰτίαν τοιαύτην. Ἰνδῷ τὶς Καλαυρία νύμφη ἐγέννησεν υἱὸν κάλλει περίβλεπτον, τοὔνομα Γάγγην. οὗτος παρηβαρήσας, τῇ μητρὶ κατ' ἄγνοιαν συνεγένετο τῇ Διοπιθούσῃ. ὁ δὲ μεθ' ἡμέρας παρὰ τῆς τροφοῦ μαθὼν τὴν ἀλήθειαν, διὰ λύπης ὑπερβολὴν ἑαυτὸν ἐῤῥίψεν εἰς ποταμὸν, Χλιαρὸν καλούμενον, ὃς ἀπ' αὐτοῦ Γάγγης μετωνομάσθη.

II. Γεννᾶται δὲ παρ' αὐτῷ βοτάνη, παραπλησία Βουγλώσσῳ, ἣν λειοτριβοῦντες, τὸν χυλὸν αὐτῆς τηροῦσι, καὶ νυκτὸς βαθείας τοὺς φωλεοὺς τῶν Τίγρεων περιῤῥαίνουσιν· αἱ δὲ διὰ τὴν δύναμιν τῆς ἐκχυθείσης πρασίας, προχωρῆσαι μὴ δυνάμεναι, θνήσκουσι· καθὼς ἱστορεῖ Καλλισθένης ἐν γ' τῶν Κυνηγετικῶν.

III. Παράκειται δ' αὐτῷ ὄρος, Ἀνατολὴ καλούμενον δὲ αἰτίαν τοιαύτην. Ἀναξιβίαν νύμφην Ἥλιος θεασάμενος χωρίοις προσευκαιροῦσαν, εἰς ἐπιθυμίαν αὐτῆς ἐνέπεσε, καὶ μὴ στέγων τοὺς ἔρωτας, ἀπεδίωξε τὴν προειρημένην βιάσασθαι βουλόμενος· ἡ δὲ περικατάληπτος γενομένη, κατέφυγεν ἐπὶ τὸ τῆς Ὀρθίας Ἀρτέμιδος τέμενος, ὅπερ ἦν ἐν ὄρει, Κορυφὴ καλουμένῳ, καὶ ἀφανὴς ἐγένετο· κατόπιν δ' ἀκολουθήσας ὁ θεὸς, καὶ μηδαμοῦ τὴν ἀγαπωμένην εὑρὼν, διὰ λύπης ὑπερβολὴν ἐκεῖθεν ἀνέτειλεν· οἱ δ' ἐγχώριοι τὴν ἀκρώρειαν Ἀνατολὴν μετωνόμασαν ἀπὸ τοῦ συγκυρήματος· καθὼς ἱστορεῖ Καιμάρων ἐν δεκάτῳ Ἰνδικῶν.

V.

Φασις.

I. Φάσις ποταμός ἐστι τῆς Σκυθίας, παραῤῥέων πόλιν· ἐκαλεῖτο δὲ τὸ πρότερον Ἀρκτοῦρος, τὴν προσηγορίαν εἰληφὼς διὸ τὴν χωροθεσίαν τῶν κατεψυγμένων τόπων· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Φάσις, Ἥλιου καὶ Ὠκυῤῥόης τῆς Ὠκεανοῦ παῖς, τὴν

τέρα μοιχευομένην ἐπαυτοφώρῳ καταλαβὼν, ἀνεῖλεν· κατὰ δ' ἐπιφάνειαν Ἐριννύων οἰστροπλὴξ γενόμενος, ἑαυτὸν ἔῤῥιψεν εἰς τὸν Ἀρκτοῦρον, ἀπ' αὐτοῦ δὲ Φάσιν μετωνομασμένον.

II. Γεννᾶται δ' ἐν τῷ ποταμῷ ῥάβδος, ὀνομαζομένη Λευκόφυλλος· εὑρίσκεται δὲ τοῖς μυστηρίοις τῆς Ἑκάτης περὶ τὸν ὄρθρον, πρὸς πανισμὸν ἔνθεον, αὐτοῦ περὶ τὴν ἀρχὴν τοῦ ἔαρος· ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι, ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον, καὶ ἀνόθευτον τηροῦσι τὸν γάμον. ἐάν τις προπετέστερον ἀποστραφῇ τῶν ἀσεβεστέρων διὰ μέθην, καὶ εἰς τὸν τόπον εἰσέλθῃ, τῶν σωφρονούντων ἀφαρπάζεται λογισμῶν, καὶ εὐθὺς ὁμολογεῖ πᾶσιν, ὅσα παρανόμως ἢ ἔπραξεν ἢ μέλλει πράττειν. οἱ δὲ παρατηγχάνοντες, συλλαμβάνοντες, ῥίπτουσιν ἐμβεβυρσωμένον εἰς τὸ καλούμενον Στόμιον τῶν ἀσεβῶν. Ἔστι δὲ στρογγυλοειδὲς, φρέατι παραπλήσιον. ἐκδίδωσι δὲ τὸ βληθὲν μετὰ λ' ἡμέρας εἰς τὴν Μαιῶτιν λίμνην, σκωλήκων γέμον. Γῦπες δ' αἰφνιδίως ἐπιφανέντες ἀόρατοι, τὸ μὲν κείμενον διαρπάζουσιν, ὡς ἱστορεῖ Κτήσιππος ἐν β' Σκυθικῶν.

III. Παράκειται δὲ τὸ Καυκάσιον ὄρος· ἐκαλεῖτο δὲ τὸ πρότερον Βορέου κοίτη δι' αἰτίαν τοιαύτην. Βορέας δι' ἐρωτικὴν ἐπιθυμίαν Χλῶριν ἁρπάσας, τὴν Ἀρκτούρου θυγατέρα, κατήνεγκεν εἴς τινα λόφον, Νιφάντην καλούμενον, καὶ ἐγέννησεν ἐκ τῆς προειρημένης υἱὸν Ὕρπακα, τὸν διαδεξάμενον Ἡνιόχου τὴν βασιλείαν. μετωνομάσθη δὲ τὸ ὄρος Κοίτη Βορέου. προσηγορεύθη δὲ Καύκασος διὰ περίστασιν τοιαύτην. Μετὰ τὴν γιγαντομαχίαν Κρόνος, ἐκκλίνων τὰς Διὸς ἀπειλὰς, ἔφυγεν εἰς τὴν ἀκρώρειαν Βορέου Κοίτης· καὶ εἰς κροκόδειλον μεταμορφωθεὶς, ἕνα τῶν ἐρχωρίων ποιμένα, Καύκασον, ἀναπαύων, καὶ κατανοήσας αὐτοῦ τὴν διάθεσιν τῶν σπλάγχνων, εἶπεν, οὐ μακρὰν εἶναι τοὺς πολεμίους. ὁ δὲ Ζεὺς ἐπιφανεὶς, τὸν μὲν πατέρα δήσας πλεκτῷ ἐρίῳ, κατεταρτάρωσε. τὸ δ' ὄρος εἰς τιμὴν τοῦ προειρημένος Καύκασον μετονομάσας, προσέδηκεν

αὐτῷ τὸν Προμηθέα, καὶ ἠνάγκασεν αὐτὸν ὑπὸ σπλαγχνοφάγου ἀετοῦ βασανίζεσθαι, ὅτι παρηνόμησεν εἰς τὰ σπλάγχνα, ὡς ἱστορεῖ Κλεάνθης ἐν γ' Θεομαχίας γεγραφώς.

IV. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, Προμήθειος καλουμένη, ἣν Μήδεια συλλέγουσα καὶ λειοτριβοῦσα, πρὸς ἀντιπαθείας τοῦ πατρὸς ἐχρήσατο, καθὼς ἱστορεῖ ὁ αὐτός.

VI.

Ἄραρ.

I. Ἄραρ ποταμός ἐστι τῆς Κελτικῆς, τὴν προσηγορίαν εἰληφὼς παρὰ τὸ ἡρμόσθαι τῷ Ῥοδανῷ· καταφέρεται γὰρ εἰς τοῦτον, κατὰ τὴν χώραν τῶν Ἀλλοβρόνων. Ἐκαλεῖτο δὲ πρότερον Βρίγουλος· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Ἄραρ κυνηγεσίας χάριν εἰς ὕλην προχωρήσας, καὶ εὑρὼν τὸν ἀδελφὸν, Κελτίβηρον, ὑπὸ θηρίων ἀνηλωμένον, διὰ λύπης ὑπερβολὴν ἑαυτὸν καιρίως πλήξας ἔβαλεν εἰς τὸν ποταμὸν Βρίγουλον, ὃς ἀπ' αὐτοῦ μετωνομάσθη Ἄραρ.

II. Γεννᾶται δ' ἐν αὐτῷ μέγας ἰχθὺς, Σκολόπιδος προσαγορευόμενος ὑπὸ τῶν ἐγχωρίων· οὗτος, αὐξανομένης τῆς σελήνης, λευκὸς ἐστι· μειουμένης δὲ, μέλας γίνεται παντελῶς· ὑπεραυξήσας δ' ἀναιρεῖται ὑπὸ τῶν ἰδίων ἀκανθῶν.

III. Εὑρίσκεται δ' ἐν αὐτῷ λίθος ἐν τῇ κεφαλῇ χόνδρῳ παρόμοιος ἁλὸς, ὃς κάλλιστα ποιεῖ πρὸς τεταρταίους νόσους, τοῖς ἀριστεροῖς μέρεσι τοῦ σώματος προσδεδημένος, τῆς σελήνης μειουμένης, καθὼς ἱστορεῖ Καλλισθένης ὁ Συβαρίτης ἐν ιγ' Γαλατικῶν, παρ' οὗ τὴν ὑπόθεσιν εἴληφε Τιμαγένης ὁ Σύρος.

IV. Παράκειται δ' αὐτῷ ὄρος, Λούγδουνος καλούμενον· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Μώμορος καὶ Ἀτεπόμαρος, ὑπὸ Σεσηρονέως τῆς ἀρχῆς ἐκβληθέντες, εἰς τοῦτον κατὰ προσταγὴν τὸν λόφον πόλιν κτίσαι θέλοντες. τῶν δὲ θεμελίων ὀρυσσομένων, αἰφνιδίως κόρακες ἐπιφανέντες καὶ διαπτερυξώμενοι, τὰ

πέρις ἐπλήρωσαν τὰ ἄνδρα. Μώμορος δ', οἰωνοσκοπίας ἔμπειρος ὑπάρχων, τὴν πόλιν Λούγδουνον προσηγόρευσεν. λοῦγον γὰρ τῇ σφῶν διαλέκτῳ τὸν κόρακα καλοῦσι· δοῦνον δὲ τὸν ἐξέχοντα· καθὼς ἱστορεῖ Κλειτοφῶν ἐν γ' Κτίσεων.

VII.

Πακτωλός.

I. Πακτωλὸς ποταμός ἐστι τῆς Λυδίας κατὰ πόλιν Σάρδεις. ἐκαλεῖτο δὲ πρότερον Χρυσορρόας. Χίος, ὁ Ἀπόλλωνος καὶ Ἀκαθάππης παῖς, τὴν μηχανικὴν τέχνην ἀσκήσας, καὶ σπάνει βίου συνεχόμενος, νυκτὸς βαθείας τοὺς θησαυροὺς Κροίσου τοῦ βασιλέως ἀνέῳξε, καὶ τὸν χρυσὸν ἐπομίζων διεδίδου τοῖς οἰκείοις· καταληφθεὶς δὲ ὑπὸ τῶν φρουρῶν, καὶ κατάληπτος γενόμενος, ἑαυτὸν ἔῤῥιψεν εἰς ποταμὸν, ὃς ἀπ' αὐτοῦ Χρυσορρόας μετωνομάσθη.

II. Πακτωλὸς δὲ μετεκλήθη διὰ τήνδε τὴν περίστασιν. Πακτωλὸς, ὁ Ἠδόλιος καὶ Λευκοθέης παῖς, ἐν τοῖς Ἀφροδίτης μυστηρίοις Δημοδίκην, τὴν ἀδελφὴν, κατ' ἄγνοιαν βιασάμενος, καὶ περὶ τῶν συμβεβηκότων κατηχηθείς, διὰ λύπης ὑπερβολὴν ἑαυτὸν ἔῤῥιψεν εἰς ποταμὸν Χρυσορρόαν· ὃς ἀπ' αὐτοῦ Πακτωλὸς προσηγορεύθη. γεννᾶται δ' ἐν αὐτῷ ψῆγμα Δαρεῖου χρυσίου, καταφερόμενον εἰς τὸν εὐδαίμονα κόλπον.

III. Γεννᾶται δ' ἐν αὐτῷ καὶ λίθος, Ἀρουραφύλαξ καλούμενος· ἔστι δ' ἀργύρῳ παρόμοιος· εὑρίσκεται δὲ δυσχερῶς τῷ καταφερομένῳ ψήγματι συναναμιγνύμενος· ἔχει δὲ δύναμιν τοιαύτην. Οἱ ἐν ἐξοχῇ τυγχάνοντες τῶν Λυδῶν συναγοράζουσιν αὐτὸν, καὶ πρὸ τῆς εἰσόδου τῶν θησαυρῶν τιθέασι, καὶ διαφυλάττουσιν ἀκινδύνως τὸν διατεθέμενον χρυσόν. δυσὶ γὰρ ἂν φῶρες ἐπέλθωσιν, σάλπιγγος ἦχον ἀναδίδωσιν ὁ λίθος. οἱ δὲ, ὡς ὑπὸ δορυφόρων διωκόμενοι, κατὰ κρημνῶν φέρονται, καὶ καλεῖται ὁ τόπος τῶν βιασθέντων Πακτωλοῦ φρουρά.

IV. Γεννᾶται δὲ βοτάνη πορφυρίνθεμος, καλ-

μένη Χρυσοπόλη· πρὸς αὐτὴν γὰρ αἱ ἀστυγείτονες πόλεις τὸν ἀκέραιον χρυσὸν δοκιμάζουσιν. ἅμα γὰρ αὐτὸν χωνευθῆναι ἅπτουσι τὴν βοτάνην· καὶ ἐὰν μὲν ἀνόθευτον τὸ χρυσίον ᾖ, τὰ φύλλα χρυσοῦται, καὶ διατηρεῖ τῆς ὕλης τὴν οὐσίαν· ἐὰν δ' ἐφθαρμένον ὑπάρχῃ, τὴν ἠλλαγμένην ὑγρασίαν ἀποπτύει, καθὼς ἱστορεῖ Χρύσερμος ἐν γ' περὶ Ποταμῶν.

V. Παράκειται δ' αὐτῷ ὄρος Τμῶλος, παντοδαπῶν θηρίων πλῆρης· ἐκαλεῖτο δὲ πρότερον Καρμανώριον, ἀπὸ Καρμάνωρος, τοῦ Διονύσου καὶ Ἀλεξιρρόας παιδὸς, ὃς κυνηγετῶν ἀπέθανεν, ὑπὸ κάπρου πληγείς· ὕστερον δὲ μετωνομάσθη Τμῶλος διὰ τοιαύτην αἰτίαν. Τμῶλος, Ἄρεως καὶ Θεογόνης υἱὸς, βασιλεὺς Λυδίας, ἐν Καρμανωρίῳ κυνηγετῶν ὄρει, καὶ θεασάμενος Ἀρίπην παρθένον τῇ Ἀρτέμιδι συναγερφομένην, εἰς ἐπιθυμίαν αὐτῆς ἔπεσε, καὶ πλεονεκτούμενος ὑπὸ τοῦ ἔρωτος, ἐπεδίωκεν αὐτὴν βιάσασθαι βουλόμενος· ἡ δὲ περικατάληπτος γινομένη ἀπέρυγεν εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος. Καταφρονήσας δὲ τῆς δεισιδαιμονίας ὁ τύραννος, ἐν τῷ τεμένει τὴν κόρην ἔφθειρεν· ἡ δ' ἀθυμίᾳ συσχεθεῖσα βρόχῳ τὸν βίον παρέτρυψεν. ἀναξιοπαθήσασα δ' ἐπὶ τοῖς πραχθεῖσιν ἡ θεὸς, οἰστροπλῆγα τῷ προειρημένῳ ταῦρον ἐπέσκηψεν, ὑφ' οὗ ῥιφεὶς εἰς ὕψος, καὶ εἰς σκόλοπας κατενεχθεὶς, μετὰ βασάνων ἔθανε. Θεοκλύμενος δὲ, τοῦ προειρημένου παῖς, τὸν γεννήσαντα Θάψας, τὸ ὄρος ἀπ' αὐτοῦ μετωνόμασε.

VI. Γεννᾶται δ' ἐν αὐτῷ λίθος Κισήρει παρόμοιος, καὶ σπανίως εὑρίσκεται· τετράκις γὰρ τῆς ἡμέρας ἀλλάσσει τὴν χρόαν· βλέπεται δὲ ὑπὸ παρθένων τῶν μὴ τῷ χρόνῳ φρονήσεως ἐχουσῶν· αἱ δὲ ὥραν ἔχουσαι γάμων, ἐὰν ὁρῶσιν αὐτὸν, οὐδὲν ἀδικοῦνται παρὰ τῶν ὑβριζειν θελόντων· καθὼς ἱστορεῖ Κλειτοφῶν.

VIII.

Λυκόρμας

I. Λυκόρμας ποταμός ἐστι τῆς Αἰτωλίας, [illegible] μάσθη δ' Λύγινος δ' αἰτίαν τοιαύτην. [illegible]

ρέως παῖς, δὲ ἐρωτικὴν ἐπιθυμίαν Μύρ
σας, ἀπήγαγεν εἰς Πλεύρωνα. κατηγ
τῶν συμβεβηκότων ὁ Εὔηνος, ἐπεδίω
λον τῆς ἰδίας θυγατρός· γενόμενος δὲ κ
καὶ τῆς συλλήψεως ἀπελπίσας, ἑαυτὸν εἰς
λεν· ὃς ἀπ' αὐτοῦ Εὔηνος μετωνομάσθη

II. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη Ζά
φρυομένη, λόγχῃ παρόμοιος, ποιοῦσα
πίας ἄριστα.

III. Παράκειται δ' αὐτῷ ὄρος, Μύ
γων, ἀπὸ Μυήνου, τοῦ Τελέστορος κα
παιδός. οὗτος γὰρ ὑπὸ τῆς μητρυιᾶς φ
μὴ θέλων μιαίνειν τὴν ποίτην τοῦ γε
Ἄλφιον ὄρος ἀνεχώρησε. Τελέστωρ δὲ
γυναικὸς συσχηματισθείς, τὴν ἐρημίαν
φορῶν κατὰ τοῦ τέκνου ληψόμενος ἐδί
δὲ, φθάσας τοῦ πατρὸς τὰς ἀπειλὰς, ὑ
ἑαυτόν. τὸ δ' ὄρος κατὰ πρόνοιαν θε
Μύηνον μετωνομάσθη.

IV. Γεννᾶται δ' ἐν αὐτῷ Λευκόϊον ἡ
τρυιᾶς ὀνομασθείσης, μαραίνεται· καθ
κυλλος ἐν γ' περὶ Ὀρῶν.

IX.

Μ α ί α ν δ ρ ο ς.

I. Μαίανδρος ποταμὸς τῆς Ἀσίας
πρότερον Ἀναβαίνων· μόνος γὰρ ἐκ πάν
μῶν, ἀπὸ τῶν ἰδίων ἀρχόμενος πηγῶν,
λινδρομεῖ. προσηγορεύθη δὲ Μαίανδρο
δρου, τοῦ Κερκάφου καὶ Ἀναξιβίας πα
Πεσσινουντίους πόλεμον ἔχων, ηὔξατο
θεῶν, ἐὰν ἐγκρατὴς γένηται τῆς νίκης, θ
τον αὐτῷ συχαρέντα ταῖς ἀνδραγαθίαις
ρων. Ὑποστρέψαντι δὲ τῷ προειρημένῳ
χάρη συναντήσας ὁ παῖς Ἀρχέλαος, με
καὶ τῆς ἀδελφῆς. ὁ δὲ τῆς προειρημέν
νίας ἀναμνησθείς, κατ' ἀνάγκην, β
σους προσήκοντας. ἀθυμήσας δ' ἐπ

ῥῖψιν ἑαυτὸν εἰς ποταμὸν Ἀναβαίνοντα, ὃς ἀπ᾽ αὐτοῦ Μαίανδρος προσηγορεύθη· καθὼς ἱστορεῖ Τιμόλαος ἐν ά Φρυγιακῶν. μέμνηται δὲ τούτων καὶ Ἀγαθοκλῆς ὁ Σάμιος ἐν τῇ Πεσσινουντίων πολιτείᾳ.

II. *Δημόστρατος* δὲ ὁ Ἀπαμεὺς ἱστορίας μέμνηται τοιαύτης. *Μαίανδρος* ἀκμηστρατηγὸς χειροτονηθεὶς ἐξ ἐναντίας Πεσσινουντίων, καὶ παρ᾽ ἐλπίδας τῆς νίκης ἐγκρατὴς γενόμενος, τὰ ἀναθήματα τῆς μητρὸς τῶν Θεῶν διέδωκε τοῖς στρατιώταις· κατὰ δὲ πρόνοιαν τῆς Θεᾶς, τῶν σωφρονούντων λογισμῶν αἰφνιδίως ἀπαλλοτριωθεὶς, προσαπέκτεινε τὴν γυναῖκα καὶ τὸν υἱόν· ὀλίγον δὲ σωφρονήσας, καὶ εἰς μετάνοιαν ἐπὶ τοῖς πραχθεῖσι χωρήσας, ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν, ὃς ἀπ᾽ αὐτοῦ Μαίανδρος προσωνομάσθη.

III. *Γεννᾶται* δ᾽ ἐν αὐτῷ λίθος, κατ᾽ ἀντίφρασιν Σώφρων καλούμενος, ὃν ἐὰν βάλῃς τινὸς εἰς κόλπον, ἐμμανὴς γίνεται, καὶ φονεύει τινὰ τῶν συγγενῶν· ἐξιλασάμενος δὲ τὴν μητέρα τῶν Θεῶν, ἀπαλλάσσεται τοῦ πάθους· καθὼς ἱστορεῖ *Δημάρατος* ἐν γ᾽ περὶ Ποταμῶν. μέμνηται δὲ τούτων καὶ Ἀρχέλαος ἐν ά περὶ Λίθων.

IV. *Παράκειται* δ᾽ αὐτῷ ὄρος Σίπυλον, τὴν προσηγορίαν ἔχον ἀπὸ Σιπύλου, τοῦ Ἀγήνορος καὶ Διωξίππης παιδός. οὗτος γὰρ μητροκτονήσας κατ᾽ ἄγνοιαν, καὶ ὑπ᾽ Ἐρινύων οἰστρηλατηθεὶς, εἰς τὸ Κεραύνιον ὄρος ἦλθε, καὶ διὰ λύπης ὑπερβολὴν βρόχῳ τὸν βίον περιέγραφε. τὸ δ᾽ ὄρος κατὰ πρόνοιαν Θεῶν ἀπ᾽ αὐτοῦ Σίπυλον ὠνομάσθη.

V. *Γεννᾶται* δ᾽ ἐν αὐτῷ λίθος, παρόμοιος Κυλίνδρῳ. ὃν οἱ εὐσεβεῖς υἱοὶ ὅταν εὕρωσιν, ἐν τῷ τεμένει τῆς μητρὸς τῶν Θεῶν τιθέασι, καὶ οὐδέποτε χάριν ἀσεβείας ἁμάρτουσιν· ἀλλὰ φιλοπάτορες ὑπάρχουσι, καὶ πρὸς τοὺς προσήκοντας συμπαθοῦσιν· ὡς ἱστορεῖ Ἀγαθαρχίδης ὁ Σάμιος ἐν δ᾽ περὶ Λίθων. μέμνηται δὲ τούτων ἀκριβέστερον *Δημάρατος* ἐν δ᾽ Φρυγίως.

ρέως παῖς, δι' ἐρωτικὴν ἐπιθυμίαν Μάρπισσαν ἁρπάσας, ἀπήνεγκεν εἰς Πλεύρωνα. κατηχηθεὶς δὲ περὶ τῶν συμβεβηκότων ὁ Εὔηνος, ἐπεδίωκε τὸν ἐπίβουλον τῆς ἰδίας θυγατρός· γενόμενος δὲ κατὰ Λυκόρμαν καὶ τῆς συλλήψεως ἀπελπίσας, ἑαυτὸν εἰς ποταμὸν ἔβαλεν· ὃς ἀπ' αὐτοῦ Εὔηνος μετωνομάσθη.

II. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη Ζάρισα προσαγορευομένη, λόγχῃ παρόμοιος, ποιοῦσα πρὸς ἀμβλυωπίας ἄριστα.

III. Παράκειται δ' αὐτῷ ὄρος, Μύηνον καλούμενον, ἀπὸ Μυήνου, τοῦ Τελέστορος καὶ Ἀλφεσιβοίας παιδός. οὗτος γὰρ ὑπὸ τῆς μητρυιᾶς φιλούμενος, καὶ μὴ θέλων μιαίνειν τὴν κοίτην τοῦ γεννήσαντος, εἰς Ἄλφιον ὄρος ἀνεχώρησε. Τελέστωρ δὲ, ζηλωτὴς τῆς γυναικὸς συσχηματισθεὶς, τὴν ἐρημίαν μετὰ τῶν δορυφόρων κατὰ τοῦ τέκνου ληψόμενος ἐδίωκε. Μύηνος δὲ, φθάσας τοῦ πατρὸς τὰς ἀπειλὰς, κατακρήμνισεν ἑαυτόν. τὸ δ' ὄρος κατὰ πρόνοιαν θεῶν ἀπ' αὐτοῦ Μύηνον μετωνομάσθη.

IV. Γεννᾶται δ' ἐν αὐτῷ Λευκόϊον ἄνθος, ὃ, μητρυιᾶς ὀνομασθείσης, μαραίνεται· καθὼς ἱστορεῖ Δέρκυλλος ἐν γ' περὶ Ὀρῶν.

IX.

Μαίανδρος.

I. Μαίανδρος ποταμὸς τῆς Ἀσίας· ἐκαλεῖτο δὲ πρότερον Ἀναβαίνων· μόνος γὰρ ἐκ πάντων τῶν ποταμῶν, ἀπὸ τῶν ἰδίων ἀρχόμενος πηγῶν, εἰς ἑαυτὸν πολινδρομεῖ. προςηγορεύθη δὲ Μαίανδρος ἀπὸ Μαιάνδρου, τοῦ Κερκάφου καὶ Ἀναξιβίας παιδὸς, ὃς πρὸς Πεσσινουντίους πόλεμον ἔχων, ηὔξατο τῇ μητρὶ τῶν θεῶν, ἐὰν ἐγκρατὴς γένηται τῆς νίκης, θύσειν τὸν πρῶτον αὐτῷ συγχαρέντα ταῖς ἀνδραγαθίαις, τρόπαια φέρων. Ὑποστρέψαντι δὲ τῷ προειρημένῳ πρῶτος συνεχάρη συναντήσας ὁ παῖς Ἀρχέλαος, μετὰ τῆς μητρὸς καὶ τῆς ἀδελφῆς. ὁ δὲ τῆς προειρημένης δεισιδαιμονίας ἀναμνησθεὶς, κατ' ἀνάγκην, βωμοῖς κατήγαγε τοὺς προςήκοντας. ἀθυμήσας δ' ἐπὶ τοῖς πραχθεῖσι

ῥῖψεν ἑαυτὸν εἰς ποταμὸν Ἀναβαίνοντα, ὃς ἀπ' αὐτοῦ Μαίανδρος προσηγορεύθη· καθὼς ἱστορεῖ Τιμόλαος ἐν ἀ Φρυγιακῶν. μέμνηται δὲ τούτων καὶ Ἀγαθοκλῆς ὁ Σάμιος ἐν τῇ Περσινουντίων πολιτείᾳ.

II. *Λημόστρατος* δὲ ὁ Ἀπαμεὺς ἱστορίας μέμνηται τοιαύτης. *Μαίανδρος* ἀκμηστρατηγὸς χειροτονηθεὶς ἐξ ἐναντίας Περσινουντίων, καὶ παρ' ἐλπίδας τῆς νίκης ἐγκρατὴς γενόμενος, τὰ ἀναθήματα τῆς μητρὸς τῶν Θεῶν διέδωκε τοῖς στρατιώταις· κατὰ δὲ πρόνοιαν τῆς Θεᾶς, τῶν σωφρονούντων λογισμῶν αἰφνιδίως ἀπαλλοτριωθεὶς, προσαπέκτεινε τὴν γυναῖκα καὶ τὸν υἱόν· ὀλίγον δὲ σωφρονήσας, καὶ εἰς μετάνοιαν ἐπὶ τοῖς πραχθεῖσι χωρήσας, ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν, ὃς ἀπ' αὐτοῦ Μαίανδρος προσωνομάσθη.

III. *Γεννᾶται* δ' ἐν αὐτῷ λίθος, κατ' ἀντίφρασιν Σώφρων καλούμενος, ὃν ἐὰν βάλῃς τινὸς εἰς κόλπον, ἐμμανὴς γίνεται, καὶ φονεύει τινὰ τῶν συγγενῶν· ἐξιλασάμενος δὲ τὴν μητέρα τῶν Θεῶν, ἀπαλλάσσεται τοῦ πάθους· καθὼς ἱστορεῖ *Δημάρατος* ἐν γ' περὶ Ποταμῶν. μέμνηται δὲ τούτων καὶ *Ἀρχέλαος* ἐν ἀ περὶ Λίθων.

IV. *Παράκειται* δ' αὐτῷ ὄρος Σίπυλον, τὴν προσηγορίαν ἔχον ἀπὸ Σιπύλου, τοῦ Ἀγήνορος καὶ Διωξίππης παιδός. οὗτος γὰρ μητροκτονήσας κατ' ἄγνοιαν, καὶ ὑπ' Ἐρινύων οἰστρηλατηθεὶς, εἰς τὸ Κεραύνιον ὄρος ἦλθε, καὶ διὰ λύπης ὑπερβολὴν βρόχῳ τὸν βίον περιέγραφε. τὸ δ' ὄρος κατὰ πρόνοιαν Θεῶν ἀπ' αὐτοῦ Σίπυλον ὠνομάσθη.

V. *Γεννᾶται* δ' ἐν αὐτῷ λίθος, παρόμοιος Κυλίνδρῳ. ὃν οἱ εὐσεβεῖς υἱοὶ ὅταν εὕρωσιν, ἐν τῷ τεμένει τῆς μητρὸς τῶν Θεῶν τιθέασι, καὶ οὐδέποτε χάριν ἀσεβείας ἁμάρτουσιν· ἀλλὰ φιλοπάτορες ὑπάρχουσι, καὶ πρὸς τοὺς προσήκοντας συμπαθοῦσιν· ὡς ἱστορεῖ Ἀγαθαρχίδης ὁ Σάμιος ἐν δ' περὶ Λίθων. μέμνηται δὲ τούτων ἀκριβέστερον *Δημάρατος* ἐν δ' Φρυγίως.

X.

Μαρσ

I. *Μαρσύας ποταμὸς ἐστ*
λιν Κελαινὰς κείμενος· προ
πηγὴ Μίδου, δι' αἰτίαν τοια
Φρυγῶν, ἐρχόμενος τὰ ἐρημι
δρίᾳ συνεχόμενος, ἤψατο τῆς
πηγὴν, τοῦ ὕδατος χρυσοῦ γ
ὧν, καὶ τῶν ὑποτεταγμένων Θ
τὸν Διόνυσον. γενόμενος δ'
λὲς ὕδωρ ἀνέτειλε. κορεσθέν
δας τὸν ἐκ τῆς κρήνης κατα
πηγὴν ἐκάλεσε. μετωνομάσθ
αὐτὴν αἰτίαν. νικηθέντος ὑ
καὶ ἐκδαρέντος, ἐκ τοῦ ῥεύσα
σαν Σάτυροί τε, καὶ ποταμι
καλούμενος· καθὼς ἱστορεῖ
γ' Φρυγιακῶν.

II. *Εὐημερίδας* δὲ ὁ *Κν*
τοιαύτης. Ὁ ἀσκὸς Μαρσύο
καὶ κατενεχθεὶς ἔπεσεν ἀπὸ τ
νην· καὶ κατ' ὀλίγον καταφερ
νέχθη· κατὰ δὲ χρησμοῦ πρ
Λακεδαιμόνιος, παρὰ λείψανι
τοῦ συγκυρήματος κεῖσας, Ι
ρευσε. Νῶρικον δὲ οἱ Φρύγ
ἀσκὸν καλοῦσι.

III. *Γεννᾶται* δ' ἐν τῷ πο
λὸς ὀνομαζομένη, ἣν ἐὰν πρὸ
σικὴν ἔχει μελῳδίαν· καθὼς
Σατυρικῶν.

IV. *Παράκειται* δ' αὐτῷ
μενον· τὴν προσηγορίαν ἔχο
πρώτου ἱερέως γενομένου τῆς

V. *Γεννᾶται* δ' ἐν αὐτῷ λ
ρα· ἔστι γὰρ σιδήρου παρ
τῶν μυστηρίων ἐπιτελουμέ

νεται· καθὼς ἱστορεῖ Ἀγαθαρχίδης ἐν τοῖς Φρυγιακοῖς.

XI.

Στρυμών.

I. Στρυμὼν ποταμός ἐστι τῆς Θρᾴκης, κατὰ πόλιν Ἡδονίδα· προσηγορεύετο δὲ πρότερον Παλαιστῖνος, ἀπὸ Παλαιστίνου τοῦ Ποσειδῶνος. οὗτος γὰρ πρὸς τοὺς ἀστυγείτονας ἔχων πόλεμον, καὶ εἰς ἀσθένειαν ἐμπεσών, τὸν υἱὸν Ἀλιάκμονα στρατηγὸν ἔπεμψεν· ὁ δὲ προπετέστερον μαχόμενος, ἀνῃρέθη. περὶ δὲ τῶν συμβεβηκότων ἀκούσας Παλαιστῖνος, καὶ λαθὼν τοὺς δορυφόρους, διὰ λύπης ὑπερβολὴν ἑαυτὸν ἔῤῥιψεν εἰς ποταμὸν Κόνοζον· ὃς ἀπ' αὐτοῦ Παλαιστῖνος ὠνομάσθη. Στρυμὼν δὲ, Ἄρεως παῖς καὶ Ἠλίκης, ἀκούσας περὶ τῆς Ῥήσου τελευτῆς, καὶ ἀθυμίᾳ συσχεθείς, ἑαυτὸν ἔῤῥιψεν εἰς ποταμὸν Παλαιστῖνον, ὃς ἀπ' αὐτοῦ Στρυμὼν μετωνομάσθη.

II. Γεννᾶται δ' ἐν αὐτῷ λίθος, Παυσίλυπος καλούμενος· ὃν ἐὰν εὕρῃ τις πενθῶν, παύεται παραχρῆμα τῆς κατεχούσης αὐτὸν συμφορᾶς· καθὼς ἱστορεῖ Ἰάσων ὁ Βυζάντιος ἐν τοῖς Τραγικοῖς.

III. Παράκεινται δ' αὐτῷ ὄρη Ῥοδόπη καὶ Αἷμος. οὗτοι ἀδελφοὶ τυγχάνοντες, καὶ εἰς ἐπιθυμίαν ἀλλήλων ἐμπεσόντες, ὁ μὲν αὐτὴν Ἥραν προσηγόρευσεν, ἡ δὲ τὸν ἀγαπώμενον Δία, μισοπονήρως. οἱ δ' ἀτιμούμενοι θεοὶ τὴν πρᾶξιν βαρέως ἐνεγκόντες, εἰς ὁμώνυμα ὄρη μετέβαλον ἀμφοτέρους.

IV. Γεννῶνται δ' ἐν αὐτοῖς λίθοι, Φιλάδελφοι λεγόμενοι, κέρασις τὴν χρόαν, ἀνθρωποειδεῖς· οὗτοι τεθέντες χωρὶς ἀλλήλων, καὶ ὀνομασθέντες, διαλύονται παραχρῆμα καὶ ἰδίᾳ· καθὼς ἱστορεῖ Θρᾴσυλλος Μενδήσιος ἐν γ' περὶ λίθων· μέμνηται δὲ τούτων ἀκριβέστερον ἐν τοῖς Τραγικοῖς.

XII.

Σάγαρις.

I. Σάγαρις ποταμός ἐστι τῆς Φρυγίας· προσηγορεύετο δὲ πρότερον Ἠραβάτης ἀπὸ τοιούτου συγκυρ-

ματος· τῷ γὰρ Θερινῷ καταστήματι ξηρὸς ὁρᾶται πολλάκις· ἐκλήθη δὲ Σάγαρις δι' αἰτίαν τοιαύτην. Σάγαρις Μύνδωνος καὶ Ἀλεξιῤῥόης, πλεῖστα μυστήρια τῆς μητρὸς τῶν Θεῶν ἐξευθενζων, τοὺς ἱερεῖς καὶ Γάλλους αὐτῆς ὕβρισεν. ἡ δὲ μισοπονήρως ἐνεγκοῦσα τὴν πρᾶξιν τῷ προειρημένῳ μανίαν ἐνέσκηψεν. ὁ δὲ τῶν φρονίμων λογισμῶν ἐκστὰς, ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν Ξηραβάτην, ὃς ἀπ' αὐτοῦ Σάγαρις μετωνομάσθη.

II. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος, Αὐτόγλυφος* καλούμενος· εὑρίσκεται γὰρ τετυπωμένην ἔχων τὴν μητέρα τῶν Θεῶν. τοῦτον τὸν λίθον ἐὰν εὕρῃ τις, σπανίως εὑρισκόμενον, ἀποτεμνομένων, οὐ ξενίζεται, ἀλλ' ἐμψύχως φέρει τῆς παρὰ φύσιν πράξεως τὴν ὕψιν· ταῦτα ἱστορεῖ Ἀριτάζης ἐν τοῖς Φρυγιακοῖς.

III. *Παράκειται δ' αὐτῷ ὄρος, Βαλληναῖον* καλούμενον, ὅπερ ἐστὶ μεθερμηνευόμενον βασιλικόν· τὴν προσηγορίαν ἔχον ἀπὸ Βαλληναίου, τοῦ Γαυυμήδους καὶ Μηδησιγίστης παιδός. οὗτος γὰρ τὸν γεννήσαντα θεασάμενος ἀποτηκόμενον, τοῖς ἐγχωρίοις καὶ Βαλληναῖον ἑορτὴν κατέδειξε μέχρι νῦν καλούμενον.

IV. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος, καλούμενος Ἀστήρ.* οὗτος εἴωθε νυκτὸς βαθείας πυρὸς δίκην λάμπειν, τοῦ φθινοπώρου τὴν ἀρχὴν λαμβάνοντος· προσαγορεύεται δὲ τῇ διαλέκτῳ τῶν ἐγχωρίων Βαλλήν· ὅπερ μεθερμηνευόμενόν ἐστι βασιλεύς· καθὼς ἱστορεῖ Ἑρμησιανὰξ Κύπριος ἐν β' Φρυγιακῶν.

XIII.

Σκάμανδρος.

I. *Σκάμανδρος ποταμός ἐστι τῆς Τρωάδος.* ἐκαλεῖτο δὲ πρότερον Ξάνθος, μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην., *Σκάμανδρος, Κορύβαντος καὶ Δημοδίκης* παῖς, τῶν τῆς Ῥέας μυστηρίων τελουμένων, αἱφνιδίως θεασάμενος, ἐμμανὴς ἐγένετο, καὶ μετ' ὀργῆς ἐπὶ Ξάνθον τὸν ποταμὸν ἐνεχθεὶς, ἑαυτὸν εἰς τοῦτον ἔβαλεν, ὃς ἀπ' αὐτοῦ Σκάμανδρος μετωνομάσθη.

II. *Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, Σίστρος καλουμένη, παραπλήσιος ἐρεβίνθῳ, κόκκους δ' ἔχει σειομένους, ὅθεν τὴν προσηγορίαν ἔλαβε· ταύτην οἱ κατέχοντες οὔτε φαντασίαν, οὔτε θεὸν ὀφθέντα φοβοῦνται· καθὼς ἱστορεῖ Δημόστρατος ἐν β' περὶ ποταμῶν.*

III. *Παράκειται δ' αὐτῷ ὄρος Ἴδη, τὸ πρότερον δ' ἐκαλεῖτο Γάργαρον· ὅπου Διὸς καὶ Μητρὸς θεῶν βωμοὶ τυγχάνουσιν. Ἴδη δὲ μετωνομάσθη δι' αἰτίαν τοιαύτην. Αἰγέσθιος, ὁ γεννηθεὶς ἐκ τοῦ Διοσφόρου, κόρης Ἴδης ἐρασθεὶς, συνῆλθε τῇ προειρημένῃ, καὶ ἐγέννησεν ἐξ αὐτῆς τοὺς εἰρημένους Ἰδαίους Δακτύλους. Γενομένης δ' αὐτῆς ἄφρονος ἐν τῷ τῆς Ῥέας ἀδύτῳ, Αἰγέσθιος, εἰς τιμὴν τῆς προειρημένης, τὸ ὄρος Ἴδην μετωνόμασε.*

IV. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος Κρύφιος, ὃς μονος τοῖς μυστηρίοις τῶν θεῶν φαίνεται· καθὼς ἱστορεῖ Ἡράκλειτος Σικυώνιος ἐν β' περὶ Λίθων.*

XIV.

Τ ά ν α ϊ ς.

I. *Τάναϊς ποταμός ἐστι τῆς Σκυθίας· ἐκαλεῖτο δὲ πρότερον Ἀμαζόνιος, διὰ τὸ τὰς Ἀμαζόνας λούεσθαι ἐν αὐτῷ· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Τάναϊς, Βηρωσσοῦ καὶ Λυσίππης, μιᾶς τῶν Ἀμαζόνων, παῖς, σωφρονέστατος ὑπάρχων, τὸ γυναικεῖον γένος ἐμίσει, μόνον Ἄρη σεβόμενος· ἐν ἀτιμίᾳ δ' εἶχε καὶ τὸ γαμεῖν. ἡ δ' Ἀφροδίτη ἐπεθυμίων αὐτῷ τῆς μητρὸς ἐνέσκηψεν. ὁ δὲ κατ' ἀρχὰς μὲν ἀντεμάχετο τῷ πάθει· νικώμενος δὲ ὑπὸ τῆς ἀνάγκης τῶν ὄρκων, καὶ εὐσεβὴς διαμεῖναι βουλόμενος, ἑαυτὸν ἔῤῥιψεν εἰς τὸν Ἀμαζόνιον ποταμόν· ὃς ἀπ' αὐτοῦ Τάναϊς μετωνομάσθη.*

II. *Γεννᾶται δ' ἐν αὐτῷ φυτὸν, Ἀλίνδα καλούμενον· παρόμοια δ' ἔχει τὰ φύλλα Κράμβης. τοῦτο λειοτριβοῦντες οἱ τὴν χώραν κατοικοῦντες, ἀλείφοντες τῷ χύλῳ, καὶ θερμαινόμενοι, τὸ ψύχος εὐρώστως καρτεροῦσι. καλοῦσι δὲ τῇ σφῶν διαλέκτῳ Βηρωσσοῦ ἔλαιον.*

III. *Γεννᾶται δ' ἐν αὐτῷ καὶ λίθος πυρὶ παραπλήσιος, ὃν ἀνθρωπόμιμος, ἱστημένος. ὅταν δ' ἀποθάνῃ βασιλεὺς, ἀρχαιρεσίας παρὰ τὸν ποταμὸν τελοῦσιν· καὶ ὃς ἂν εὑρεθῇ τὸν λίθον ἐκεῖνον ἔχων, παρεχρῆμα βασιλεὺς γίνεται, καὶ τὰ σκῆπτρα παραλαμβάνει τοῦ τελευτήσαντος· ταῦθ' ἱστορεῖ Κτησιφῶν ἐν τοῖς περὶ Φυτῶν· μέμνηται δὲ τούτων καὶ Ἀριστόβουλος ἐν ᾧ περὶ Λίθων.*

IV. *Παράκειται δ' αὐτῷ ὄρος, τῇ διαλέκτῳ τῶν ἐνοικούντων προσαγορευόμενον Βριξάβα· ὅπερ μεθερμηνευόμενον Κριοῦ μέτωπον· ὀνομάσθη δὲ διὰ ταύτην αἰτίαν. Φρύξος ἀποβαλὼν παρὰ τὸν Κίμμιον πόντον Ἕλλην, τὴν ἀδελφὴν, καὶ διὰ τὰ δίδυμα τῆς φύσεως συγκεχυμένος, ἐν ταῖς ἀμηχανίαις λόφου τινὸς ἐπέλυσε. βαρβάρων δέ τινων θηευομένων αὐτὴν, καὶ μεθ' ὅπλων ἀναβαινόντων, ὁ χρυσόμαλλος κριὸς προεκύψας, καὶ ἰδὼν τὸ πλῆθος τῶν ἐπερχομένων, ἀνθρωπίνῃ φωνῇ χρησάμενος, διεγείρει τὸν Φρίξον ἀναπαυόμενον, καὶ ἀναλαβὼν τὸν προειρημένον, μέχρι Κόλχων ἐξήνεγκεν. ὁ δὲ λόφος ἀπὸ τοῦ συγκυρήματος Κριοῦ μέτωπον προηγορεύθη.*

V. *Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, τῇ διαλέκτῳ τῶν βαρβάρων Φρύξα καλουμένη, ὅπερ μεθερμηνευόμενόν ἐστι, μισοπόνηρος· πηγάνῳ δέ ἐστι παρόμοιος, ἣν οἱ πρόγονοι κρατοῦντες, οὐδὲν ὑπὸ μητρυιῶν ἀδικοῦνται· μάλιστα δὲ φύεται παρὰ Βορέου προσαγορευόμενον ἄντρον. συλλεγομένη δέ ἐστι ψυχροτέρα χιόνος· ὅταν δέ τινι ἐκ μητρυιᾶς ἐπιβουλὴ γένηται, φλόγας ἀναδίδωσι· καὶ τοῦτο σύσσημον ἔχοντες οἱ φοβούμενοι τὰς ἐπιγεγαμηκυίας, ἐκκλίνουσι τῶν ἐπικειμένων φόβων τὰς ἀνάγκας· καθὼς ἱστορεῖ Ἀγάθων ὁ Σάμιος ἐν β Σκυθικῶν.*

XV.

Θερμώδων.

Θερμώδων ποταμός ἐστι Σκυθίας, τὴν προσηγορίαν εἰληφὼς ἀπὸ τοῦ συγκυρήματος· ἐκαλεῖτο δὲ πρότερον Κρύσταλλος· ἐκεῖνος γὰρ καὶ θέρει πήγνυται,

τῆς τοποθεσίας τὴν ἰδέαν διεξαγούσης· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην.

Λείπει τὰ ἑξῆς.

XVI.

Νεῖλος.

Νεῖλος ποταμός ἐστι τῆς Αἰγύπτου, κατὰ πόλιν Ἀλεξάνδρειαν. ἐκαλεῖτο δὲ τὸ πρότερον Μέλας, ἀπὸ Μέλανος τοῦ Ποσειδῶνος· ὕστερον δ' Αἴγυπτος ἐπεκλήθη δι' αἰτίαν τοιαύτην. Αἴγυπτος, Ἡφαίστου καὶ Λευκίππης παῖς, βασιλεὺς ὑπῆρχε τῶν τόπων· δι' ἐμφύλιον δὲ πόλεμον μὴ ἀναβαίνοντος τοῦ Νείλου, καὶ λιμῷ συνεχομένων τῶν ἐγχωρίων, ἔχρησεν ὁ Πύθιος τὴν εὐφορίαν, ἐὰν ὁ βασιλεὺς ἀποτρόπαιον Θεοῖς τὴν θυγατέρα θύσῃ. θλιβόμενος δὲ ὑπὸ τῶν κακῶν ὁ τύραννος, τοῖς βωμοῖς Ἀγανίππην προσήγαγε. τῆς δὲ διασπασθείσης, ὁ Αἴγυπτος δι' ὑπερβολὴν τῆς λύπης ἑαυτὸν ἔῤῥιψεν εἰς ποταμὸν Μέλανα· ὃς ἀπ' αὐτοῦ Αἴγυπτος μετωνομάσθη. προσηγορεύθη δὲ Νεῖλος δι' αἰτίαν τοιαύτην. Γαρμαθώνη, τῶν κατ' Αἴγυπτον βασιλισσα τόπων, ἀποβάλλουσα τὸν υἱὸν αὐτῆς, Χρυσοχόαν, ἀκμῇ ἔφηβον, μετὰ τῶν οἰκετῶν ἰθρήνει συμπαθῶς τὸν προειρημένον. Ἶσις δ' αἰφνιδίως ἐπιφανείσης, τὴν λύπην πρὸς καιρὸν ἐπερίθετο, καὶ προσποιητὴν χάριν σκιαμένη, τὴν θεὸν ὑπεδέξατο φιλανθρώπως. ἡ δὲ τὴν διάθεσιν τούτων ἀμείψασθαι βουλομένη τῆς εὐσεβείας, Ὄσιριν παρεκέλευσεν, ὅπως ἀγάγῃ τὸν υἱὸν αὐτῆς ἐκ τῶν καταχθονίων τόπων. τούτου δὲ ταῖς δεήσεσι τῆς γυναικὸς συμπερινευσθέντος, Κέρβερος, ὃν ἔνιοι καλοῦσι Φοβερὸν, ὑλάκτησε. Νεῖλος δὲ, τῆς Γαρμαθώνης ἀνὴρ, αἰφνιδίως ἐνθεος γενόμενος, ἑαυτὸν ἔῤῥιψεν εἰς ποταμὸν καλούμενον Αἴγυπτον ὃς ἀπ' αὐτοῦ Νεῖλος μετωνομάσθη.

II. Γεννᾶται δ' ἐν αὐτῷ λίθος, κυάμῳ παρόμοιος, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι· ποιεῖ δὲ πρὸς τοὺς δαιμονιζομένους· ἅμα γὰρ προστεθῆναι ταῖς ῥισὶν, ἐπέρχεται τὸ δαιμόνιον. Γεννῶνται δὲ καὶ ἄλλοι λι-

θοι, Κόλλωτες καλούμενοι· τούτους κατὰ τὴν ἐπὶ βειαν τοῦ Νείλου, συλλέγουσαι χελιδόνες, κατασκευ ζουσι τὸ προσαγορευόμενον Χελιδόνιον τεῖχος· ὅπερ ἐπέχει τοῦ ὕδατος τὸν ῥοῖζον, καὶ οὐκ ἐᾷ κατακλυσθῆ φθείρεσθαι τὴν χώραν· καθὼς ἱστορεῖ Θράσυλλος ὁ τοῖς Αἰγυπτιακοῖς.

III. *Περάκειται δ' αὐτῷ ὄρος, Ἄργιλλον καλούμενον ἀπ' αἰτίας τοιαύτης. Ζεὺς δι' ἐρωτικὴν ἐπιθυμίαν, ἐκ Λύκτου, πόλεως Κρητικῆς, Ἄργην νύμφην ἁρπάσας, ὑπήνεγκεν εἰς ὄρος τῆς Αἰγύπτου, Ἄργιλλον καλούμενον· καὶ ἐγέννησεν ἐξ αὐτῆς υἱὸν, καλούμενον Διόνυσον· ὃς ἀκμάσας, εἰς τιμὴν τῆς μητρὸς τὸν ὄφον Ἄργιλλον μετωνόμασε· στρατολογήσας δὲ Πᾶνας καὶ Σατύρους, ἰδίοις σκήπτροις Ἰνδοὺς ὑπέταξε· κτίσας δὲ καὶ Ἰβηρίαν, Πᾶνα κατέλιπεν ἐπιμελητὴν τῶν τόπων· ὃς τὴν χώραν ἀπ' αὐτοῦ Πανίαν μετωνόμασεν ἣν οἱ μεταγενέστεροι παραγώγως Σπανίαν προσηγόρευσαν· καθὼς ἱστορεῖ Σωσθένης ἐν ιγ' Ἰβηρικῶν.*

XVII.

Εὐρώτας.

I. *Εὐρώτας. Ἵμερος, Ταϋγέτης νύμφης καὶ Λακεδαίμονος παῖς, διὰ μῆνιν Ἀφροδίτης κατ' ἄγνοιαν ἐπὶ παννυχίδι τὴν ἀδελφὴν Κλεοδίκην βιασάμενος ἔφθειρε τῇ δ' ἐπιούσῃ τῶν ἡμερῶν καταληφθεὶς περὶ τῶν συμβεβηκότων, καὶ ἀθυμήσας, διὰ λύπης ὑπερβολὴν ἔῤῥιψεν ἑαυτὸν εἰς ποταμὸν Μαραθῶνα· ὃς ἀπ' αὐτοῦ Ἵμερος μετωνομάσθη. ὕστερον δ' Εὐρώτας ἐλήφθη δι' αἰτίαν τοιαύτην. Λακεδαιμονίων πρὸς Ἀθηναίους πόλεμον ἐχόντων, καὶ τὴν παυσέληνον περιμενόντων, Εὐρώτας, ὁ τῶν προειρημένων στρατηγὸς, καταφρονήσας πάσης δεισιδαιμονίας, συνέβαλε τὴν παράταξιν, καίπερ ὑπ' ἀστραπῶν τε καὶ κεραυνῶν κωλυόμενος· ἀποβαλὼν δὲ τὸ στράτευμα, καὶ λύπῃ σχεθεὶς, ἑαυτὸν ἔῤῥιψεν εἰς τὸν ποταμὸν τὸν Ἵμερον· ὃς ἀπ' αὐτοῦ Εὐρώτας μετωνομάσθη.*

II. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος περικαλλὴς παρόμοιος, Θρασύδειλος προσαγορευόμενος. ἅμα γὰρ αὐ-*

πιγγος ἀκούει, ἐπὶ τὴν ὄχθαν προχωρεῖ· τῶν δ' Ἀθηναίων ὀνομασθέντων, καὶ εἰς τὸν βυθὸν ἅλλεται. κεῖνται δὲ πολλοὶ καθιερωθέντες ἐν τῷ ναῷ τῆς Χαλκιοίκου Ἀθηνᾶς· καθὼς ἱστορεῖ Νικάνωρ ὁ Σάμιος ἐν β' περὶ Ποταμῶν.

III. Παράκειται δ' αὐτῷ ὄρος, Ταΰγετον προσονομαζόμενον, τὴν προσηγορίαν εἰληφὸς ἀπὸ Ταϋγέτης νύμφης, ἣν ὁ Ζεὺς βιασάμενος ἔφθειρε· τῇ δὲ λύπῃ συσχεθεῖσα, βρόχῳ τὸν βίον παρέγραψεν ἐν ἀκρωρείαις ὄρους Ἀμυκλέου· ὅπερ ἀπ' αὐτῆς Ταΰγετον προσωνομάσθη.

IV. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, καλουμένη Χαρίσιον, ἣν γυναῖκες, ἔαρος ἀρχομένου, τοῖς τραχήλοις περιάπτουσι, καὶ ὑπὸ τῶν ἀνδρῶν συμπαθέστερον ἀγαπῶνται· καθὼς ἱστορεῖ Κλειάνθης ἐν α' περὶ Ὀρῶν. μέμνηται δὲ τούτων ἀκριβέστερον Σωσθένης ὁ Κνίδιος, παρ' οὗ τὴν ὑπόθεσιν εἴληφεν Ἑρμογένης.

XVIII.

Ἴ ν α χ ο ς.

I. Ἴναχος ποταμός ἐστι τῆς Ἀργείας χώρας· ἐκαλεῖτο δὲ τὸ πρότερον Καρμάνωρ. Ἀλιάκμων δὲ, τῷ γένει Τιρύνθιος, ἐν τῷ Κοκκυγίῳ ποιμαίνων ὄρει, καὶ κατ' ἄγνοιαν τῇ Ῥέᾳ συγγινόμενον τὸν Δία θεασάμενος, ἐμμανὴς ἐγένετο, καὶ μεθ' ὁρμῆς ἐνεχθεὶς, ἔβαλεν ἑαυτὸν εἰς ποταμὸν Καρμάνορα· ὃς ἀπ' αὐτοῦ Ἀλιάκμων μετωνομάσθη· προσηγορεύθη δ' Ἴναχος δι' αἰτίαν τοιαύτην. Ἴναχος, Ὠκεανοῦ παῖς, φθαρείσης τῆς θυγατρὸς αὐτοῦ Ἰοῦς ὑπὸ Διὸς, τὸν θεὸν βλασφήμοις λοιδορίαις ἐπέπληττε, κατόπιν ἀκολουθῶν· ὁ δ' ἀναξιοπαθήσας, ἔπεμψεν αὐτῷ Τισιφόνην, μίαν τῶν Ἐρινύων· ἀφ' ἧς ἐξοιστρηλατούμενος, ἔβαλεν ἑαυτὸν εἰς ποταμὸν Ἀλιάκμονα, ὃς ἀπ' αὐτοῦ Ἴναχος μετωνομάσθη.

II. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, Κύουρα καλουμένη, πηγάνῳ προσόμοιος· ἣν αἱ γυναῖκες, ὅταν ὑστερήσωσιν ἐκτρῶσαι θελήσωσιν, ἐν οἴνῳ βιβρωγμένην τοῖς ἐμβρύοις ἐποτισθίασιν.

III. Εὑρίσκεται δ' ἐν αὐτῷ καὶ λίθος, Βηρύλλῳ παρόμοιος· ὃν ἐὰν κρατήσωσιν οἱ ψευδομαρτυρεῖν ἐθέλοντες, μέλας γίνεται. κεῖνται δὲ πολλοὶ ἐν τῷ τεμένει τῆς Προσυμναίας Ἥρας· καθὼς ἱστορεῖ Τιμόθεος ἐν τοῖς Ἀργολικοῖς· μέμνηται δὲ τούτων καὶ Ἀγάθων ὁ Σάμιος ἐν β' περὶ Ποταμῶν. Ἀγαθοκλῆς δὲ Μιλήσιος ἐν τοῖς περὶ Ποταμῶν φησὶ, τὸν Ἴναχον διὰ πανουργίαν ὑπὸ τοῦ Διὸς κεραυνωθέντα, ξηρὸν γενέσθαι.

IV. Παράκεινται δ' αὐτῷ ὄρη, Μυκῆναί τε, καὶ Ἀπαίσαντος, καὶ Κοκκύγιον, καὶ Ἀθηναῖον, τὰς προσηγορίας εἰληφότα διὰ τοιαύτην αἰτίαν. τὸ μὲν Ἀπαίσαντον ἐκαλεῖτο πρότερον Σεληναῖον. Ἥρα γὰρ, παρ' Ἡρακλέους δίκας βουλομένη λαβεῖν, συνεργὸν παρέλαβε τὴν Σελήνην· ἡ δ' ἐπῳδαῖς χρησαμένη μάγοις, ἀφροῦ κίστην ἐπλήρωσεν, ἐξ ἧς γεννηθέντα λέοντα μέγιστον Ἶρις ταῖς ἰδίαις ζώναις ἐπισφίγξασα, κατήνεγκεν εἰς ὄρος Ὀφέλτιον· ὁ δὲ ποιμένα τινὰ τῶν ἐγχωρίων, Ἀπαίσαντον, σπαράξας ἀνεῖλεν· κατὰ δὲ θεῶν πρόνοιαν ὁ τόπος Ἀπαίσαντος ἀπ' αὐτοῦ μετωνομάσθη· καθὼς ἱστορεῖ Δημόδοκος ἐν α' Ἡρακλείας.

V. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, Σελήνη καλουμένη· τὸν δὲ καταφερόμενον ἀπ' αὐτῆς ἀφρὸν, περὶ τὴν ἀρχὴν τοῦ θέρους οἱ ποιμένες αἴροντες ἀλείφουσι τοὺς πόδας, καὶ οὐδὲν ὑπὸ τῶν ἑρπετῶν ἀδικοῦνται.

VI. Μυκῆναι δ' ἐκαλοῦντο τὸ πρότερον Ἄργιον, ἀπ' Ἄργου τοῦ πανόπτου· μετωνομάσθη δὲ Μυκῆναι δι' αἰτίαν τοιαύτην. Περσέως Μέδουσαν ἀποκτείναντος, Σθενὼ καὶ Εὐρυάλη, ὡς τῆς προειρημένης ἀδελφαὶ τῆς πεφονευμένης, τὸν ἐπίβουλον ἐπεδίωκον· γενόμεναι δὲ κατὰ τοῦτον τὸν λόφον, καὶ ἀπελπίσασαι τῆς συλλήψεως, διὰ τὴν συμπάθειαν μυκηθμὸν ἀνέδωκαν· οἱ δ' ἐγχώριοι τὴν ἀκρώρειαν ἀπὸ τοῦ συγκυρήματος Μυκήνας μετωνόμασαν· καθὼς ἱστορεῖ Κτησίας Ἐφέσιος ἐν α' Περσηΐδος.

VII. Χρύσερμος δὲ ὁ Κορίνθιος ἐν α' Πελοποννησιακῶν ἱστορίας μέμνηται τοιαύτης. Περσέως φερομένου μετεώρου, καὶ κατὰ τὸν λόφον γενομένου τοῦτον

ἐξέπεσεν αὐτοῦ τῆς λαβῆς τοῦ ξίφους ὁ μύκης. Γοργοφονος δὲ, ὁ βασιλεὺς Ἐπιδαυρίων, ἐκπεσὼν τῆς ἀρχῆς, ἔλαβε χρησμὸν, ἐμπεριελθεῖν τὰς Ἀργολικὰς πόλεις, καὶ ὅπου ἂν εὕρῃ ξίφους μύκητα, ἐκεῖ κτίσαι πόλιν. γενόμενος δὲ κατὰ τὸ Ἄργιον ὄρος, καὶ εὑρὼν τὴν ἐλεφαντίνην λαβὴν, πόλιν ἔκτισεν, ἣν ἀπὸ τοῦ συγκυρήματος προσηγόρευσε Μυκήνας.

VIII. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος, Κορύβας καλούμενος, τῇ χρόᾳ κόρακος· ὃν ἐὰν εὕρῃς καὶ ἔχῃς ἐν τῷ σώματι περικείμενον, κατ' οὐδὲν φοβῇ τὰς τεραπώδεις ὄψεις.*

IX. *Τὸ δ' ὄρος, Ἀπαίσαντος τοῦ Ἀκρισίου. κυνηγετῶν γὰρ κατ' ἐκεῖνον τὸν τόπον, καὶ πατήσας ἑρπετὸν δηλητήριον, ἐτελεύτησεν· ὁ δὲ βασιλεὺς τὸν υἱὸν θάψας, λόφον Ἀπαίσαντον μετωνόμασε, καλούμενον Σελινούντιον.*

X. *Ὄρος δὲ Κοκκύγιον διωνομάσθη δι' αἰτίαν τοιαύτην. Ζεὺς, Ἥρας τῆς ἀδελφῆς ἐρασθεὶς, καὶ δυσωπούμενος τὴν ἀγαπωμένην, ἐγέννησεν ἐξ αὐτῆς ἄρρενα· τὸ γ' οὖν καλούμενον ὄρος Δυκήϊον, ἀπὸ τοῦ συγκυρήματος Κοκκύγιον ὠνομάσθη· καθὼς ἱστορεῖ Ἀγαθώνυμος ἐν Περσίδι.*

XI. *Φύεται δ' ἐν αὐτῷ δένδρον, Παλίνουρος καλούμενον· ἐφ' ᾧ ἄν τι καθίσῃ τῶν ἀλόγων ζώων, ὡς ὑπ' ἰξοῦ κατέχεται, πάρεξ κόκκυγος· τούτου γὰρ φείδεται· καθὼς Κτησιφῶν ἐν α' περὶ Δένδρων.*

XII. *Ἀθηναῖον δ' ὄρος ἔλαβε τὴν προσηγορίαν ἀπ' Ἀθηνᾶς. μετὰ γὰρ τὴν τοῦ Ἴλιου πόρθησιν, Διομήδης, εἰς Ἄργος ὑποστρέψας, εἰς τὸν Κεραίνιον ἀνέβη λόφον, καὶ τέμενος Ἀθηνᾶς κατασκευάσας, τὸ ὄρος ἀπὸ τῆς θεᾶς Ἀθηναῖον μετωνόμασε.*

XIII. *Γεννᾶται δ' ἐν τῇ ἀκρωρείᾳ ῥίζα, παρόμοιος τηγάνῳ· ἣν ἐὰν γυνὴ φάγῃ τις κατ' ἄγνοιαν, ἐμμανὴς γίνεται· καλεῖται δ' Ἀθράστεια· καθὼς ἱστορεῖ Πλησίμαχος ἐν β' Νόστων.*

XIX.

Ἀλφειός.

I. Ἀλφειὸς ποταμός ἐστι τῆς Ἀρκαδίας, κατὰ Πίσαν τῆς Ὀλυμπίας· ἐκαλεῖτο δὲ τὸ πρότερον Στύμφηλος, ἀπὸ Στυμφήλου, τοῦ Ἄρεως καὶ Δορμοθέας παιδός. οὗτος γὰρ τὸν Φίλιππον τὸν υἱὸν Ἀλκμαίωνα ἀποβαλών, καὶ ἀθυμίᾳ συσχεθείς, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Νύκτιμον· ὃς καὶ ἀπ' αὐτοῦ Στύμφηλος μετωνομάσθη. Ἀλφειὸς δ' ἐκλήθη δι' αἰτίαν τοιαύτην. Ἀλφειὸς, εἷς τῶν τὸ γένος ἀφ' Ἥλιου καταγαγόντων, ἀμιλληθεὶς Κερκάφῳ, τῷ ἀδελφῷ, περὶ ἀρετῆς, ἀνεῖλε τὸν εἰρημένον, καὶ ὑπὸ ποιμένων ἐλαυνόμενος, ἔβαλεν ἑαυτὸν εἰς ποταμὸν Νύκτιμον· ὃς καὶ ἀπ' αὐτοῦ Ἀλφειὸς μετωνομάσθη.

II. Γεννᾶται δ' ἐν τῷ ποταμῷ τούτῳ βοτάνη, Λαγχίτις προσαγορευομένη, μελικήρῳ παρόμοιος· ἣν οἱ ἰατροὶ καθέψοντες, μετὰ διδόασι τοῖς ἀπηλλοτριωμένας ἔχουσι τὰς φρένας, καὶ ἀπαλλάττουσιν αὐτοὺς τῆς μανίας· καθὼς ἱστορεῖ Κτησίας ἐν α' περὶ Ποταμῶν.

III. Παράκειται δ' ὄρος, Κρόνιον καλούμενον, ἀπ' αἰτίας τοιαύτης. μετὰ τὴν Γιγαντομαχίαν Κρόνος, τὰς Διὸς ἀπειλὰς ἐκκλίνων, εἰς ὄρος παρεγένετο Κτοῦρον, ὃν ἀπ' αὐτοῦ Κρόνιον μετωνόμασεν· λαθὼν δὲ πρὸς ὀλίγον καιρὸν, καὶ ἀφορμῆς ὀρεξάμενος, διῆρεν εἰς Καύκασον τῆς Σκυθίας.

IV. Γεννᾶται δ' ἐν τῷ ὄρει τούτῳ Κύλινδρος καλούμενος λίθος ἀπὸ τοῦ συγκυρήματος· ὁσάκις γὰρ ἂν ἀστράψῃ Ζεὺς ἢ βροντήσῃ, τασαυτάκις ἀπὸ τῆς ἀκρωρείας διὰ φόβον κυλίεται· καθὼς ἱστορεῖ Δίφυλλος ἐν α' περὶ Λίθων.

XX.

Εὐφράτης.

I. Εὐφράτης ποταμός ἐστι τῆς Παρθίας, κατὰ Βαβυλῶνα πόλιν· ἐκαλεῖτο δὲ τὸ πρότερον Μῆδος ἀπὸ Μήδου, τοῦ Ἀρταξέρξου παιδός. οὗτος γὰρ δι' ἐπιθυμίαν τὴν Κορδύου θυγατέρα βιασάμενος, Ρωξάνην, διέφθειρε· τῇ δ' ἐπιούσῃ τῶν ἡμερῶν ζητούμενος ὑπὸ

τοῦ βασιλέως πρὸς κόλασιν, καὶ φόβῳ συσχεθεὶς ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν Ζαράνδων· ὃς ἀπ' αὐτοῦ Μῆδος ὠνομάσθη. προσηγορεύθη δ' Εὐφράτης δὲ αἰτίαν τοιαύτην. Εὐφράτης, Ἀρανδάκου παῖς, τὸν υἱὸν Ἄξούρταν εὑρὼν μετὰ τῆς μητρὸς ἀναπαυόμενον, καὶ ὑπολαβὼν ὑπάρχειν τῶν πολιτῶν τινα, διὰ ζήλου μισοπονηρίαν, σπασάμενος τὸ ξίφος, ἐλαιμοτόμησεν αὐτόν· τῆς δ' ἀνελπίστου πράξεως γενόμενος αἴτιος, διὰ λύπης ὑπερβολὴν ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν Μῆδον· ὃς ἀπ' αὐτοῦ Εὐφράτης μετωνομάσθη.

II. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος, Ἀστιγὴς καλούμενος· ὃν αἱ μᾶλαι ταῖς δυστοκούσαις ἐπὶ τὰς γαστέρας ἐπιτιθέασι, καὶ παραχρῆμα τίκτρυσιν ἄτερ ἀλγηδόνος.*

III. *Γεννᾶται δ' ἐν αὐτῷ καὶ βοτάνη, Ἔξαλλα καλουμένη, μεθερμηνευομένη Θερμόν· ταύτην οἱ τεταρταῖζοντες, ὅταν ἐπὶ τοῦ στήθους θῶσιν, ἀπαλλάττονται παραχρῆμα τῆς ἐπισημασίας· καθὼς ἱστορεῖ Χρύσερμος Κορίνθιος ἐν ιγ' περὶ Ποταμῶν.*

IV. *Παράκειται δ' αὐτῷ ὄρος, Δρίμυλλον καλούμενον· ἐν ᾧ γεννᾶται λίθος, Σαρδώνυχι παρόμοιος, ᾧ οἱ βασιλεῖς ἐν ταῖς βασιλείαις χρῶνται· ποιεῖ δ' ἄριστα πρὸς ἀμβλυωπίαν εἰς ὕδωρ θερμὸν βαλλόμενος· καθὼς ἱστορεῖ Νικίας ὁ Μαλλώτης ἐν τοῖς περὶ Λίθων.*

XXI.

Κάϊκος.

I. *Κάϊκος ποταμὸς τῆς Μυσίας· ἐκαλεῖτο δὲ τὸ πρότερον Ἀστραῖος ἀπ' Ἀστραίου τοῦ Ποσειδῶνος. οὗτος γὰρ, παννυχίδος Ἀθηνᾷ τελουμένης, Ἀλκίππην τὴν ἀδελφὴν καὶ ἄγνοιαν βιασάμενος ἔφθειρε, καὶ ἀφείλετο τῆς προειρημένης τὸν δακτύλιον. τῇ δ' ἐπιούσῃ τῶν ἡμερῶν ἐπιγνοὺς τὴν σφραγῖδα τῆς ὁμαίμου, διὰ λύπης ὑπερβολὴν ἔβαλεν ἑαυτὸν εἰς ποταμὸν Ἄδουρον, ὃς ἀπ' αὐτοῦ Ἀστραῖος μετωνομάσθη· προσηγορεύθη δὲ Κάϊκος δὲ αἰτίαν τοιαύτην. Κάϊκος, Ἑρμοῦ καὶ Ὠκυρόης παῖς νύμφης, Τίμανδρον, ἵνα τῶν εὐγενῶν, φονεύσας, καὶ τοὺς προσήκοντας αὐτῷ φοβούμενος, ἑαυ-*

τὴν ἐῤῥίψεν εἰς τον Παυραῖον· ὃς ἀπ' αὐτοῦ Κάϊ
μετωνομάσθη.

II. Γεννᾶται δ' ἐν τῷ ποταμῷ μήκων, ἔχων ἀ
καρποῦ λίθον· ἐκ τούτων μέλανά τινα τυγχάνει πα
μοια λύραις, ἅπερ οἱ Μυσοὶ ῥιπτοῦσιν εἰς ἠροτριω
νην χώραν· κἂν μὲν ἀφορία μέλλῃ γίνεσθαι, μένει
τόπῳ τὸ βληθέν· ἐὰν δ' εὐκαρπίαν σημαίνῃ, τὰ λιθ
ρια δίκην ἀκρίδων ἅλλεται.

III. Φύεται δὲ καὶ βοτάνη, Ἠλιφάρμακον καλου
νη, ἣν οἱ ἰατροὶ ταῖς αἱμοῤῥοούσαις τιθέασι, καὶ τ
φλεβῶν μεσολαβοῦσι τὴν ἔκκρισιν· καθὼς ἱστορεῖ
μαγόρας ἐν α' περὶ Ποταμῶν.

IV. Παράκειται δ' αὐτῷ ὄρος Τεύθρας ἀπὸ Τ
θραντος, τοῦ Μυσῶν βασιλέως· ὃς κυνηγεσίας χά
εἰς Θράσυλλον ὄρος ἀναβὰς, καὶ θεασάμενος ὑπερμε
θη κάπρον, ἐδίωκεν αὐτὸν μετὰ τῶν δορυφόρων· ὁ
φθάσας κατέφυγεν ὡς ἱκέτης εἰς τὸ τῆς Ὀρθωσίας
τέμιδος ἱερόν· βιαζομένων δὲ πάντων εἰς τὸν ναὸν
ελθεῖν, ὁ σῦς ἀνθρωπίνῃ φωνῇ χρησάμενος ἐξάκου
ἀνέκραγεν· Φεῖσαι, βασιλεῦ, τοῦ θρέμματος τῆς θε
μετεωρισθεὶς δὲ Τεύθρας ἀνεῖλε τὸ ζῶον. Ἀρτε
δὲ μισοπονήρως ἐνεγκοῦσα τὴν πρᾶξιν, τὸν μὲν κάπ
ἀνεζωπύρησε· τῷ δὲ παραιτίῳ τοῦ συγκυρήματος
φὸν μετὰ μανίας ἔπεμψε. δυςωπούμενος δὲ τὸ πάθ
ἐν ταῖς ἀκρωρείαις διέτριβε. Λυσίππη δὲ, τοῦ προ
ρημένου μήτηρ, κατηχηθεῖσα περὶ τῶν συμβεβηκότ
εἰς τὴν ὕλην ἔδραμε, συνεπισπωμένη μάντιν τὸν Κυ
νου Πολύϊδον· παρ' οὗ πᾶσαν πολυπραγμονήσασα
ἀλήθειαν, βουθυσίαις τῆς θεᾶς ἐξιλάσατο τὴν μι
πονηρίαν· καὶ ἀπολαβοῦσα τὸν υἱὸν σωφρονοῦντα, β
μὸν ἱδρύσατο Ἀρτέμιδος Ὀρθωσίας· κατεσκεύασε
καὶ κάπρον χρύσεον, προτομὴν ἀνθρώπου ἠσκημέν
οὗτος μέχρι νῦν διωκόμενος ὑπὸ κυνηγῶν, εἰςελθὼν
τὸν ναὸν, φωνὴν ἀναδίδωσιν ἰδέσθαι. Τεύθρας
παρ' ἐλπίδα τὴν ἀρχέτυπον μορφὴν ἀναλαβὼν, τὸ ὄ
μετωνόμασε Τεύθραντα.

V. Γεννᾶται δ' ἐν αὐτῷ λίθος, Ἀντιπαθὴς

μενος· ὃς κάλλιστα ποιεῖ πρὸς ἀλφοὺς καὶ λέπρας δι' οἴνου τριβόμενος· καθὼς ἱστορεῖ Κτησίας Κνίδιος ἐν β' περὶ Ὀρῶν.

XXII.

Ἀχελῶος.

I. Ἀχελῶος ποταμός ἐστι τῆς Αἰτωλίας· ἐκαλεῖτο δὲ πρότερον Θέστιος δι' αἰτίαν τοιαύτην. Θέστιος, Ἄρεως καὶ Πεισιδίκης παῖς, διά τινα περίστασιν οἰκειακὴν ἀποδημήσας εἰς Σικυῶνα, καὶ ἱκανὸν χρόνον διατρίψας, ὑπέστρεψεν εἰς τὸ πατρῷον ἔδαφος· εὑρὼν δὲ τὸν υἱὸν Καλυδῶνα μετὰ τῆς μητρὸς ἀναπαυόμενον, καὶ μοιχὸν εἶναι δόξας, κατ' ἄγνοιαν ἐγονοκτόνησε· τῆς δ' ἀνελπίστου πράξεως αὐτόπτης γενόμενος, ἑαυτὸν ἔῤῥιψεν εἰς ποταμὸν Ἄξενον· ὃς ἀπ' αὐτοῦ Θέστιος μετωνομάσθη. προςηγορεύθη δ' Ἀχελῶος ἀπὸ τοιαύτης αἰτίας. Ἀχελῶος, Ὠκεανοῦ καὶ Ναΐδος νύμφης παῖς, τῇ θυγατρὶ Κληστορίᾳ κατ' ἄγνοιαν συνερχόμενος, καὶ ἀθυμίᾳ συσχεθεὶς, ἑαυτὸν ἔβαλεν εἰς ποταμὸν Θέστιον· ὃς ἀπ' αὐτοῦ Ἀχελῶος μετωνομάσθη.

II. Γεννᾶται δ' ἐν τῷ ποταμῷ τούτῳ βοτάνη, Ζάλον καλουμένη, παρόμοιος ἐρίῳ. ταύτην τρίψας ἂν εἰς οἶνον βάλῃς, ὕδωρ γίνεται, καὶ τὴν μὲν ὀσμὴν ἔχει, ἣν δὲ δύναμιν οὐκ ἔχει.

III. Εὑρίσκεται δὲ καὶ λίθος πελιδνὸς τῷ χρώματι, Λικουργὸς καλούμενος ἀπὸ τοῦ συγκυρήματος· ἐὰν γὰρ βάλῃς αὐτὸν εἰς ὀθόνιον, δι' ἔρωτος ἕνωσιν, τὸ χῆμα λαμβάνει, καὶ ἄργιον γίνεται· καθὼς ἱστορεῖ Ἀντισθένης ἐν γ' Μελεαγρίδος. μέμνηται δὲ τούτων κριβέστερον Διοκλῆς ὁ Ῥόδιος ἐν τοῖς Αἰτωλικοῖς.

IV. Παράκειται δ' αὐτῷ ὄρος, Καλυδὼν καλούμενον, την προςηγορίαν εἰληφὸς ἀπὸ Καλυδῶνος, τοῦ Ἄρεως καὶ Ἀστυνόμης παιδός. οὗτος γὰρ κατ' ἄγνοιαν ὀνομένην ἰδὼν Ἄρτεμιν, τὴν μορφὴν τοῦ σώματος μεμέβαλεν εἰς πέτραν· κατὰ δὲ πρόνοιαν θεῶν τὸ ὄρος καλούμενον Γυρὸν, ἀπ' αὐτοῦ Καλυδὼν μετωνομάσθη.

V. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη ἡ Μύωψ προςαγορευομένη· ἣν ἐάν τις εἰς ὕδωρ βαλὼν, νίψηται τὴν

πρόσωπον, ἀποβάλλει τὴν ὄρασιν, Ἄρτεμιν δ' ἱ
μενος ἀναπτᾶται τὸ φῶς· καθὼς ἱστορεῖ Δι
ἐν γ' Αἰτωλικῶν.

XXIII.

Ἀ ρ ά ξ η ς.

I. Ἀράξης ποταμός ἐστι τῆς Ἀρμενίας, τὴν
γορίων εἰληφὼς ἀπ' Ἀράξου τοῦ Πύλου. οὗτος
Ἀρβηλον τὸν πάππον ὑπὲρ σκήπτρων ἀμιλλώμε
τὸν πατετόξευσε· ποινηλατούμενος δὲ ὑπ' Ἔ
ἑαυτὸν ἔῤῥιψεν εἰς ποταμὸν Βάκτρον· ὃς ἀπ
Ἀράξης μετωνομάσθη, καθὼς ἱστορεῖ Κτησιφ
Περσικῶν. Ἀράξης, Ἀρμενίων βασιλεὺς, π
πλησιοχώρους Πέρσας πόλεμον ἔχων, καὶ τῆς
ξεως παρελκομένης, χρησμὸν ἔλαβεν, αὐτὸν
τῆς νίκης ἐγκρατῆ, ἐὰν θεοῖς ἀποτροπαίοις θ
τὰς εὐγενεστάτας παρθένους. Ὁ δὲ διὰ φι
εὐνοιαν, τῶν ἰδίων θυγατέρων φεισάμενος,
ὑποτεταγμένων κόρας περιβλέπτους τοῖς βωμ
ἀγων ἀνεῖλε. Μηνάλκης δὲ, ὁ τῶν φονευθε
τὴρ, βαρέως ἤνεγκε τὴν πρᾶξιν, πρὸς καιρὸν σι
ὕβριν· ἀφορμῆς δὲ δραξάμενος, ἐξ ἐνέδρας
τυράννου θυγατέρας ἀπέκτεινε· καὶ καταλιπὼ
τρῷον ἔδαφος, εἰς Σκυθίαν ἔπλευσεν. Ἀράξη
τῶν συμβεβηκότων κατηχηθεὶς καὶ ἀθυμίᾳ συ
ἑαυτὸν ἔῤῥιψεν εἰς ποταμὸν Ἅλμον· ὃς ἀπ' αὐτ
ξης μετωνομάσθη.

II. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, Ἀράξα κα
τῇ διαλέκτῳ τῶν ἐγχωρίων, ἥτις μεθερμηνευο
γεται μισοπάρθενος· ἅμα γὰρ εὑρεθῆναι τὴ
ρημένην ὑπὸ παρθένων, αἵματος ποιησαμένη
ρὸν μαραίνεται.

III. Καὶ λίθος δὲ γεννᾶται, Σκυθικὸς καλ
μελάγχρους. οὗτος ὅταν τις χρησμὸς ἀνθρω
ἐμπέσῃ, τοῖς βωμοῖς τῶν ἀποτροπαίων θεῶν ὑ
ἐπιτίθεται παρθένων. τοῦ δὲ ἱερείου αὐτοῦ
ρᾳ θύοντος, αἵματος ἐκλυσις γίνεται θαυ
τούτῳ τῷ χρόνῳ τὴν δεισιδαιμονίαν τελ

ὁλολυγμῶν ἀναχωροῦσι, τὸν λίθον πρὸς τὸν ναὸν προσενέγκαντες· καθὼς ἱστορεῖ Δωρόθεος ὁ Χαλδαῖος ἐν β' περὶ Λίθων.

IV. Παράκειται δ' αὐτῷ ὄρος, Λίορφον καλούμενον ἀπὸ Λιόρφου τοῦ γηγενοῦς, περὶ οὗ φέρεται ἱστορία τοιαύτη. Μίθρας, υἱὸν ἴσχειν βουλόμενος, καὶ τὸ τῶν γυναικῶν γένος μισῶν, πέτρᾳ τινὶ προσξέθρεψεν. ἔγκυος δὲ ὁ λίθος γενόμενος, μετὰ τοὺς ὡρισμένους χρόνους ἐνέδωκε νέον, τοὔνομα Λίορφον· ὃς ἀκμάσας, καὶ εἰς ἄμιλλαν ἀρετῆς τὸν Ἄρη προκαλεσάμενος ἀνῃρέθη· οὗτος κατὰ πρόνοιαν θεῶν εἰς ὁμώνυμον ὄρος μετεμορφώθη.

V. Γεννᾶται δ' ἐν αὐτῷ δένδρον, ῥοιᾷ παραπλήσιον, καρπὸν δ' ἄφθονον τρέφει μήλων, τὴν γεῦσιν ἔχοντα σταφυλῇ παρόμοιον. ἐκ ταύτης τῆς ὀπώρας πέπειρον ἐάν τις καθέλῃ ὀνομάσῃ τὸν Ἄρη, γίνεται κρατούμενος χλωρός· καθὼς ἱστορεῖ Κτησιφῶν ἐν ιγ περὶ Δένδρων.

XXIV.

Τ ί γ ρ ι ς.

1. Τίγρις ποταμός ἐστι τῆς Ἀρμενίας, τὸν ῥοῦν καταφέρων εἰς τε τὸν Ἀράξην καὶ τὴν Ἀρσακίδα λίμνην· ἐκαλεῖτο δὲ τὸ πρότερον Σόλλαξ, ὅπερ μεθερμηνευόμενόν ἐστι κατωφερής· ὠνομάσθη δὲ Τίγρις δι' αἰτίαν τοιαύτην. Διόνυσος κατὰ πρόνοιαν Ἥρας ἐμμανὴς γενόμενος, περιήρχετο γῆν τε καὶ θάλατταν, ἀπαλλαγῆναι τοῦ πάθους θέλων· γενόμενος δ' ἐν τοῖς κατ' Ἀρμενίαν τόποις, καὶ τὸν προειρημένον ποταμὸν διελθεῖν μὴ δυνάμενος, ἐπεκαλέσατο τὸν Δία· γενόμενος δ' ἐπήκοος ὁ θεὸς, ἔπεμψεν αὐτῷ Τίγριν, ἐφ' ἧς ἀκινδύνως προσενεχθεὶς, εἰς τιμὴν τῶν συμβεβηκότων τὸν ποταμὸν Τίγριν μετωνόμασε· καθὼς ἱστορεῖ Θεόφιλος ἐν α' περὶ Λίθων. Ἑρμησιάναξ δὲ ὁ Κύπριος [illegible] γίας μέμνηται τοιαύτης. Διόνυσος ἐρασθεὶς [illegible] βολας νύμφης, καὶ μήτε δώροις, μήτε [illegible] δυνάμενος, εἰς τὴν προειρημένην Τίγριν [illegible] ωρφὴν τοῦ σώματος· καὶ φόβῳ πείσας [illegible]

την, ἀνέλαβεν αὐτήν· καὶ διὰ τοῦ ποταμοῦ κα
ἐγέννησεν υἱὸν Μῆδον· ὃς ἀκμάσας εἰς τιμὴν τ
κυρήματος, τὸν ποταμὸν Τίγριν μετωνόμασε·
ἱστορεῖ Ἀριστώνυμος ἐν γ'.

II. Γεννᾶται δ' ἐν αὐτῷ λίθος, Μυνδὰν κα
νος, πάνυ λευκός· ὃν ἐὰν κατέχῃ τις, οὐδὲν ὑπὸ
ἀδικεῖται· καθὼς ἱστορεῖ Λέων ὁ Βυζάντιος ἐν
Ποταμῶν.

III. Παράκειται δ' αὐτῷ ὄρος, Γαυρὰν κα
νον, ἀπὸ Γαυρὰν τοῦ Ῥωξάνους σατράπου· ὃς
ὢν πρὸς τοὺς θεοὺς, τῆς ἀμοιβαίας ἔτυχε χάριτ
νος ἐκ πάντων τῶν Περσῶν τριακοσίοις ἐτεσὶ
καὶ ἅτερ νόσου τινὸς τελευτήσας, ἐν ταῖς ἀκρ
τοῦ Γαυράνου ταφῆς ἠξιώθη πολυτελοῦς·
πρόνοιαν θεῶν τὸ ὄρος ἀπ' αὐτοῦ Μαυσωρὸν
μάσθη.

IV. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, ἣ κρι
παρόμοιος ἀγρίᾳ· ταύτην οἱ ἐγχώριοι θερμα
ἐλαίῳ καταλειφόμενοι, οὐδέποτε νοσοῦσι μέχρι
τοῦ θανάτου· καθὼς ἱστορεῖ Σώστρατος ἐν ἀ
κῆς Ἱστορίας Συναγωγῆς.

XXV.

Ἰ ν δ ό ς.

I. Ἰνδὸς ποταμός ἐστι τῆς Ἰνδίας, ῥοίζῳ
καταφερόμενος εἰς τὴν τῶν Ἰχθυοφάγων γῆν·
δὲ πρότερον Μαυσωλὸς, ἀπὸ Μαυσωλοῦ τοῦ
μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Τοῦ Δ
μυστηρίων τελουμένων, καὶ τῶν ἐγχωρίων τῇ δ
μονίᾳ προσευκαιρούντων, Ἰνδὸς, τῶν ἐπισήμ
τὴν Ὀξυάλκου τοῦ βασιλέως θυγατέρα, Δαμ
δον, κανηφοροῦσαν βιασάμενος ἔφθειρε· ζητ
δὲ ὑπὸ τοῦ τυράννου πρὸς κόλασιν, διὰ φόβο
ἔβαλεν εἰς ποταμὸν Μαυσωλόν· ὃς ἀπ' αὐτο
μετωνομάσθη.

II. Γεννᾶται δ' ἐν αὐτῷ λίθος [illegible]
ὃν ὅταν φορῶσιν αἱ παρθένοι, κατ' [illegible]
φθορέας φοβοῦνται.

III. *Φύεται δὲ καὶ βοτάνη, Καρπύκη καλουμένη, Βουγλώσσῳ παρόμοιος· ποιεῖ δ' ἄριστα πρὸς ἰκτεριποὺς μεθ' ὕδατος χλιαροῦ διδομένη τοῖς πάσχουσι· καθὼς ἱστορεῖ Κλειτοφῶν ὁ Ῥίδιος ἐν ι' Ἰνδικῶν.*

IV. *Παράκειται δ' αὐτῷ ὄρος, Λιλαῖον προσαγορευόμενον, ἀπὸ Λιλαίου ποιμένος. οὗτος γὰρ δεισιδαίμων ὑπάρχων, καὶ μόνος σεβόμενος τὴν Σελήνην, νυκτὸς βαθείας ἐκτελεῖ τὰ μυστήρια τῆς προειρημένης. βαρέως δὲ οἱ λοιποὶ θεοὶ ἀτιμίαν φέροντες, ἔπεμψαν αὐτῷ δύο λέοντας ὑπερμεγέθεις· ὑφ' ὧν διασπαραχθεὶς τὸν βίον ἐξέλιπε. Σελήνη δὲ τὸν εὐεργέτην μετέβαλεν εἰς ὁμώνυμον ὄρος.*

V. *Γεννᾶται δ' ἐν αὐτῷ λίθος, Κλιτορὶς ὀνομαζόμενος· ἔστι δὲ λίαν μελάγχρους· ὃν κόσμου χάριν οἱ ἐγχώριοι φοροῦσιν ἐν τοῖς Σωτηρίοις, καθὼς ἱστορεῖ Ἀριστοτέλης ἐν δ' περὶ Ποταμῶν.*

ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ
ΚΑΙ
ΤΗΣ ΠΟΙΗΣΕΩΣ ΟΜΗΡΟΥ.
Α.

I. *Περιττὸν ἴσως δόξειέ τισι πολυπραγμονεῖν περὶ Ὁμήρου, ποίων τε ἦν γονέων, καὶ ποθεν· ἐπεὶ μηδ' αὐτὸς ἠξίωσεν εἰπεῖν περὶ αὐτοῦ, ἀλλ' οὕτως ἐγκρατῶς ἔσχεν ὡς μηδὲ τὴν ἀρχὴν τοῦ ὀνόματος ἐπιμνησθῆναι. ἐπεὶ δὲ ὡς πρὸς εἰσαγωγὴν τῶν ἀρχομένων παιδεύεσθαι χρήσιμος ἡ πολυπειρία, πειρασόμεθα εἰπεῖν ὅσα ἱστόρηται τοῖς παλαιοῖς περὶ αὐτοῦ.*

II. *Ἔφορος μὲν οὖν ὁ Κυμαῖος ἐν συντάγματι τῷ ἐπιγραφομένῳ Ἐπιχωρίῳ, Κυμαῖον αὐτὸν [illegible] ναι πειρώμενος, φησὶν ὅτι Ἀτελλῆς καὶ Μυ[illegible]*



πεκτημένος ἤδη, ἐπηρώτα τὸν θεὸν, τίνων τε εἴη γονέων καὶ πόθεν· ὁ δὲ ἀνεῖλεν οὕτως,

Ἔστιν Ἴος νῆσος μητρὸς πατρὶς ἥ σε θανόντα
Δέξεται· ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι.

φέρεται καὶ ἕτερος χρησμὸς τοιοῦτος·

Ὄλβιε καὶ δύσδαιμον· ἔφυς γὰρ ἐπ' ἀμφοτέροιυι·
Πατρίδα δ' ζητεῖς· μητρὸς δέ τοι, οὐ πατρός ἐστι,
Μητρόπολις ἐν νήσῳ ἀπὸ Κρήτης εὐρείης,
Μίνωος γαίης οὔτε σχεδὸν οὔτ' ἀπὸ τηλοῦ.
Ἐν τῇ σὴ μοῖρ' ἐστι τελευτῆσαι βιότοιο,
Εὖτ' ἂν ἀπὸ γλώττης παίδων μὴ γνῷς ἐπακουσας
Δυσξύνετον σκολιοῖσι λόγοις εἰρημένον ὔμνον.
Δοιὰς γὰρ ζωῆς μοίρας λάχες, ἣν μὲν ἀμαυρὰν
Ἡελίδων ὅσσων· ἣν δ' ἀθανάτοις ἰσόμοιρον,
Καὶ ζῶν καὶ φθίμενος· φθίμενος δ' ἔτι πολλὸν ἀγῆρως.

μετ' οὐ πολὺν χρόνον πλέων ἐς Θήβας ἐπὶ τὰ Κρόνια· ἀγὼν δὲ οὗτος ἄγεται παρ' αὐτοῖς μουσικος· ἦλθεν ἐς Ἴον· ἔνθα ἐπὶ πέτρας καθεζόμενος ἐθεάσατο ἁλιεῖς προςπλέοντας, ὧν ἐπυνθάνετο εἴ τι ἔχοιεν. οἱ δὲ, ἐπὶ τῷ θηράσαι μὲν μηδὲν, φθειριζεσθαι δὲ διὰ τὴν ἀπορίαν τῆς θήρας, οὕτως ἀπεκρίναντο·

Ὅσσ' ἕλομεν, λιπόμεσθα· ὅσσ' οὐχ ἕλομεν, φερόμεσθα.

αἰνισσόμενοι ὡς ἄρα οὓς μὲν ἔλαβον τῶν φθειρῶν, ἀποκτείναντες κατέλιπον· οὓς δ' οὐκ ἔλαβον, ἐν τῇ ἐσθῆτι φέροιεν. ὅπερ οὐ δυνηθεὶς συμβαλεῖν Ὅμηρος, διὰ τὴν ἀθυμίαν ἐτελεύτησε, θάψαντες δὲ αὐτὸν οἱ Ἰῆται μεγαλοπρεπῶς τοιόνδε ἐπέγραψαν αὐτοῦ τῷ τάφῳ·

Ἐνθάδε τὴν ἱεραν κεφαλὴν κατὰ γαῖα καλύπτει
Ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

εἰσὶ δὲ οἱ καὶ Κολοφώνιον αὐτὸν ἀποδείκνυνται, μεγίστῳ τεκμηρίῳ χρώμενοι πρὸς ἀπόδειξιν, τῷ ἐπὶ τοῦ ἀνδριάν[redacted]γραμμένῳ ἐλεγείῳ· ἔχει δὲ οὕτως,

Ὅμηρε, σὺ γὰρ κλέος Κολ[redacted]
πάτρῃ θῆκας ἐν ἀθ[redacted]
ψυχῇ γεννήσαο πο[redacted]

ἀπὸ τῶν πολιτῶν ἐπὶ τῷ γεγονότι δ
ἔδωκεν αὐτὴν πρὸς γάμον Ψημίῳ τῷ
σκάλῳ γραμμάτων. φοιτῶσα δὲ αὐτ
οἳ ἦσαν παρὰ τῷ Μέλητι, ἀπεκύησε
τὸν ποταμὸν, καὶ διὰ τοῦτο Μελησιγ
τωνομάσθη δὲ Ὅμηρος, ἐπειδὴ τὰς
οὕτω δὲ ἐκάλουν οἵ τε Κυμαῖοι καὶ
ὄψεις πεπηρωμένους παρὰ τὸ δεῖσθ
των, ὅ ἐστι τῶν ἡγουμένων. ταῦτα μ

III. Ἀριστοτέλης δὲ ἐν τῷ τρίτῳ
ἐν Ἴῳ φησὶ τῇ νήσῳ, καθ' ὃν καιρὸν Ἰ
τῆς Ἰωνικῆς ἀποικίας ἡγεῖτο, κόρην
ρίων γενομένην ὑπό τινος δαίμονος τ
Μούσαις ἐγκώμονα, αἰδεσθεῖσαν τὸ
ὄγκον τῆς γαστρὸς, ἐλθεῖν εἴς τι χωρί
Αἴγιναν· εἰς ὃ καταδραμόντας λησταὶ
τὴν προειρημένην, καὶ ἀγαγόντας εἰ
ὑπὸ Λυδοῖς τότε, τῷ βασιλεῖ τῶν Λ
τοὔνομα Μαίονι χαρίσασθαι· τὸν δὲ
κόρην διὰ τὸ κάλλος, γῆμαι· ἣν δι

πεκτημένος ἤδη, ἐπηρώτα τὸν θεὸν, τίνων τε εἴη γονέων καὶ πόθεν· ὁ δὲ ἀνεῖλεν οὕτως,

Ἔστιν Ἰος νῆσος μητρὸς πατρὶς ἥ σε θανόντα
Δέξεται· ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι.

φέρεται καὶ ἕτερος χρησμὸς τοιοῦτος·

Ὄλβιε καὶ δύσδαιμον· ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι·
Πατρίδα δ' ζητεῖς· μητρὸς δέ τοι, οὐ πατρός ἐστι,
Μητρόπολις ἐν νήσῳ ἀπὸ Κρήτης εὐρείης,
Μίνωος γαίης οὔτε σχεδὸν οὔτ' ἀπὸ τηλοῦ.
Ἐν τῇ σὴ μοῖρ' ἐστὶ τελευτῆσαι βιότοιο,
Εὖτ' ἂν ἀπὸ γλώττης παίδων μὴ γνῷς ἐπακουσας
Δυσξύνετον σκολιοῖσι λόγοις εἰρημένον ὔμινον.
Δοιὰς γὰρ ζωῆς μοίρας λάχες, ἦν μὲν ἀμαυρὰν
Ἠελίδων ὅσσων· ἣν δ' ἀθανάτοις ἰσόμοιρον,
Καὶ ζῶν καὶ φθίμενος· φθίμενος δ' ἔτι πολλὸν ἀγῆρως.

μετ' οὐ πολὺν χρόνον πλέων ἐς Θήβας ἐπὶ τὰ Κρόνια· ἀγὼν δὲ οὗτος ἄγεται παρ' αὐτοῖς μουσικος· ἠλθεν ἐς Ἴον· ἔνθα ἐπὶ πέτρας καθεζόμενος ἐθεάσατο ἁλιεῖς προσπλέοντας, ὧν ἐπυνθάνετο εἴ τι ἔχοιεν. οἱ δὲ, ἐπὶ τῷ θηράσαι μὲν μηδὲν, φθειρίζεσθαι δὲ διὰ τὴν ἀπορίαν τῆς θήρας, οὕτως ἀπεκρίναντο·

Ὅσσ' ἕλομεν, λιπόμεσθα· ὅσσ' οὐχ ἕλομεν, φερόμεσθα.

αἰνισσόμενοι ὡς ἄρα οὓς μὲν ἕλαβον τῶν φθειρῶν, ἀποκτείναντες κατέλιπον· οὓς δ' οὐκ ἕλαβον, ἐν τῇ ἐσθῆτι φέροιεν. ὅπερ οὐ δυνηθεὶς συμβαλεῖν Ὅμηρος, διὰ τὴν ἀθυμίαν ἐτελεύτησε, θάψαντες δὲ αὐτὸν οἱ Ἰήται μεγαλοπρεπῶς τοιόνδε ἐπέγραψαν αὐτοῦ τῷ τάφῳ·

Ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
Ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

εἰσὶ δὲ οἱ καὶ Κολοφώνιον αὐτὸν ἀποδείκνυνται, μεγίστῳ τεκμηρίῳ χρώμενοι πρὸς ἀπόδειξιν, τῷ ἐπὶ τοῦ ἀνδριάντος ἐπιγεγραμμένῳ ἐλεγείῳ· ἔχει δὲ οὕτως,

Τὺ Μέλητος, Ὅμηρε, σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ,
Καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐν ἀθανάτοις·
Καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεννήσαο κοῦρας

Δισσὰς ἡμιθέων γραψάμενος σελίδας.
Ἴμνει δ' ἡ μὲν νόστον Ὀδυσσῆος πολύπλαγκτον
Ἡ δὲ τὸν Ἰλιακὸν Δαρδανιδῶν πόλεμον.

ἄξιον δὲ μηδὲ τὸ ὑπὸ τοῦ Ἀντιπάτρου γραφὲν ἐπίγραμ
μα παραλιπεῖν, ἔχον οὐκ ἄσμένως· ἔχει δὲ οὕτως·

Οἱ μὲν σεῦ Κολοφῶνα τιθηνήτειραν, Ὅμηρε,
Οἱ δὲ καλὰν Σμύρναν, οἱ δ' ἐνέπουσι Χίον·
Οἱ δ' Ἴον, οἱ δ' ἐβόασαν ἐϋπλαρον Σαλαμῖνα·
Οἱ δέ νυ τὰν Λαπιθῶν ματέρα Θεσσαλίαν·
Ἄλλοι δ' ἄλλο μέλαθρον ἀνίαχον· εἰ δέ με Φοῖβ
Χρὴ λέξαι πινυτὰν ἀμφεδὰ μαντοσύναν,
Πάτρη τοι τελέθει μέγας οὐρανὸς, ἐκ δὲ γυναικὸς
Οὐ θνατᾶς, ματρὸς δ' ἔπλεο Καλλιόπας.

V. Γενέσθαι δὲ αὐτὸν φασι τοῖς χρόνοις, οἱ μ
κατὰ τὸν Τρωϊκὸν πόλεμον, οὗ καὶ αὐτόπτην γενέσθ
οἱ δὲ μετὰ ἑκατὸν ἔτη τοῦ πολέμου· ἄλλοι δὲ μ
πεντήκοντα καὶ ἑκατόν. Ἔγραψε δὲ ποιήματα δ
Ἰλιάδα καὶ Ὀδύσσειαν· ὡς δέ τινες, οὐκ ἀληθῶς
γοντες, γυμνασίας καὶ παιδιᾶς ἕνεκα, καὶ Βατραχομ
μαχίαν προσθεὶς καὶ Μαργίτην.

VI. Τοῦ δὲ Τρωϊκοῦ πολέμου καθ' Ὅμηρόν τι
φασιν ἀρχὴν εἶναι τὴν τῶν θεῶν κρίσιν, Ἥρας καὶ Ἀθ
νᾶς καὶ Ἀφροδίτης, περὶ κάλλους ὑπ' Ἀλεξάνδρου γε
μένην· λέγειν γὰρ τὸν ποιητὴν,

Ὅς νείκεσσε Θεὰς ὅτε οἱ μέσσαυλον ἵκοντο,
Τὴν δ' ἥνεσ' ἣ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.

ἀλλ' ὡς οὐ πρέπον ὑπολαμβάνειν θεοὺς ὑπὸ ἀνθρ
πων κρίνεσθαι, οὔτε ὑπὸ Ὁμήρου δι' ἄλλων παρίστ
ται τοῦτο· ὅθεν εὐλόγως ἠθέτηνται οἱ προκείμε
στίχοι.

VII. Ἄμεινον οὖν λέγειν ὅτι Ἀλέξανδρος ὁ Πρ
μου παῖς, ἐπιθυμήσας ἑλληνικοῦ βίου μαθεῖν ἄγων
ἔπλευσεν εἰς Σπάρτην· καὶ ἐπιξενωθεὶς Ἑλένῃ, Με
λάου κατὰ τὸν οἶκον οὐκ ὄντος, ἀνέπεισεν αὐτὴν συ
λουθεῖν· ἐλθὼν δὲ εἰς τὴν Κρανάην [illegible]
σον, ἐμίγη πρῶτον τῇ γυναικὶ, [illegible]
Σιδῶνος καὶ Φοινίκης, ἦκεν εἰς Ἴλιον· [illegible]

περὶ Ἀγαμέμνονα καὶ Μενέλαον τὸ πεπραγμένον, στρατιὰν ἠθροισαν ἐν Αὐλίδι πόλει τῆς Βοιωτίας. ἐνθα καὶ θυόντων αὐτῶν, δράκων ἐπὶ τὸ πλησίον ἀνελθὼν δένδρον, στρουθοῦ νεοσσοὺς ὀκτὼ διέφθειρεν· οἷς ἡ μήτηρ ἐννάτη συγκατείλεκτο. ἐμήνυε δὲ τὸ σημεῖον ὅτι ἐννέα ἔτη πολεμήσαντες Ἕλληνες, τῷ δεκάτῳ αἱροῦσι τὴν Ἴλιον. ἡνίκα δὲ πλεύσαντες ἐπέβησαν τῆς Τρῳάδος, μετὰ πρώτην συμβολὴν καθ' ἣν ἀνῃρέθη Πρωτεσίλαος, Μενέλαόν τε καὶ Ὀδυσσέα πρέσβεις ἀπέστειλαν τὴν Ἑλένην ἀπαιτοῦντας. Τρώων δὲ ἀντεικόντων, πάλιν συμβολὴν ἐποιοῦντο πολέμου· καὶ ἐπικρατήσαντες, τοὺς μὲν εἴασαν παρεδρεύειν τῇ πόλει· οἱ δὲ στρατηγοῦντος Ἀχιλλέως, τὰς περικειμένας πόλεις ἐπόρθουν, συμμαχίας ἀφαιρούμενοι τοὺς Τρῶας. ἐξ ὧν μίαν ἑλόντες Χρύσαν, γέρας ἔδοσαν Ἀγαμέμνονι Χρυσηΐδα Χρύσου ἱερέως Ἀπόλλωνος θυγατέρα. ὃ δὲ ἐλθὼν ἐπὶ τὸν ναύσταθμον ἵνα λυτρώσηται τὴν παῖδα, καὶ ὑβρισθεὶς ὑπὸ τοῦ Ἀγαμέμνονος, ηὔξατο τῷ Ἀπόλλωνι κολάσαι τοὺς Ἕλληνας. ἐπακούσας δὲ τῆς εὐχῆς ὁ Θεὸς, λοιμὸν ἐπέμψεν αὐτοῖς. καὶ τότε Ἀχιλλέως παραινέσαντος ἀποδοῦναι τὴν Χρυσηΐδα, Ἀγαμέμνων ὀργισθεὶς ἠπείλησεν ἀφαιρήσεσθαι τὸ Ἀχιλλέως γέρας Βρισηΐδα. ὁ δὲ τὴν μητέρα Θέτιν ἔπεισεν αἰτήσασθαι παρὰ τοῦ Διὸς ἦτταν Ἑλλήνων. οὗ γενομένου, Πάτροκλος προτραπεὶς ὑπὸ Νέστορος ἐκέτευσεν Ἀχιλλέα δοῦναι κἀι ἐπ' ὀλίγον τὴν πανοπλίαν αὐτῷ, ἵνα τοὺς Τρῶας τῶν νεῶν ἀπώσηται. ἐξελθὼν οὖν ὁ Πάτροκλος, καὶ γενναίως ἀριστεύσας, μετ' οὐ πολὺ ἀνῃρέθη. χαλεπήνας δὲ ὁ Ἀχιλλεὺς, ἐπαύσατο μὲν τῆς πρὸς Ἀγαμέμνονα ἔχθρας, λαβὼν δὲ ἡφαιστότευκτον πανοπλίαν, ἄλλους τε πολλοὺς καὶ τελευταῖον Ἀνδρίλην Ἕκτορα.

VIII. Ἡ μὲν οὖν τῶν πραγμάτων ἐστὶν αὕτη· ὁ δὲ ποιητὴς ἀπὸ τοῦ ἐννάτου ἔτους ἤρξατο, ἐπεὶ τὰ πρὸ τῆς Ἀχιλλέως μήνιδος ἦν ἀτορώτερα, καὶ πράξεις οὐκ ἔχοντα μαχρὰς οὐδὲ ἐπαλλήλους. συμμαχοῦντος γὰρ Ἄλλησιν Ἀχιλλέως

Οὐδέποτε Τρῶες πρὸ

Ι. Ὅμηρον τὸν ποιητὴν, χρόνῳ μὲν, τ
δυνάμει δὲ, πάντων πρῶτον γενόμενον, ε
νώσκομεν πρῶτον, ὠφελούμενοι τὰ μέγιο
φωνὴν, καὶ τὴν διάνοιαν, καὶ τὴν τῶν πρ
λυπειρίαν. λέγωμεν δὲ περὶ τῆς τούτου π
τερον μνησθέντες διὰ βραχέων τοῦ γένου

ΙΙ. Ὅμηρον τοίνυν Πίνδαρος μὲν ἔφ
Σμυρναῖον γενέσθαι· Σιμωνίδης δὲ, Χ
χος δὲ καὶ Νίκανδρος, Κολοφώνιον· Ἀρι
φιλόσοφος, Ἰήτην· Ἔφορος δὲ ὁ ἱστορικ
οὐκ ὤκνησαν δέ τινες Σαλαμίνιον αὐτὸ
Κύπρου· τινὲς δὲ, Ἀργεῖον· Ἀρίσταρχο
νύσιος ὁ Θρᾷξ, Ἀθηναῖον. υἱὸς δὲ ὑπ
Μαίονος καὶ Κριθηίδος· ὑπὸ δέ τινων,
ποταμοῦ.

ΙΙΙ. Ὥσπερ δὲ τὰ τοῦ γένους αὐτῷ δι
τω καὶ τὰ περὶ τῶν χρόνων, καθ' οὓς ἐγ
μὲν περὶ Ἀρίσταρχόν φασιν αὐτὸν γενέσ
Ἰώνων ἀποικίαν· ἥτις ὑστερεῖ τῆς τῶν
καθόδου ἔτεσιν ἑξήκοντα, τὰ δὲ περὶ τοὺ

ματικῶν τῶν περὶ Ἀρίσταρχον. ὧν ἡ μὲν Ἰλιὰς ἔχει τὰς ἐν Ἰλίῳ πράξεις Ἑλλήνων τε καὶ Βαρβάρων, διὰ τὴν Ἑλένης ἁρπαγὴν, καὶ μάλιστα τὴν Ἀχιλλέως ἐν τῷ πολέμῳ τούτῳ διαθειχθεῖσαν ἀλκήν· ἡ δὲ Ὀδύσσεια, τὴν Ὀδυσσέως ἀνακομιδὴν ἐς τὴν πατρίδα ἀπὸ τοῦ Τρωϊκοῦ πολέμου, καὶ ὅσα πλανώμενος ἐν τῷ νόστῳ ὑπέμεινε, καὶ ὅπως τοὺς ἐπιβουλεύοντας τῷ οἴκῳ αὐτοῦ ἐτιμωρήσατο. ἐξ ὧν δῆλός ἐστι παριστὰς, διὰ μὲν τῆς Ἰλιάδος, ἀνδρίαν σώματος· διὰ δὲ τῆς Ὀδυσσείας, ψυχῆς γενναιότητα.

V. Εἰ δὲ μὴ μόνον ἀρετὰς, ἀλλὰ καὶ κακίας ψυχῆς ἐν ταῖς ποιήσεσι παρίστησι, λύπας τε καὶ χαρὰς, καὶ φόβους καὶ ἐπιθυμίας, οὐ χρὴ αἰτιᾶσθαι τὸν ποιητὴν, παρόντα δὲ μιμεῖσθαι οὐ μόνον τὰ χρηστὰ ἤθη, ἀλλὰ καὶ τὰ φαῦλα· ἄνευ γὰρ τούτων παράδοξοι πράξεις οὐ συνίστανται, ὧν ἀκούοντα ἔνεστιν αἱρεῖσθαι τὰ βελτίω. πεποίηκε δὲ τοὺς θεοὺς τοῖς ἀνθρώποις ὁμιλοῦντας, οὐ μόνον ψυχαγωγίας καὶ ἐκπλήξεως χάριν, ἀλλ' ἵνα καὶ ἐν τούτῳ παρασκήσῃ, ὅτι κήδονται καὶ οὐκ ἀμελοῦσι τῶν ἀνθρώπων οἱ θεοί.

VI. Καὶ τὸ μὲν ὅλον, παρ' αὐτῷ διήγησις τῶν πραγμάτων παράδοξος καὶ μυθώδης κατεσκεύασται, ὑπὲρ τοῦ πληροῦν ἀγωνίας καὶ θαύματος τοὺς ἐντυγχάνοντας, καὶ ἐκπληκτικὴν τὴν ἀκρόασιν καθιστάναι. ὅθεν δοκεῖ τινα παρὰ τὸ εἰκὸς εἰρηκέναι. καὶ γὰρ ἀεὶ τὸ πιθανὸν ἕπεται, ἐν ᾧ τὸ παράδοξον καὶ ἐπῃρμένον πρόκειται. διὸ καὶ οὐ μόνον τὰ πράγματα μετεωρίζει, καὶ ἐκτρέπει τῆς συνηθείας, ἀλλὰ καὶ τοὺς λόγους. ὅτι δὲ ἀεὶ τὰ καινὰ, καὶ ἔξω τοῦ προχείρου θαυμάζεται, καὶ τὸν ἀκροατὴν ἐπάγεται, παντὶ δῆλον. πλὴν καὶ ἐν τοῖς μυθώδεσι τούτοις λόγοις, εἴ τις μὴ παρέργως ἀλλ' ἀκριβῶς ἕκαστα τῶν εἰρημένων ἐπιλέγοιτο, φανεῖται πάσης λογικῆς ἐπιστήμης καὶ τέχνης ἐντὸς γενόμενος, καὶ πολλὰς ἀφορμὰς καὶ οἱονεὶ σπέρματα καὶ λόγων καὶ πράξεων παντοδαπῶν τοῖς μετ' αὐτὸν παρεχόμενος καὶ οὐ τοῖς ποιηταῖς μόνον, ἀλλὰ καὶ τοῖς πεζῶν λόγων συνθέταις, ἱστορικῶν τε καὶ θεωρηματικῶν. Ἴδωμεν

γὰρ πρότερον τὴν τῆς λέξεως αὐτοῦ πολυφωνίαν, ἔπειτα καὶ τὴν ἐν τῇ πραγματείᾳ πολυμάθειαν. πᾶσα μὲν οὖν ποίησις, τάξει τινὶ τῶν λέξεων συντιθεμένων, ῥυθμῷ καὶ μέτρῳ περαίνεται· ἐπεὶ τὸ λεῖον καὶ εὐπλεκτὸν, σεμνὸν ἅμα καὶ ἡδὺ γενόμενον, διὰ τοῦ τέρπειν εἰς τὸ προσέχειν ἐπάγεται. ὅθεν συμβαίνει κατὰ τὸ αὐτὸ, μὴ μόνον τοῖς ἐκπλήττουσι καὶ θέλγουσι τέρπεσθαι, ἀλλὰ καὶ τοῖς πρὸς ἀρετὴν ὠφελοῦσι πείθεσθαι ῥᾳδίως.

VII. *Τὰ δὲ Ὁμήρου ἔπη τὸ τελειότατον ἔχει μέτρον, τουτέστι τὸ ἑξάμετρον, ὃ καὶ ἡρῷον καλεῖται. ἑξάμετρον μὲν, ὅτι εἰς ἕκαστος στίχος ἔχει πόδας ἕξ· ὧν ὁ μέν ἐστιν ἐκ δύο συλλαβῶν μακρῶν, σπονδεῖος καλούμενος· ὁ δὲ, ἐκ τριῶν, μιᾶς μὲν μακρᾶς, δύο δὲ βραχειῶν, ὃς λέγεται δάκτυλος· καὶ εἰσὶν ἀλλήλοις ἰσόχρονοι, αἱ γὰρ δύο βραχεῖαι μιᾶς μακρᾶς χρόνον ἐπέχουσιν· οὗτοι δὲ, παρ' ἀλλήλοις συντιθέμενοι, πληροῦσι τὸ ἑξάμετρον ἔπος. ἡρῷον δὲ λέγεται, ὅτι διὰ τούτου τὰς τῶν ἡρώων πράξεις διηγεῖται.*

VIII. *Λέξει δὲ ποικίλῃ κεχρημένος, τοὺς ἀπὸ πάσης διαλέκτου τῶν Ἑλλήνων χαρακτῆρας ἐγκατέμιξεν. ἐξ ὧν δῆλός ἐστι πᾶσαν μὲν Ἑλλάδα ἐπελθών, καὶ πᾶν ἔθνος.*

IX. *Καὶ Δωριέων μὲν τῇ συνήθει τῆς βραχυλογίας ἐλλείψει κέχρηται, τὸ δῶμα λέγων δῶ,*

— αἶψα δὲ οἱ δῶ
Ἀφνειὸν πέλεται·

Καὶ τὸ ὅτε, ὅ,

— ὅ μοι αἰετὸς ἔκτανε χῆνας·

καὶ τὸ ὀπίσω, ἄψ, μεταβαλὼν τὸ μὲν ο εἰς τὸ α, τὸ δὲ π καὶ τὸ σ εἰς τὸ συγγενὲς αὐτοῖς· καὶ τὸ ἄλλοτε, ἄλλο,

Ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή·

καὶ τὰ τοιαῦτα. ὁμοίως δὲ καὶ τὰ μέσα συντεμὼν, λέγει, τοὺς ὁμότριχας, καὶ ὁμοετεῖς, ὑτρυχας καὶ ὀλετέας· καὶ τὸν ὁμοπάτριον, ὀπάτριον· καὶ τὸ τρέμειν, τρεῖν· καὶ τὸ τιμᾶν, τίειν· τὸ

αὐτῶν δέ ἐστι καὶ τὸ ὑπερβιβάζειν τὰ στοιχεῖα· ὡς ἐν τῷ κάρτιστοι, ἀντὶ τοῦ κράτιστοι.

X. Αἰολέων δὲ χρῆται ἐν τοῖς συνθέτοις τῇ συγκοπῇ, καδδραθέτην λέγων, ἀντὶ τοῦ κατεδραθέτην· καὶ ὑββάλλειν ἀντὶ τοῦ ὑποβάλλειν. καὶ ἐπὶ τοῦ παρατατικοῦ χρόνου, τὰ τρίτα πρόσωπα λήγοντα παρὰ τοῖς ἄλλοις εἰς τὴν ει δίφθογγον, διὰ τοῦ η παρὰ τοῖς Αἰολεῦσιν ἐκφέρεται, ὡς ἐν τῷ ἐφίλη, ἐνόη· οὕτω δὲ καὶ Ὅμηρος ἐποίησεν,

— δίδη μόσχοισι λύγοισιν,

ἀντὶ τοῦ ἔδει, ὅ ἐστιν, ἐδέσμει· καὶ,

Τοὺς μὲν ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων.

καὶ τὸ ἐναλλάσσειν τὸ σ εἰς τὸ δ, ὡς ἐν τῷ λέγειν· ὀδμῇ, καὶ ἴδμεν. καὶ τὸ πλεονάζειν ἔν τισιν, ὡς τὸ εὔκηλος ἀντὶ τοῦ ἔκηλος, καὶ αὐτὰρ ἀντὶ τοῦ ἀτὰρ, καὶ κεκληγόντες ἀντὶ τοῦ κεκληγότες. καὶ τὸ προστιθέναι τῷ δευτέρῳ προσώπῳ τῶν ῥημάτων τὸ θα, ὡς τὸ ἔφησθα, καὶ εἴπησθα. τὸν δὲ διπλασιασμὸν τῶν συμφώνων οἱ μὲν Δωριεῦσιν, οἱ δὲ Αἰολεῦσι προσνέμουσιν· οἷόν ἐστιν

Ἔλλαβε πορφύρεος θάνατος,

καὶ,

Ὀππότερος τάδε ἔργα.

XI. Ἰώνων δὲ ἴδιον ἔχει τὸ ἀφαιρέσει χρῆσθαι ἐν τοῖς παρῳχηκόσι χρόνοις τῶν ῥημάτων, ὡς τὸ βῆ, καὶ τὸ δῶκεν· ἦθος γὰρ ἔχουσι καὶ ἐπὶ τῶν παρῳχημένων χρόνων ἀπὸ τῶν αὐτῶν στοιχείων ἄρχεσθαι, ἀφ' ὧν ἐστι καὶ ὁ ἐνεστώς. καὶ τὸ ὑφαιρεῖν τὸ ε ἐν τῷ ἴρευς, καὶ ἴρηξ. καὶ τὸ προστιθέναι τοῖς τρίτοις προσώποις τῶν ὑποτακτικῶν τὸ σι· οἷόν ἐστι τὸ ἕλθῃσι καὶ τὸ λάβῃσι· καὶ ταῖς δοτικαῖς, θύρῃσι, ὕλῃσι· καὶ τὸ λέγειν οὔνομα καὶ νοῦσον, τὸ ὄνομα καὶ τὴν νόσον· καὶ κεινὸν καὶ μείλαν, ἀντὶ τοῦ κενὸν καὶ μέλαν. τὸ μεταβάλλειν τὸ α, ἐπειδὴν ἐκτείνηται, εἰς τὸ η, ὡς τὸ ἤρη, ἀθήνη· ἔστι δ' ὅτε καὶ ἀνάπαλιν τὸ η εἰς τὸ α, ὡς τὸ λελασμένος, ἀντὶ τοῦ λελησμένος. καὶ τὸ διαιρεῖν τὰ περισπώμενα ῥήματα

φρονέων καὶ νοέων· καὶ τὰς γαυιὰς τὰς αἰ
λιγούσας, ὡς τὸ Διομήδεος, Σαπφώ· κ
περισπωμένας γενικὰς τῶν πληθυντικῶν, οἷς τὸ
ων, περσέων· καὶ τῶν οὐδετέρων τὰς πληθυ
εὐθείας, τὰς εἰς τὸ η λιγούσας, ὡς τὸ στή
κέλλα· καὶ τὰς γενικὰς αὐτῶν ὁμοίως. Ἰδίως
γουσι καὶ τὸ τετράφατας, καὶ τὰ τοιαῦτα.

XII. *Μάλιστα δὲ τῇ Ἀτθίδι διαλέκτῳ κέχ*
καὶ γὰρ ἐπίμικτος ἦν. καὶ ἐπεὶ λέγεται παρὰ τ
τικοῖς λεὼς ὁ λαὸς, καὶ ταύτην τὴν συνήθει
παρ' αὐτῷ ὁ Πηλέως καὶ τὸ χρέως. ἔστι
τοῖς σύγηθες καὶ τὸ συναλείφειν ἐνίοτε, καὶ ἀ
ποιεῖν μίαν συλλαβήν· τὸ ἕπος, τοῦπος· τὸ
τιρν, θοιμάτιον, οἷς ἐστιν ὅμοιον,

Τρῶες δὲ προὔκυψαν ὀλλέες.

καὶ

Πεδία λωτεῦντα,

ἀντὶ τοῦ λωτεύοντα, καὶ τὸ ὑφαιρεῖν τὸ η τῶν
κῶν τῶν τοιούτων. δοκοίης, δοκοῖς· τεμώ
μῶς, ἔστιν Ἀττικόν· ὦ ἀκολούθως εἴρηται,

— ἄλλοι δὲ διακριθῆτε τάχιστα.

ὁμοίως δὲ καὶ τοῦτο Ἀττικὸν,

Οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρεί
δ λέγομεν κακίονες καὶ ἀρείονες. καὶ τὰς αἰτι
τῶν τοιούτων μὴ διαιρεῖν, τοὺς βοῦς, τοὺς ἰχθ

Βοῦς περιτεμνομένους·

καὶ,

Ἰχθῦς, ὄρνιθάς τε.

κἀκεῖνο δὲ εἴρηται ἀττικῶς,

Οὐδὲ τί μεν σθένει ῥήγνυσι ῥέοντες,

ὡς ζεύγνυσι, ὄμνυσι. καὶ τὸ ἐξαιρεῖν τὰ β
τῶν Ἀττικῶν· λούεται, λοῦται· οἶομαι, ο
οὕτως οὖν καὶ τὸ λύτο ἀντὶ τοῦ ἐλύετο. τῶν
ἔστι καὶ τὸ ἐώρων, καὶ ἐωνησάμην, ἐκ πε
προστιθέντων τὸ ε· ὅθεν ἐστὶ καὶ τὸ ἐφνοχόε
συναιρεῖν τὸ ε, ἐπὶ τῶν τοιούτων, ἠιθέους,
οὕτω καὶ τὸ, σφὼ δὲ μάλ' ἠθέλετον· κ

εἰς ι καθαρὸν ληγούσης δοτικῆς παρατελευτῶντος τοῦ α, κέραϊ, γέραϊ, σέλαϊ. ἔστι δὲ καὶ τοῦτο ἀττικόν, τὸ λέγειν ἕστων, καὶ ἐπέστων, ἀντὶ τοῦ ἕστωσαν, καὶ ἐπέστωσαν. ἔστι δὲ καὶ ἡ τῶν εὐκτικῶν χρῆσις ἀντὶ τῶν παρεληλυθότων τῶν ὁριστικῶν, τῆς αὐτῆς συνηθείας, ᾗ καὶ Ὅμηρος χρῆται συνεχῶς. καὶ τοῖς θηλυκοῖς ἀρσενικὰ ἄρθρα, ἡ μετοχὰς, ἢ ἐπίθετα συντάσσειν, ὡς τῷ χεῖρε, τῷ γυναῖκε· καὶ παρὰ Πλάτωνι δὲ, ἄγοντε καὶ φέροντε· καὶ, ἡ σοφὸς γυνὴ, καὶ, ἡ δίκαιος· οὕτως οὖν καὶ Ὅμηρος ἐπὶ Ἥρας, καὶ Ἀθηνᾶς ἔφη,

Οὐκ ἂν ἐφ' ἡμετέρων ὀχέων πληγέντε κεραυνῷ· ·

καὶ,

Ἦτοι Ἀθηναίη ἀκέων ἦν·

καὶ

— κλυτὸς Ἱπποδάμεια.

XIII. Καὶ περὶ τὴν Σύνταξιν δὲ πολλὰ ἰδιώματα ἐχουσῶν τῶν διαλέκτων, ὅταν εἴπῃ ὁ ποιητὴς,

Ἀλλ' ἄγ' ὀΐστευσον Μενελάου κυδαλίμοιο,
Αττικὴν δείκνυσι τὴν συνήθειαν. ὅταν δὲ εἴπῃ,

Δέξατο οἱ σκῆπτρον

καὶ,

— Θέμιστι δὲ καλλιπαρήῳ
Δέκτο δέπας,

ἐν τούτοις δωρίζει.

XIV. Ὅπως μὲν οὖν τὰς πάντων Ἑλλήνων φωνὰς ὀθροίζων, ποικίλον ἀπεργάζεται τὸν λόγον, καὶ χρῆται ποτὲ μὲν ταῖς ξέναις, ὥςπερ εἰσὶν αἱ προειρημέναι· ποτὲ δὲ ταῖς ἀρχαίαις, ὡς ὅταν λέγῃ ἄορ καὶ σάκος· ποτὲ δὲ ταῖς κοιναῖς καὶ συνήθεσιν, ὡς ὅταν λέγῃ, ξίφος καὶ ἀσπίδα, δῆλον. καὶ θαυμάσειέ τις, ὅτι καὶ κοιναὶ λέξεις παρ' αὐτῷ σώζουσι τὸ σεμνὸν τοῦ λόγου.

XV. Ἐπεὶ δὲ ὁ ἐγκατάσκευος λόγος φιλεῖ τὴν τοῦ συνήθους ἐξαλλαγὴν, ὑφ' ἧς ἐναργέστερος, ἢ σεμνότερος, ἢ πάντα τερπνότερος γίνεται, καὶ ἡ μὲν τῶν λέξεων ἐκτροπὴ καλεῖται Τρόπος, ἡ δὲ τῆς συνθέσεως Σχῆμα, καὶ ἔστι τὰ εἴδη τούτων ἐν τῇ Τεχνολογίᾳ ἀναγρα[illegible]

μένα, θεασώμεθα τί τούτων Ὁμήρῳ παραλέλειπται τί ἕτερον ὑπὸ τῶν μετ' αὐτὸν εὑρηται, ὃ ἐκεῖνος εἶπε πρῶτος.

XVI. Τῶν τοίνυν Τρόπων, Ὀνοματοποιία καὶ σύνηθές ἐστιν αὐτῷ. εἰδε γὰρ καὶ τὴν παλαιὰν ὀ τῶν ὀνομάτων, ὅτι οἱ πρῶτοι τὰ πράγματα ὀνομ τες, πολλὰ ἀπὸ τοῦ συμβεβηκότος προσηγόρευσα τὰς ὐνάρθρους φωνὰς τοῖς ἐγγραμμάτοις ἐξετύπω ὡς τὸ φυσᾷν, καὶ τὸ πρίζειν, καὶ τὸ μυκᾶσ καὶ τὸ βροντᾷν, καὶ τὰ τούτοις ὅμοια. ὅθ αὐτὰ ἐποίησέ τινα ὀνόματα οὐκ ὄντα πρότερον, τὰ σημαινόμενα τυπώσας, οἷον τὸν δοῦπον, κ ἄραβον, καὶ τὸν βόμβον, καὶ τὸ ῥοχθεῖ, κ ἀνέβρυχε, καὶ τὸ σίζε, καὶ τὰ τοιαῦτα, ὧν ο εὕροι τις εὐσημότερα. καὶ πάλιν ἄλλας τινὰς ἐπ' ἄλλων πραγμάτων κειμένας ἐπ' ἄλλα μετατέθ οἷόν ἐστι καὶ τοῦτο,

Φλέγμα κακὸν φορέουσα·

ὃ σημαίνει τὴν κατὰ τὸ φλέγειν ἐνέργειαν. κα πυρετὸν, ἀντὶ τοῦ πυρός. οἷς ὅμοιόν ἐστι καὶ·

— χαλκοστύπους ὠτειλάς·

βούλεται γὰρ εἰπεῖν τὰς ὑπὸ τοῦ χαλκοῦ τετυπωμ καὶ ὅλως πολλῇ τῇ καινότητι κέχρηται, μετὰ π τῆς ἐξουσίας, τὰ μὲν ἐξαλλάσσων παρὰ τὴν συνή θ τα δὲ εὐσημότερα καθιστὰς, ἕνεκα τοῦ κάλλους κα γεθος ἐμποιεῖν τοῖς λόγοις.

XVII. Πολλὴ δέ ἐστιν αὐτῷ καὶ ἡ τῶν Ἐπιθ εὐπορία, ἅπερ οἰκείως καὶ προσφυῶς τοῖς ὑποκειμ ἡρμοσμένα, δύναμιν ἴσην ἔχει τοῖς κυρίοις ὀνόμ ὥσπερ τῶν θεῶν ἑκάστῳ ἰδίαν τινὰ προσηγορίαν τίθησι· τὸν Δία μητιέτην, καὶ ὑψιβρεμέ καὶ τὸν Ἴλιον ὑπερίονα· καὶ τὸν Ἀπόλλωνα βον καλῶν. μετὰ δὲ τὴν Ὀνοματοποιίαν ἴδωμε τοὺς ἄλλους Τρόπους.

XVIII. Κατάχρησις μὲν δὴ, ἅπερ ὑπὸ τοῦ κ δηλουμένου μεταφέρει τὴν χρῆσιν, καὶ ἐφ' ἕτερ ἔχον ὄνομα κύριον· ἔστι παρὰ τῷ ποιητῇ, ὃ

σειρὴν χρυσείην· σειρὰ γὰρ κυρίως ἐπὶ τοῦ σχοινίου τάσσεται. καὶ ὅταν εἴπῃ αἰγείην κυνέην· ἡ μὲν γὰρ περικεφαλαία κέκληται κυνέη παρ' αὐτῷ, ἐπεὶ ἐκ δέρματος κυνὸς γενέσθαι αὐτὴν ἔθος ἦν· ἐνταῦθα δὲ καὶ τὴν ἐξ αἰγὸς δέρματος γινομένην κυνέην καλεῖ.

XIX. Μεταφορὰ δέ· ἥπερ ἐστὶν ἀπὸ τοῦ κυρίως δηλουμένου πράγματος ἐφ' ἕτερον μετενηνεγμένη, μετὰ τῆς ἀμφοῖν ἀναλόγου ὁμοιότητος· καὶ πολλή ἐστι, καὶ ποικίλη παρ' αὐτῷ· οἷόν ἐστιν,

Ἧκεν ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο·

καὶ

Νῆσος τὴν περὶ πόντος ἀπείριτος ἐστεφάνωται.

ὃν γὰρ λόγον ἔχει κορυφὴ πρὸς ἄνθρωπον, τοῦτον καὶ ἡ ἀκρώρεια πρὸς τὸ ὄρος· καὶ ὃν ὁ στέφανος πρὸς τοῦτον ὃν περίκειται, τὸν αὐτὸν θάλασσα πρὸς νῆσον. ἀλλὰ τὸ χρήσασθαι τοῖς ὁμοίοις ἀντὶ τῶν κυρίων ὀνόμασιν, εὐειδέστερον καὶ ἐναργέστερον ποιεῖ τὸν λόγον.

XX. Εἰσὶ δὲ παρ' αὐτῷ Μεταφοραὶ ποικίλαι. αἱ μὲν ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα, οἷον,

Φθέγξατο δ' ἡνίοχος νηὸς κυανοπρώροιο

ἀντὶ τοῦ ναύτης· καὶ,

Βῆ δὲ μετ' Ἀτρείδην Ἀγαμέμνονα ποιμένα λαῶν·

ἀντὶ τοῦ βασιλέα. αἱ δὲ ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα, οἷον,

— ὑπαὶ πόδα νείατον Ἴδης,

τὴν ὑπώρειαν· καὶ

Οὐθαρ ἀρούρης,

τὸ γόνιμον. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἔμψυχα, οἷον,

— σιδήρειον νύ τοι ἦτορ,

ἀντὶ τοῦ σκληρόν. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἄψυχα, οἷον,

Σπέρμα πυρὸς σώζων,

ἀντὶ τοῦ γόνιμον ἀρχήν. ὥςπερ δὲ ὀνομάτων, οὕτω καὶ ῥημάτων εἰσὶ παρ' αὐτῷ μεταφοραί· οἷον,

Ἠιόνες βοάουσιν ἐρευγομένης ἁλὸς ἔξω,

ἀντὶ τοῦ ἠχοῦσιν.

XXI. Ἕτερος Τρόπος ἐστὶν ἡ καλουμένη Μετάληψις, κατὰ συνωνυμίαν σημαίνουσα πρᾶγμα [illegible] οἷον,

[illegible]

Ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσι·

βούλεται γὰρ σημῆναι τὰς κυρίως ὀξείας λεγομένας νήσους· ἐπεὶ συνωνυμεῖ τὸ θοὸν τῷ ὀξεῖ· ὀξὺ δὲ οὐ μόνον τὸ κατὰ κίνησιν ταχύ ἐστιν, ἀλλὰ καὶ τὸ κατὰ σχῆμα προηγούμενον εἰς λεπτότητα. τοιοῦτόν ἐστι καὶ τό,

— ἐγὼ δὲ θόωσα παραστάς.

XXII. Ἄλλος Τρόπος, Συνεκδοχὴ λεγομένη, ἀπὸ τοῦ κυρίως σημαινομένου ἕτερόν τι τῶν ὑπὸ τὸ αὐτὸ γένος ὄντων παριστῶσα. καὶ ἔστιν ὁμοίως ὁ τρόπος οὗτος ποικίλος. ἐκδεχόμεθα γὰρ ἤτοι ἀπὸ τοῦ ὅλου τὸ μέρος, οἷον,

— πρὸς τεῖχος ἐΰδμητον βόας αὖας·

ἀπὸ γὰρ τῶν βοῶν, τὰς βύρσας, ἐξ ὧν ἀσπίδες, δηλοῖ βούλεται. ἢ ἀπὸ μέρους τὸ ὅλον, οἷον,

Τοίην δ' αὖ κεφαλὴν ποθέω·

ἀπὸ γὰρ τῆς κεφαλῆς τὸν ἄνδρα σημαίνει· καὶ ὅταν λέγῃ λευκώλενον τὴν καλὴν, καὶ ἐϋκνημίδας τοὺς εὐόπλους. ἢ ἀπὸ ἑνὸς τὰ πολλά, ὡς ὅταν εἴπῃ ἐπὶ τοῦ Ὀδυσσέως,

— ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν·

οὐ γὰρ μόνος, ἀλλὰ σὺν τοῖς ἄλλοις Ἕλλησι τὴν Τροίαν ἐπόρθησεν. ἀπὸ δὲ τῶν πολλῶν τὸ ἕν· οἷον,

— στήθεά θ' ἱμερόεντα,

τουτέστι τὸ στῆθος. ἀπὸ δὲ εἴδους γένος,

Μαρμάρῳ ὀκρυόεντι βαλών·

εἶδος γὰρ λίθου ὁ μάρμαρος. ἀπὸ δὲ γένους τὸ εἶδος οἷον,

Ὄρνιθας γνῶναι, καὶ ἐναίσιμα μυθήσασθαι·

καὶ γὰρ οὐ πάντας, ἀλλὰ τοὺς μαντικοὺς ὄρνιθας εἰπεῖν βούλεται. ἀπὸ δὲ τῶν παρεπομένων τὴν πρᾶξιν, οἷον,

Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν·

ἀπὸ γὰρ τοῦ τόξου τὴν περὶ τὸ τόξον ἐμπειρίαν δηλοῖ. καὶ,

Ἕζόμενοι λείκαινον ὕδωρ·

καὶ,

Οἱ δὲ πανημέριοι σεῖον ζυγόν·
ἀπὸ γὰρ τοῦ συμβαίνοντος, ἐπὶ μὲν τοῦ πρστέρου, τὸ ἡλαυνον, ἐπὶ δὲ τοῦ δευτέρου, τὸ ἔτρεχον δηλοῖ. ἀπὸ δὲ τοῦ προηγουμένου τὸ ἀκόλουθον,

Λῦσε δὲ παρθενικὴν ζώνην·
ἀκολουθεῖ γὰρ τούτῳ τὸ διεκόρευσεν. ἀπὸ δὲ τοῦ ἀκολούθου τὸ προηγούμενον· ὡς ὅταν ἐναρίζειν λέγῃ τὸ φονεύειν, ἀντὶ τοῦ σκυλεύειν.

XXIII. *Ἔστι δὲ καὶ ἄλλος Τρόπος ἡ Μετωνυμία, λέξις ἐπ' ἄλλου κυρίως κειμένη, ἄλλο δὲ κατὰ ἀναφορὰν σημαίνουσα· οἷόν ἐστι παρ' αὐτῷ,*

Ἧμος ὅτ' αἰζηοὶ ξυλεύτερα βωλοτομεῦσι·
τὸν γὰρ πύρινον καρπὸν δηλοῖ, ἀπὸ τῆς εὑρούσης Δήμητρος ὀνομάσας. καὶ ὅταν εἴπῃ,

Σπλάγχνα δ' ἄρ' ἐμπείραντες, ὑπείρεχον Ἡφαίστοιο·
ἐν γὰρ τῷ τοῦ Ἡφαίστου ὀνόματι, τὸ πῦρ λέγει. ὅμοιον δέ ἐστι τοῖς εἰρημένοις καὶ τοῦτο,

— ὅς κεν ἐμῆς γε
Χοίνικος ἅπτεται.

λέγει γὰρ τὰ ἐμπεριεχόμενα ἐν τῇ χοίνικι.

XXIV. *Ἔστι δὲ καὶ ἄλλος Τρόπος ἡ Ἀντωνομασία, λέξις δὲ ἐπιθέτων, ἢ συσσήμων, ὄνομα ἴδιον σημαίνουσα· ὡς ἐν τούτῳ,*

Πηλείδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν
Ἀτρείδην προσέειπε·

δηλοῖ γὰρ διὰ τούτων τόν τε Ἀχιλλέα, καὶ τὸν Ἀγαμέμνονα. καὶ πάλιν,

Θάρσει Τριτογένεια, φίλον τέκος.

καὶ ἐν ἄλλοις,

Φοῖβος ἀκερσεκόμης·

τὸ μὲν γὰρ τὴν Ἀθηνᾶν· τὸ δὲ τὸν Ἀπόλλωνα δηλοῖ.

XXV. *Ἔστι καὶ ἡ Ἀντίφρασις, λέξις τὸ ἐναντίον ἢ τὸ παρακείμενον σημαίνουσα· ὡς ἐν τούτῳ,*

Οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς·

βούλεται γὰρ εἰπεῖν τὸ ἐναντίον, ὅτι ἰδὼν αὐτοὺς ἐλυπήθη.

XXVI. Ἔστι καὶ ἡ Ἔμφασις, ἥπερ δι' ὑπονοίας ἐπίτασιν τοῦ λεγομένου παρίστησιν· οἷον,

Αὐτὰρ ὅτ' εἰς ἵππον κατεβαίνομεν, ὃν κάμ' Ἐπειὸς·
ἐν γὰρ τῷ κατεβαίνομεν τὸ μέγεθος τοῦ ἵππου ἐμφαίνει. ὅμοιον δὲ κἀκεῖνο,

Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι·
καὶ γὰρ ἐν τούτῳ παρέχει μεῖζονα ἔμφασιν, ὡς βαπτισθέντος οὕτω τοῦ ξίφους, ὥστε θερμανθῆναι. τοιοῦδε μὲν οἱ τῶν λεγομένων Τρόποι ὑπὸ Ὁμήρου πεποιημένοι.

XXVII. Ἴδωμεν δὲ καὶ τὰς τῆς Συντάξεως ἐκτροπὰς, τὰ καλούμενα Σχήματα, εἰ καὶ ταῦτα πρῶτος Ὅμηρος ὑπέδειξε. τὸ δὲ σχῆμα ἐστὶ λόγος ἐξηλλαγμένος τοῦ ἐν ἔθει, κατά τινα πλάσιν, κόσμου ἢ χρείας χάριν. πάλλος μὲν γὰρ τοῖς λόγοις περιτίθησι διὰ τῆς ποικιλίας, καὶ μεταβολῆς τοῦ λόγου, καὶ σεμνοτέραν ἀπεργάζεται τὴν φράσιν· χρείαν δὲ εἰς τὸ ἐξαίρει, καὶ ἐπιτεῖναι τὰς ποιότητας καὶ δυνάμεις τῶν πραγμάτων.

XXVIII. Τῶν δὲ Σχημάτων τὰ μὲν κατὰ πλεονασμὸν ποιεῖ· ἐνίοτε μὲν διὰ τὸ μέτρον, ὡς ἐν τούτῳ,

Χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα·
τὸ γὰρ πάντα μηδὲν συντελοῦν ἔγκειται. ἔστι δὲ ὅτι κόσμου χάριν,

Ἡ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός·
τὸ γὰρ μάλα πλεονάζει κατὰ συνήθειαν ἀττικήν.

XXIX. Ἄλλοτε δὲ διὰ πλειόνων λέξεων τὸ σημαινόμενον ἀποδίδωσιν, ὃ καλεῖται Περίφρασις· ὡς ὅταν λέγῃ υἱας Ἀχαιῶν τοὺς Ἀχαιούς· καὶ βίην Ἡρακλείην τὸν Ἡρακλέα.

XXX. Καὶ τὰ τοιαῦτα δὲ κατὰ Ἐναλλαγὴν σχηματίζει, τὴν εἰθισμένην τάξιν ἀναστρέφων· καὶ ἤτοι ἐν μέσῳ λέξιν ἐντιθεὶς, ὃ καλεῖται Ὑπερβατόν· ὡς ἐν τούτῳ,

Αἵματοεις, ὡς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς·
ἀντὶ τοῦ λέων ταῦρον κατεδηδώς· καὶ λέξιν μὲν οὕτως ὑπερβιβάζει. ἐνίοτε δὲ καὶ ὅλον λόγον· ὡς ἐν τούτῳ,

— Ἀργεῖοι δὲ μέγ' ἴαχον· ἀμφὶ δὲ νῆες

Σμερδαλέον κονάβησαν ἀυσάντων ὑπ' Ἀχαιῶν,
Μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.

τὸ δὲ ἑξῆς ἐστιν, — *Ἀργεῖοι δὲ μέγ' ἴαχον μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.*

XXXI. *Τοῦ δ' αὐτοῦ εἴδους ἔχεται καὶ ἡ καλουμένη Παρεμβολὴ, ὅταν ἔξωθέν τινα μηδὲν προσήκοντα τοῖς προκειμένοις ἐμβάληται, ἃ κἂν ἐξέλῃ τις, οὐδὲν τῆς συντάξεως ἀφαιρεῖ· οἷόν ἐστι,*

Ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔποτε φύλλα καὶ ὄζους
Φύσει, ἐπειδὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
Οὐδ' ἀναθηλήσει· περὶ γὰρ ῥά ἑ χαλκὸς ἕλεψε,

καὶ τὰ ἑξῆς, ὅσα περὶ τοῦ σκήπτρου λέγει· εἶτα ἐπιφέρει τὸ ἀκόλουθον τῇ ἀρχῇ,

Ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν.

XXXII. *Ἔστι παρ' αὐτῷ καὶ ἡ Παλιλλογία, ἐπανάληψις οὖσα μέρους τινὸς λόγου, ἢ πλειόνων λέξεων ἐπαναλαμβανομένων, ὃ καὶ Ἀναδίπλωσις καλεῖται· οἷόν ἐστι,*

Τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν·
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

ποτὲ δὲ παρεντιθεμένων ἄλλων τινῶν, καὶ τῶν αὐτῶν πάλιν ἀντιλαμβανομένων, ὡς ἐν τῷ

Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκλάθε τηλόθ' ἐόντας
Αἰθίοπας τοὶ δίχθα δεδαίαται ἔσχατοι ἀλλων.

ἔστι δὲ τὸ σχῆμα κίνησιν ἐμφαῖνον τοῦ λέγοντος, καὶ ἅμα κινοῦν τὸν ἀκροατήν.

XXXIII. *Τοῦ αὐτοῦ γένους ἐστὶ καὶ ἡ Ἐπαναφορὰ, ὅταν ἐν ἀρχῇ πλειόνων κώλων ταυτὸν μόριον ἐπαναλαμβάνηται· τούτου δὲ παράδειγμα παρὰ τῷ ποιητῇ,*

Νιρεὺς δ' αὖ Σύμηθεν ἄγε τρεῖς νῆας ἑταίας,
Νιρεὺς Ἀγλαΐης υἱός, Χαροποῖο τ' ἄνακτος,
Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν.

καὶ ἔστιν ὁμοίως τὸ σχῆμα οἰκειότατον κινήσεως καὶ εὐεπίας.

XXXIV. *Ἔστι παρ' αὐτῷ καὶ ἡ Ἐπάνοδος, ἔστιν, ὅταν δύο πράγματα, καὶ ὀνόματα πρ[illegible]*

μηπω τοῦ νοῦ πέρας ἔχοντος, ἐπανίῃ ἐφ' ἑκάτερον τῶν ὀνομάτων, ἀποδιδοὺς τὸ τῆς διανοίας ἐλλιπές· ὡς ἐν ἐκείνῳ,

Ἄρης τε βροτολοιγὸς, Ἔρις τ' ἄμοτον μεμαυῖα,
Ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναίδεα δηϊοτῆτος·
Ἄρης δ' ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα.

ἔργον δὲ τοῦ σχήματος, ποικιλία καὶ σαφήνεια.

XXXV. Ὑπάρχει δὲ Ὁμοιοτέλευτον σχῆμα παρ' αὐτῷ, ἐν ᾧ τὰ κῶλα εἰς ὁμοίας τῶν ἤχων λέξεις τελευτᾷ, τὰς αὐτὰς συλλαβὰς ἐν τοῖς πέρασιν ἔχοντα, οἷόν ἐςι,

Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν·

καὶ ἐν ἐκείνῳ,

Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
Ἔμμεναι, οὔτ' ἀνέμοισι τινάσσεται, οὔτέ ποτ' ὄμβρῳ
Δεύεται, οὔτε χιὼν ἐπιπίλναται· ἀλλὰ μάλ' αἴθρη
Πέπταται ἀννέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη.

ὅταν δὲ εἰς ὀνόματα ὁμοίως κλινόμενα λήγωσιν αἱ περίοδοι ἢ τὰ κῶλα, καὶ ταῦτα εἰς πτώσεις ὁμοίας, Ὁμοιόπτωτον τοῦτο ἰδίως ὀνομάζεται· οἷόν ἐστιν,

Ἠΰτ' ἔθνεα εἶσι μελισσάων ἀδινάων,
Πέτρης ἐκ γλαφυρῆς ἀεὶ νέον ἐρχομενάων.

τὰ δὲ εἰρημένα, καὶ τὰ τοιαῦτα μάλιστα, προστίθησι τῷ λόγῳ χάριν καὶ ἡδονήν.

XXXVI. Δεῖγμα δὲ τῆς περὶ σύνθεσιν φιλοτεχνίας, ὅτι καὶ πολλάκις καὶ δυσὶ σχήμασιν ἐν τοῖς αὐτοῖς ἔπεσι κέχρηται, τῇ τε Ἐπαναφορᾷ καὶ τῷ Ὁμοιοτελεύτῳ, ὡς ἐν ἐκείνῳ,

Εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω,
Εὖ δέ τις ἵπποισι δεῖπνον δότω ὠκυτόδεσσι.

XXXVII. Τούτων ἔχεται κἀκεῖνο τὸ σχῆμα τὸ καλούμενον Πάρισον, ὃ γίνεται ἐκ δυοῖν, ἢ πλειόνων κώλων, ἴσας ἀλλήλαις τὰς λέξεις ἐχόντων. καὶ τοῦτο δὲ πρῶτος Ὅμηρος ἐποίησεν, εἰπὼν,

Αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι·

καὶ πάλιν,

Μηνιθμὸν μὲν ἀποῤῥίψαι, φιλότητα δ' ἑλέσθαι.

καὶ τοῦτο δὲ ὅτι πολὺν ἔχει τῆς φράσεως κόσμον, εὔδηλον.

XXXVIII. Τῆς δὲ ὁμοίας χαριτος ἔχεται καὶ ἡ Παρονομασία, ὅταν παρὰ τὸ προκείμενον ἕτερον ὄνομα ἐμφερὲς τεθῇ εὐθὺς κατὰ σύμμετρον διάστημα· οἷόν ἐστιν,

Οὐδὲ γὰρ οὐδὲ Δρύαντος παῖς, κρατερὸς Λυκόεργος

καὶ ἐν ἄλλῳ,

Τῶν ἦτοι Προθόος θοὸς ἡγεμόνευεν.

XXXIX. Καὶ τὰ μὲν προειρημένα, ἤτοι κατὰ πλεονασμὸν, ἢ κατά τινα ποιὰν πλάσιν σχηματίζεται· ἄλλα δὲ κατὰ ἐνδειαν λέξεως, ὧν ἐστιν ἡ καλουμένη Ἔλλειψις, ὅταν καὶ ἄνευ τοῦ ῥηθῆναί τινα λέξιν, ἐκ τῶν προειρημένων ἡ διάνοια φαίνηται· οἷόν ἐστι,

Δώδεκα δὲ σὺν νηυσὶ πόλεις ἀλίπαξ' ἀνθρώπων

Πεζὸς δ' ἐνδεκα φημί·

λείπει γὰρ τὸ ἀλαπάξαι, νοεῖται δὲ ἐκ τῶν προειρημένων. κἀκεῖνο δὲ λέγεται κατὰ Ἔλλειψιν,

Εἴς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης·

ἐνδεῖ γὰρ τὸ ἐστί. καὶ,

Ἰὼ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο·

λείπει γὰρ τὸ πάρεστιν, ἢ συμβέβηκεν, ἤ τι τοιοῦτον.

XL. Τοιοῦτόν ἐστι καὶ τὸ Ἀσύνδετον, ὁπόταν ἐξαίρωνται οἱ σύνδεσμοι οἱ συνδέοντες τὴν φράσιν· ὅπερ οὐ μόνον τύχους, ἀλλὰ καὶ ἐμφάσεως παθητικῆς χάριν γίνεται· οἷόν ἐσιι καὶ τοῦτο,

Ἴομεν ὡς ἐκέλευες ἀνὰ δρυμὰ φαίδιμ' Ὀδυσσεῦ,

Εὕρομεν ἐν βύσσῃσι τετυγμένα δώματα Κίρκης.

ἐν τούτοις γὰρ ὁ καὶ σύνδεσμος ἐξήρηται, τὸν τάχιστον τρόπον τῆς ἀπαγγελίας ζητοῦντος τοῦ λέγοντος.

XLI. Ἔστιν ἐν τοῖς Σχήμασι καὶ τὸ καλούμενον Ἀσύντακτον, ὃ καὶ Ἀλλοίωσις καλεῖται, ἐπειδὰν ἡ συνήθης τάξις ἀλλοία γένηται· καὶ ἔστι ποικίλη ἕνεκα τοῦ κόσμον ἢ χάριν ἐμποιεῖν τοῖς λόγοις, τῆς μὲν συνήθους τάξεως οὐ δυναμένης ἀκολουθεῖν, ἐπί τι δὲ ἴδιον ἀναφορᾶς ἐχούσης ἀκολουθίαν.

παρ' αὐτῷ, εὐθείας μὲν καὶ κλητικῆς ἐναλλα
ἐν τοῖς τοιούτοις,

Αὐτὰρ ὃ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φ
καὶ,

Νεφεληγερέτα Ζευς·

καὶ,

Δὸς φίλος· οὐ γάρ μοι δοκέεις ὁ κάκιστος
γενικῆς δὲ καὶ δοτικῆς, ἐν τοῖς τοιούτοις,

Τρωσὶ μὲν προμάχιζεν Ἀλέξανδρος θεοειδ
ἀντὶ τοῦ Τρώων. καὶ ἐκ τοῦ ἐναντίου,

Ἡ δ' αὐτοῦ τετάνυστο περὶ σπεῖος γλαφυ
ἀντὶ τοῦ περὶ σπέει. καὶ τούτων δέ ἐστιν ἡ
τῃ, ὅτι συγγένειαν τινὰ ἐδόκουν ἔχειν πρὸς
ἥτε εὐθεῖα, καὶ αἰτιατικὴ, καὶ κλητική. διὸ
οὐδετέροις εἰσὶν αἱ αὐταὶ. καὶ ἐν πολλοῖς τ
κῶν, καὶ θηλυκῶν, ἥτε εὐθεῖα, καὶ ἡ αἰτιατ
κλητικὴ ἡ αὐτή ἐστιν. ὁμοίως δὲ καὶ ἡ γενικ
δοτικὴν ἔχει τινὰ συγγένειαν. ταῦτα δὲ ἐν τ
ἀριθμοῖς ἐπὶ πάντων τῶν ὀνομάτων εὑρίσκε
εἰκότως παρὰ τὴν συνήθειαν τὰς πτώσεις ἐ
ἐνίοτε δὲ καὶ λόγους ἐστὶν εὑρεῖν τῆς ἐξαλλα
τῷ,

— ἐφιστάμενοι πεδίοιο

καὶ τὸ,

— διέπρησσον πεδίοιο

ἴσον τῷ ἐπέρων διὰ τοῦ πεδίου.

XLIX. Εὖ δὲ ἔχει παρ' αὐτῷ ἡ τῶν πτώσ
βολὴ ἐν ἀρχῇ ἑκατέρων τῶν ποιήσεων· ἐν α
τὴν αἰτιατικὴν, ἐπήνεγκε τὴν εὐθεῖαν, εἰπὼν

Μῆνιν ἄειδε θεὰ —

— ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε,

καὶ,

Ἄνδρα μοι ἔννεπε Μοῦσα πολύτροπον
πολλὰ

Πλάγχθη·

L. Ἔστι δὲ ὅτε τῇ γενικῇ τὴν εὐθεῖαν
ἐν τούτῳ,

— τῶν οἱ νῦν βροτοὶ εἰσι.

LI. *Πολλὸ δὲ καὶ ἑτέρως σχηματίζει, ὡς ἐν τῷ,*

Φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
Ἤματι τῷ, ὅτε νηυσὶν ἐπ' ὠκυπόροισιν ἔβαινον
Ἀργεῖοι, Τρώεσσι φόνον καὶ κῆρα φέροντες,
Ἀστράπτων ἐπιδέξι', ἐναίσιμα σήματα φαίνων.

τοῦτῳ δὲ ὅμοιόν ἐστι κἀκεῖνο,

— ὁ δ' ἀγλαΐῃφι πεποιθώς,
Ῥίμφα ἒ γοῦνα φέρει.

καὶ ταῦτα δὲ ἐξήνεγκε κατά τινα ἀρχαϊκὴν συνήθειαν, καὶ οὐδὲ ταῦτα ἀλόγως· εἰ γάρ τις τὰς μετοχὰς ἀναλύσει εἰς ῥήματα, εὕροι ἂν τὸ ἀκόλουθον. τὸ γὰρ *ἀστράπτων* ἴσον ἐστὶ τῷ *ἤστραπτε*, καὶ τὸ *πεποιθὼς* τῷ *ἐπεὶ πέποιθε*. τούτοις ἐστὶ κἀκεῖνα παραπλήσια,

Οἱ δὲ δύο σκόπελοι, ὁ μὲν, οὐρανὸν εὐρὺν ἱκάνει·

καὶ,

Τὼ δὲ διακρινθέντε, ὁ μὲν μετὰ λαὸν Ἀχαιῶν
Ἧΐ· ὁ δ' ἐς Τρώων ὅμαδον κίε·

καὶ τὰ τοιαῦτα. οὐκ ἄλογον γὰρ τὸν μέλλοντα περὶ δυοῖν τινῶν λέγειν, προτάξαι τὴν εὐθεῖαν πτῶσιν, καὶ τὸ κοινὸν αὐτῶν ἑκατέρου φυλάξαντα, ἀπεργάζεσθαι κοινὸν τοῦ λόγου. ὅτι δὲ τὸ κοινὸν τοῦ λόγου χάριν πολλὴν ἐπιφαίνει, πρόδηλον.

LII. *Ἔστι δὲ ὅπου τὴν κοινὴν πτῶσιν προθεὶς, τὸν περὶ ἑνὸς ἐπιφέρει λόγον·* ὡς ἐν τούτῳ,

Ἀμφω δ' ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς.

LIII. *Καὶ τὰ εἴδη δὲ τῶν ὀνομάτων ἐξαλλάσσει, πολλάκις μὲν τὸ συγκριτικὸν τιθεὶς ἀντὶ τοῦ ἁπλοῦ·* ὡς ἐξ ὑπερβολῆς, τὸ,

— σαώτερος ὥς κε νέηαι·

ποτὲ δὲ τὸ ὑπερθετικὸν ὁμοίως ἀντὶ τοῦ ἁπλοῦ, ὡς τὸ,

— δικαιότατος Κενταύρων·

τοιαύτη μὲν ἡ ἐξαλλαγὴ ἐν τοῖς ὀνόμασιν. ἐν δὲ τοῖς ῥήμασι γίνεται ἐξαλλαγὴ, τῶν μὲν ἐγκλίσεων, ὡς ὅταν *τὸ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ κατελήφθη*, οἷον,

Θαρσῶν νῦν, Διόμηδες, ἐπὶ Τρώεσσι μάχεσθαι,
ἀντὶ τοῦ μάχου. ἢ τὸ ὁριστικὸν ἀντὶ τοῦ εὐκτικοῦ οἷον,

Πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' ὀνομήνω
ἀντὶ τοῦ μυθησαίμην καὶ ὀνομήναιμι. καὶ τοῦ ἐναντίου, εὐκτικὸν ἀντὶ ὁριστικοῦ, οἷον,

Καὶ νύ κεν ἔνθ' ἀπόλοιτο ἄναξ,
ἀντὶ τοῦ ἀπώλετο.

LIV. *Τῶν δὲ χρόνων, ὅταν ὁ ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος τεθῇ· ὡς ἐν τούτῳ,*

Τὴν δ' ἐγὼ οὐ λύσω, πρὶν μὲν καὶ γῆρας ἔπεισιν
ἀντὶ τοῦ ἐπελεύσεται. ἢ ἀντὶ τοῦ παρωχηκότος.

Ἔνθ' ἤτοι πλυνοὶ ἦσαν ἐπηετανοί, πολὺ δ' ὕδωρ
Καλὸν ὑπεκπροῤῥέει,
ἀντὶ τοῦ ἐῤῥύη. ἢ μέλλων ἀντὶ τοῦ ἐνεστῶτος,

Οἱ μὲν δὴ σόσομένου Τπερίονος, οἱ δ' ἀνιόντος,
ἢ ἀντὶ τοῦ παρωχηκότος,

Δείδω μὴ δὴ πάντα θεὰ νημερτέα εἴπῃ,
ἀντὶ τοῦ εἶπε.

LV. *Καὶ διαθέσεις δὲ ἐναλλάσσονται παρ' αὐτοῖς πολλάκις· καὶ τίθεται ἀντὶ ἐνεργητικῶν παθητικὰ μέσα, οἷον,*

Εἵλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος,
ἀντὶ τοῦ εἵλκε. καὶ

— *καθορώμενος Αἴας,*
ἀντὶ τοῦ ὁρῶν. καὶ τοὐναντίον τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ,

Δωρήσω τρίποδα χρυσούατον,
ἀντὶ τοῦ δωρήσομαι.

LVI. *Ἔστι δὲ ἰδεῖν ὅπως καὶ τοὺς ἀριθμοὺς ἐναλλάσσων, τὸν πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ τίθησιν, πολλάκις ἐν τῇ συνηθείᾳ, εἴ τις περὶ ἑαυτοῦ λέγοι οἷον,*

Τῶν ἀμόθεν γε, θεὰ θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν
ἀντὶ τοῦ ἐμοί.

LVII. *Γίνεται δὲ παρ' αὐτῷ καὶ κατὰ πρόσωπον μεταβολή.* καθ' ἕνα μὲν τρόπον, οὕτως,

Ἄλλοι μὲν γὰρ πάντες ὅσοι θεοὶ εἰσ' ἐν Ὀλύμπῳ,
Σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεσθα ἕκαστος·
πολλῶν γὰρ ὄντων τῶν θεῶν, ἐν οἷς ἐστι τὸ λέγον πρόσωπον, ἑκάτερον καλῶς ἐξενήνοχε, τό, τε πείθονται, καὶ τὸ δεδμήμεσθα. καθ' ἕτερον δὲ τρόπον, ὅταν τὸ νῦν ἐάσας, ἀφ' ἑτέρου ἐφ' ἕτερον πρόσωπον μεταβῇ· ὅπερ ἰδίως Ἀποστροφὴ καλεῖται, τῷ δὲ μιμητικῷ κινεῖ, καὶ ἄγει τὸν ἀκροώμενον· οἷόν ἐστι καὶ τοῦτο,

Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο, μακρὸν ἀΰσας,
Νηυσὶν ἐπισσεύεσθαι, ἐᾷν δ' ἔναρα βροτόεντα·
Ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωσε νοήσω·

ἀπὸ γὰρ τοῦ διηγηματικοῦ μετέβαλεν εἰς τὸ μιμητικόν. καὶ ἐν αὐτῷ δὲ τῷ διηγηματικῷ πολλάκις χρῆται τῇ Ἀποστροφῇ,

Ἀμφί σε Πηλέος υἱὲ μάχης ἀκόρητοι Ἀχαιοί.

ἀλλὰ καὶ ἐν τῷ μιμητικῷ χρῆται καὶ μεταβολῇ τῶν προσώπων, ὡς ἐν τούτῳ,

— ἢ δὴ παισὶν ἐοικότες ἀγοράασθε
Νηπιόχοις, οἷς οὔ τι μέλει πολεμήϊα ἔργα.
Ἀτρεΐδη, σὺ δέ θ', ὡς πρὶν, ἔχων ἀσεμφέα βουλὴν,
Ἄρχευ Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας.

καὶ ἕτερον δὲ εἶδος Ἀποστροφῆς ἐστι τοιοῦτον,

Τυδείδην δ' οὐκ ἂν γνοίης ποτέροισι μετείη·
ἔστι γὰρ ἀντὶ τοῦ, οὐκ ἂν γνοίη. καὶ πάλιν,
— ὀδμὴ δ' ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει
Θεσπεσίη, τόθ' ἂν οὔ τοι ἀποσχέσθαι φίλον ἦεν.

LVIII. Καὶ μετοχαῖς δὲ χρῆται ἀντὶ ῥημάτων, ὡς ἐν τῷ,

— ἐνὶ κήπῳ
Καρπῷ βριθομένη,

ἀντὶ τοῦ βρίθεται. καὶ

Ἔνθ' οἵ γ' εἰσέλασαν πρὶν εἰδότες,

ἀντὶ τοῦ πρὶν εἰδέναι.

LIX. Καὶ τὰ ἄρθρα δὲ ἐναλλάσσει πολλάκις, ἀντὶ τῶν ὑποτακτικῶν τοῖς προτακτικοῖς χρώμενος, οἷον,

Τοὺς ἔτεκε Ζεφύρῳ ἀνέμῳ ἅρπυια Ποδάργη.

καὶ,

Θώρηχ'· ὃ γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος.
καὶ τοὔναντίον.

LX. *Οὕτω καὶ τὰς προθέσεις εἴωθε μεταλλάσσειν·*
Χθιζὸς ἔβη μετὰ δαῖτα,
ἀντὶ τοῦ ἐπὶ δαῖτα. καὶ,
Νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν.

LXI. *Ὁμοίως καὶ προθέσει πεῶσιν ὀνόματος ἢ ῥήματος οἰκείαν ἐπιφέρει, ὡς ἐν τούτῳ,*
Μή πως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι,
ἀντὶ τοῦ διὰ νυκτός.

LXII. *Ἐνίοτε δὲ ἀφαιρεῖ τὰς προθέσεις, οἷον,*
Τῆς ἔγε κεῖτ' ὀχέων,
ἀντὶ τοῦ περὶ ἧς. καὶ
— ποτιδέγμενος εἴ τι μὲν εἴποι,
ἀντὶ τοῦ προσείπῃ. καὶ ἄλλας προθέσεις ὁμοίως τὰς μὲν ὑπαλλάσσει, τὰς δὲ ἀφαιρεῖ.

LXIII. *Καὶ ἐπιῤῥήματά τινα ἐναλλάσσει, τοῦτον τόπον, καὶ τοῖς ἐν τόπῳ, καὶ τοῖς ἐκ τόπου ἀδιαφόρως χρώμενος.*
— υἱωνοὶ δ' ἑτέρωσε κάθιζον,
ἀντὶ τοῦ ἑτέρωθι. καὶ,
Αἴας δ' ἐγγύθεν ἦλθεν,
ἀντὶ τοῦ ἐγγύς.

LXIV. *Ἔστι δὲ παρ' αὐτῷ καὶ ἡ τῶν συνδέσμων ἐναλλαγή, οἷον,*
Εὐνῇ δ' οὐ πώποτ' ἔμικτο· χόλον δ' ἀλέεινε γυναικὸς,
ἀντὶ τοῦ, χόλον γὰρ ἀλέεινε γυναικός. ταῦτα μὲν δὴ κατὰ λέξιν ἐστὶ Σχήματα, οἷς καὶ ἄλλοι πάνυ οὐ μόνον ποιηταὶ, ἀλλὰ καὶ πεζῶν λόγων συνθέται κέχρηνται.

LXV. *Ἔστι δὲ καὶ ἡ διάνοια παρ' αὐτῷ πολλοῖς ἐνδεσιν ἐσχηματισμένη. ὧν ἐστι καὶ ἡ Προαναφώνησις· ἥ τις γίνεται, ὅταν τις διηγούμενος μεταξὺ, τὰ ἐν ἑτέροις τάξιν ἔχοντα τοῦ ῥηθῆναι προλέγῃ, ὡς ἐν τούτοις·*
Ἦτοι ὅσιον τε πρῶτος γεύσεσθαι ἔμελλεν.

καὶ ἡ Ἐπιφώνησις, οἷόν ἐστι,

— ῥίγησεν δέ τε νήπιος ἴγνω.

LXVI. Ἔστι καὶ τὸ τῆς Προσωποποιΐας παρ' αὐτῷ πολὺ, καὶ ποικίλον. πολλὰ μὲν γὰρ, καὶ διάφορα πρόσωπα εἰσάγει διαλεγόμενα· οἷς καὶ ἤθη παντοῖα περιτίθησιν, ἐνίοτε δὲ καὶ τὰ μὴ ὄντα πρόσωπα ἀναπλάσσει, οἷον,

Ἤ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς.

LXVII. Ἔστι δὲ καὶ ἡ Διατύπωσις, ἐξεργασία πραγμάτων, ἢ γενομένων, ἢ ὄντων, ἢ πραχθησομένων, εἰς τὸ παραστῆσαι ἐναργέστερον τὸ λεγόμενον· ὡς ἐν τούτῳ,

Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει·

Τέκνα δέ τ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας.

ἢ πρὸς τὸ οἰκτον κινῆσαι,

Δύσμορον· ὃν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ

Αἴσῃ ἐν ἀργαλέῃ φθίσει κακὰ πόλλ' ἐπιδόντα,

Τιάς τ' ὀλλυμένους, ἑλκυσθείσας τε θύγατρας,

Καὶ θαλάμους κεραΐζομένους, καὶ νήπια τέκνα

Βαλλόμενα προτὶ γαίῃ ἐν αἰνῇ δηϊοτῆτι.

LXVIII. Ἔστι καὶ Εἰρωνεία παρ' αὐτῷ, λόγος δεὶ τοῦ ἐναντίου δηλῶν τὸ ἐναντίον, μετά τινος ἠθικῆς ὑποκρίσεως· οἷόν ἐστι τὸ τοῦ Ἀχιλλέως,

Ἀλλ' Ὀδυσεῦ σὺν σοί τε καὶ ἄλλοῖσι βασιλεῦσι

Φραζέσθω νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ.

καὶ,

— ὁ δ' Ἀχαιῶν ἄλλον ἐλέσθω

Ὅστις οἵ γ' ἐπέοικε, καὶ ὃς βασιλεύτερός ἐστιν·

ἐμφαίνει γὰρ ὅτι οὐκ ἂν ἕτερον εὕροι βασιλικώτερον. καὶ οὗτος μὲν ὁ τρόπος ἐστὶν, ὅταν περὶ ἑαυτοῦ λέγῃ τις εὐτελῶς, ἵνα τὴν ἐναντίαν δόξαν παράσχῃ. ἕτερος δὲ, ὅταν τις ἄλλον ἐπαινεῖν προσποιῆται, τῇ ἀληθείᾳ ψέγων· καὶ τοῦτό ἐστι παρ' Ὁμήρῳ λεγόμενον ὑπὸ Τηλεμάχου,

Ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὣς πήδεαι υἷος·

τῷ γὰρ ἐχθρῷ λέγει, ὅτι ὡς πατὴρ υἱοῦ περῥόντιπας,

καὶ πάλιν, ὅταν χλευάζων τις ἐπαίρῃ τὸν πέλας, ὡς μνηστῆρες,

Ἦ μάλα Τηλέμαχος φόνον ἡμῖν μερμηρίζει,
Ἤ τινας ἄξει ὑμὴν ιορας ἐκ Ἰλίου ἠμαθόεντος,
Ἤ νυ καὶ ἐκ Σπάρτηθεν, ἐπεὶ νύ περ ἔσται ἀνωγῆς.

LXIX. Ἔστι δέ τι εἶδος Εἰρωνείας καὶ ὁ Σαρκασμὸς, ἐπειδάν τις δι᾽ ὧν ἐναντίων ὀνειδίζων τινὶ, μεταποιεῖται μειδιάματος· ὡς Ἀχιλλεὺς,

Τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ᾽ ἀπὸ μοῦνον Ἀχαιοὺς
Εἴλετ᾽, ἔχει δ᾽ ἄλοχον θυμαρέα, τῇ παριαύων
Τερπέσθω.

LXX. Τούτοις παραπλησίως ἔχει καὶ ἡ Ἀλληγορία, ἥπερ ἕτερον δι᾽ ἑτέρου παρίστησιν· οἷόν ἐστι τοῦτο,

Νῦν μὲν δὴ μάλα πάγχυ Μελάνθιε νύκτα φυλάξεις,
Εὐνῇ ἐνὶ μαλακῇ κατακείμενος, ὡς ἐπέοικε·

τὸν γὰρ ἐν δεσμοῖς ὄντα καὶ ἀνηρτημένον, ἐν παχείᾳ ἀπαλῇ ὑπνώσσειν λέγει.

LXXI. Κέχρηται πολλύκις καὶ τῇ Ὑπερβολῇ, ὑπεραίρουσα τὴν ἀλήθειαν, πολλὴν ἐπίτασιν ἐμφαίνουσα οἷον,

Λευκότεροι χιόνος, θείειν δ᾽ ἀνέμοισιν ὁμοῖοι.

τοιούτοις μὲν δὴ Τρόποις καὶ Σχήμασι χρησάμενος Ὅμηρος, καὶ τοῖς μετ᾽ αὐτὸν ὑποδείξας, τῆς ἐπὶ τούτοις εὐδοξίας πρὸς πάντων δικαίως τυγχάνει.

LXXII. Ἐπεὶ δὲ καὶ Χαρακτῆρές εἰσι τῶν λόγων τὰ καλούμενα Πλάσματα, ὧν τὸ μὲν ἁδρὸν, τὸ δ᾽ ἰσχνὸν, τὸ δὲ μέσον λέγεται· ἴδωμεν εἰ πάντα ἐστὶ παρ᾽ Ὁμήρῳ, τῶν μὲν μετ᾽ αὐτὸν ποιητῶν ἢ λογογράφων ἐπιτηδευσάντων ἕν τι τούτων ἑκάστου. ὧν καὶ ἔσται παραδείγματα. Θουκυδίδου μὲν, τὸ ἁδρόν· Λυσίου δὲ, τὸ ἰσχνόν· Δημοσθένους δὲ, τὸ μέσον. τὸ μὲν οὖν ἁδρὸν πλάσμα ἐκεῖνό ἐστι τὸ καὶ τῇ τῶν λέξεων, καὶ τῇ τῶν νοημάτων κατασκευῇ μεγάλας ἔχον ἐμφάσεις· οἷόν ἐστιν,

Ὡς εἰπὼν, σύναγεν νεφέλας· ἐτίναξε δὲ πόντον,
Χερσὶ τριαίναν ἑλών· πᾶσας δ᾽ ὀρίνθυνεν ἀέλλας
Παντοίων ἀνέμων· σὺν δὲ νεφέεσσι κάλυψε

Γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ.
ἰσχνὸν δὲ, τὸ καὶ τῇ ὕλῃ τῶν πραγμάτων μικρὸν, καὶ τῇ λέξει κατισχνωμένον· οἷόν ἐστι τοῦτο,

Ὣς εἰπὼν, οὐ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ·
Ἄψ δ' ὁ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης,
Ἐκλίνθη ἰάχων, πατρὸς φίλου ὄψιν ἀτυχθείς,
Ταρβήσας χαλκόν τ' ἠδ' αὐ λόφον ἱππιοχαίτην.

μέσον δὲ, τὸ ἑκατέρου τοίτων μεταξὺ, τοῦ μὲν ἰσχνότερον, τοῦ δὲ ἁδρύτερον, οἷον,

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεὺς,
Ἄλτο δ' ἐπὶ μέγαν οὐδὸν, ἔχων βιὸν, ἠδὲ φαρέτρην,
Ἰὸν ἐμπλείην, ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
Αὐτοῦ πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔειπεν.

LXXIII. Ὅτι δὲ καὶ τὸ ἀνθηρὸν εἶδος τῶν λόγων ἐστὶ πολὺ παρὰ τῷ ποιητῇ, κάλλος ἔχον καὶ χάριν ἐς τὸ τέρπειν καὶ ἥδειν, ὥσπερ ἄνθος, τί ἄν τις καὶ λέγοι; μεστὴ γάρ ἐστιν ἡ ποίησις τῆς τοιαύτης κατασκευῆς. ἡ μὲν δὴ τῆς φράσεως ἰδέα τοιαύτην ἔχει ποικιλίαν παρὰ τῷ Ὁμήρῳ, οἵαν διήλθομεν, ὀλίγα παραδείγματα θέμενοι, ἐξ ὧν ἐστι καὶ τὰ ἄλλα κατανοεῖν.

LXXIV. Ἐπεὶ δὲ παντὸς τοῦ ἀσκουμένου παρ' ἀνθρώποις λόγου, ὁ μέν τις, ἐστὶν Ἱστορικὸς, ὁ δὲ Πολιτικὸς, φέρε θεασώμεθα εἰ καὶ ταύτων εἰσὶν αἱ ἀρχαὶ παρ' αὐτῷ. ὁ μὲν δὴ Ἱστορικὸς, ἐστὶν ὁ τῶν γεγονότων πραγμάτων ἔχων διήγησιν. πάσης δὲ διηγήσεως ἀφορμαὶ γίνονται, πρόσωπον, αἰτία, τόπος, χρόνος, ὄργανον, πρᾶξις, πάθος, τρόπος· καὶ οὐδὲν τοίτων ἔξω ἐν ἱστορίᾳ περιέχει οὐδεμία διήγησις. οὕτως ἐστὶ παρὰ τῷ ποιητῇ πολλὰ πράγματα, ὡς γεγονότα, ἢ ὡς ὄντα διηγουμένῳ. ἐνίοτε δὲ καὶ ἐν ἑκάστῳ τούτων διηγήσεις εὑρεῖν ἐστι.

LXXV. *Προσώπου μὲν*, ὡς τὸ τοιόνδε,

Ἦν δέ τις ἐν Τρώεσσι Δάρης ἀφνειὸς, ἀμύμων,
Ἱρεὺς Ἡφαίστοιο· δύο δὲ οἱ υἱέε ἦστην,
Φηγεὺς, Ἰδαῖός τε, μάχης εὖ εἰδότε πάσης.

καὶ ἐν οἷς εἴδη τινῶν διαγράφει, ὡς ἐπὶ τοῦ Θερσίτου,

Φολκὸς ἦν, χωλὸς δ' ἕτερον πόδα· τὼ δέ οἱ ὦμω

καὶ πάλιν, ὅταν χλευάζων τις ἐπαίρῃ τὸν πέλας, ὡς ὁ μνηστῆρες,

Ἦ μάλα Τηλέμαχος φόνον ἡμῖν μερμηρίζει,
Ἢ τινας ἄξει ὑμὺνιορας ἐκ Πύλου ἠμαθόεντος,
Ἦ νυ καὶ ἐκ Σπάρτηθεν, ἐπεὶ νύ περ ἵεται αἰνῶς.

LXIX. Ἔστι δέ τι εἶδος Εἰρωνείας καὶ ὁ Σαρκασμὸς, ἐπειδάν τις διὰ τῶν ἐναντίων ὀνειδίζων τινὶ, μεταποιεῖται μειδιάματος· ὡς Ἀχιλλεὺς,

Τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μοῦνου Ἀχαιοὶ
Εἵλεθ', ἔχει δ' ἄλοχον θυμαρέα, τῇ παριαύων
Τερπέσθω.

LXX. Τούτοις παραπλησίως ἔχει καὶ ἡ Ἀλληγορία, ἥπερ ἕτερον δι' ἑτέρου παρίστησιν· οἷόν ἐστι τοῦτο,

Νῦν μὲν δὴ μάλα πάγχυ Μιλάνθιε νύκτα φυλάξεις,
Εὐνῇ ἐνὶ μαλακῇ καταλέγμενος, ὡς ἐπέοικε·

τὸν γὰρ ἐν δεσμοῖς ὄντα καὶ ἀνηρτημένον, ἐν κοίτῃ ἁπαλῇ ὑπνώσειν λέγει.

LXXI. Κέχρηται πολλάκις καὶ τῇ Ὑπερβολῇ, ἥτις ὑπεραίρουσα τὴν ἀλήθειαν, πολλὴν ἐπίτασιν ἐμφαίνει, οἷον,

Λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

τοιούτοις μὲν δὴ Τρόποις καὶ Σχήμασι χρησάμενος Ὅμηρος, καὶ τοῖς μετ' αὐτὸν ὑποδείξας, τῆς ἐπὶ τούτοις εὐδοξίας πρὸς πάντων δικαίως τυγχάνει.

LXXII. Ἐπεὶ δὲ καὶ Χαρακτῆρές εἰσι τῶν λόγων τὰ καλούμενα Ἰλλύσματα, ὧν τὸ μὲν ἁδρὸν, τὸ δ' ἰσχνὸν, τὸ δὲ μέσον λέγεται· ἴδωμεν εἰ πάντα ἐστὶ παρ' Ὁμήρῳ, τῶν μὲν μετ' αὐτὸν ποιητῶν ἢ λογογράφων ἐπιτηδευσάντων ἕν τι τούτων ἑκάστου. ὧν καὶ ἔστι παραδείγματα. Θουκυδίδου μὲν, τὸ ἁδρόν· Λυσίου δὲ, τὸ ἰσχνόν· Δημοσθένους δὲ, τὸ μέσον. τὸ μὲν οὖν ἁδρὸν πλάσμα ἐκεῖνό ἐστι τὸ καὶ τῇ τῶν λέξεων, καὶ τῇ τῶν νοημάτων κατασκευῇ μεγάλας ἔχον ἐμφάσεις· οἷόν ἐστιν,

Ὡς εἰπὼν, σύναγεν νεφέλας· ἐτίναξε δὲ πόντον,
Χερσὶ τριαίνην ἑλών· πᾶσας δ' ὀρώρυσσεν ἀέλλας
Παντοίων ἀνέμων· σὺν δὲ νεφέεσσι κάλυψε

Γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ.
ἰσχνὸν δὲ, τὸ καὶ τῇ ὕλῃ τῶν πραγμάτων μικρὸν, καὶ τῇ λέξει κατισχνωμένον· οἷόν ἐστι τοῦτο,

Ὡς εἰπὼν, οὐ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ·
Ἆψ δ' ὁ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης,
Ἐκλίνθη ἰάχων, πατρὸς φίλου ὄψιν ἀτυχθείς,
Ταρβήσας χαλκόν τ' ἠδ' αὐ λόφον ἱππιοχαίτην.

μέσον δὲ, τὸ ἑκατέρου τούτων μεταξὺ, τοῦ μὲν ἰσχνότερον, τοῦ δὲ ἁδρύτερον, οἷον,

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεὺς,
Ἄλτο δ' ἐπὶ μέγαν οὐδὸν, ἔχων βιὸν, ἠδὲ φαρέτρην,
Ἰῶν ἐμπλείην, ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
Αὐτοῦ πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔειπεν.

LXXIII. Ὅτι δὲ καὶ τὸ ἀνθηρὸν εἶδος τῶν λόγων ἐστὶ πολὺ παρὰ τῷ ποιητῇ, κάλλος ἔχον παὶ χάριν ἐς τὸ τέρπειν καὶ ἥδειν, ὥσπερ ἄνθος, τί ἂν τις καὶ λέγοι; μιστὴ γάρ ἐστιν ἡ ποίησις τῆς τοιαύτης κατασκευῆς. ἡ μὲν δὴ τῆς φράσεως ἰδέα τοιαύτην ἔχει ποικιλίαν παρὰ τῷ Ὁμήρῳ, οἵαν διήλθομεν, ὀλίγα παραδείγματα θέμενοι, ἐξ ὧν ἐστι καὶ τὰ ἄλλα καταφανῆ.

LXXIV. Ἐπεὶ δὲ παντὸς τοῦ ἀσκουμένου περὶ ἀνθρώπους λόγου, ὁ μέν τις, ἐστὶν Ἱστορικὸς, ὁ δὲ Πολιτικὸς, φέρε θεασώμεθα εἰ καὶ ταύτων εἰσὶν αἱ ἀρχαὶ παρ' αὐτῷ. ὁ μὲν δὴ Ἱστορικὸς, ἐστὶν ὁ τῶν γεγονότων πραγμάτων ἔχων διήγησιν. πάσης δὲ διηγήσεως ἀφορμαὶ γίνονται, πρόσωπον, αἰτία, τόπος, χρόνος, ὄργανον, πρᾶξις, πάθος, τρόπος· καὶ οὐδὲν τούτων ἔξω ἐν ἱστορίᾳ περιέχει οὐδεμία διήγησις. οὕτως ἐστὶ παρὰ τῷ ποιητῇ πολλὰ πράγματα, ὡς γεγονότα, ἢ ὡς ὄντα διηγουμένῳ. ἐνίοτε δὲ καὶ ἐν ἑκάστῳ τούτων διηγήσεις εὑρεῖν ἐστι.

LXXV. Προσώπου μὲν, ὡς τὸ τοιόνδε,

Ἦν δέ τις ἐν Τρώεσσι Δάρης ἀφνειὸς, ἀμύμων,
Ἱερεὺς Ἡφαίστοιο· δύο δὲ οἱ υἱέε ἦστην,
Φηγεύς, Ἰδαῖός τε, μάχης εὖ εἰδότε πάσης.

καὶ ἐν οἷς εἶδη τινῶν διαγράφει, ὡς ἐπὶ τοῦ Θερσίτου,

Φολκὸς ἦην, χωλὸς δ' ἕτερον πόδα· τὼ δέ οἱ ὤμω

Κυρτὼ, ἐπὶ στῆθος συνοχωκότε· αὐτὰρ ὕπερθε
Φοξὸς ἔην κεφαλὴν, ψεδνὴ δ' ἐπενήνοθε λάχνη.
καὶ ἄλλα πολλὰ, ἐν οἷς ἢ εἶδος, ἢ τρόπον, ἢ πρᾶξιν, ἢ τύχην προσώπου διέξεισι πολλάκις· ὡς ἐν τούτοις,
Δάρδανον ἄρ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς·
καὶ τὰ ἑξῆς.

LXXVI. *Τόπου δέ ἐστι παρ' αὐτῷ διήγησις, ὁποίαν περὶ τῆς νήσου τῆς γειτνιώσης τῇ τῶν Κυκλώπων λέγει, ἐν οἷς τὸ εἶδος τοῦ τόπου διαγράφει, καὶ τὸ πηλίκον, καὶ τὸ ὁποῖον αὐτῇ, καὶ τὰ ἐν αὐτῇ, καὶ τὰ παρ' αὐτῇ· καὶ περὶ τῶν παρακειμένων τῷ ἄντρῳ τῆς Καλυψοῦς,*
Ἴλη δὲ σπέος ἀμφιπεφύκει τηλεθόωσα,
Κλήθρη τ', αἴγειρός τε, καὶ εὐώδης κυπάρισσος·
καὶ τα ἑξῆς. καὶ μυρία ἄλλα τοιαῦτα.

LXXVII. *Χρόνου δὲ, οἷον,*
Ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί·
καὶ,
Χθιζά τε καὶ πρώϊζ' ὅτ' ἐς Αὐλίδα νῆες Ἀχαιῶν
Ἠγερέθοντο, κακὰ Πριάμῳ καὶ Τρωσὶ φέρουσαι.

LXXVIII. *Αἰτίας δὲ ἐν οἷς ἐμφαίνει, δι' ὅ γίνεταί τι, ἢ γέγονεν· οἷά ἐστι τὰ ἐν ἀρχῇ τῆς Ἰλιάδος εἰρημένα,*
Τίς δ' ἄρ σφῶε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ Διὸς υἱός· ὃ γὰρ βασιλῆϊ χολωθεὶς,
Νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν· ὀλέκοντο δὲ λαοί·
Οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα
Ἀτρείδης.
καὶ τὰ ἑξῆς. ἐν γὰρ τούτοις λέγει τὰς αἰτίας, τῆς μὲν Ἀχιλλέως καὶ Ἀγαμέμνονος διαφορᾶς, τὸν λοιμόν· τοῦ δὲ λοιμοῦ, τὸν Ἀπόλλωνος χόλον· τοῦ δὲ χόλου, τὴν ὕβριν τὴν εἰς τὸν ἱερέα τοῦ δαίμονος.

LXXIX. *Ὀργάνου δὲ διήγησιν, ὁποίαν διέξεισι τῆς ἀσπίδος, ἣν Ἥφαιστος Ἀχιλλεῖ κατεσκεύασε. καὶ ἄλλα σύντομος περὶ τοῦ Ἕκτορος δόρατος,*
Ἐν δ' Ἕκτωρ εἰσῆλθε Διὶ φίλος, ἐν δ' ἄρα χωρὶ

Ἔγχος ἔχ' ἐνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸς
Αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης.

LXXX. *Πράξεως δὲ διηγήσεις εἶεν ἄλλαί τε, καὶ αἱ τοιαίδε·*

Οἱ δ' ὅτε δὴ ῥ' ἐς χῶρον ἵνα ξυνιόντες ἔκοντο,
Σὺν ῥ' ἴβαλον ῥινοὺς, σὺν δ' ἴγχεα, καὶ μένε' ἀνδρῶν
Χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὁμφαλόεσσαι
Ἔπληντ' ἀλλήλῃσι· πολὺς δ' ὀρυμαγδὸς ἐρώρει.

LXXXI. *Πάθους δὲ διήγησίς ἐστιν, ἐν ᾗ τὸ συμβαῖνον ἐξ αἰτίου, ἢ ἐξ ἐνεργείας τινὸς σαφηνίζεται· ὁποῖά φησι περὶ τῶν ὑπὸ ὀργῆς, ἢ φόβου, ἢ λύπης κατεχομένων, ἢ τιτρωσκομένων, ἢ ἀποκτεινομένων, ἢ ἄλλο τι τοιοῦτο πασχόντων. ἐξ αἰτίου μὲν,*

Ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
Πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην.

ἐξ ἐνεργείας δὲ,

Αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι,
Πλοχμοὶ θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.

LXXXII. *Ὁ δὲ τρόπος ἐστὶ ποιητικὸς πράξεως, ἢ παθήματος, ἢ σχέσεώς τινος· καθ' ἣν τὸ μὲν ὧδέ τι ἐνεργεῖ, τὸ δὲ, ὧδέ πως ἔχει, καὶ πάσῃ ἀκολουθεῖ τῇ τοιαύτῃ διηγήσει· παράδειγμα δὲ αὐτοῖ τὸ τοιόνδ' ἂν εἴη,*

Τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ·
Ἐκλίνθη δ' ἐτέρωσε· δέπας δέ οἱ ἔκπεσε χειρὸς
Βλημένου· αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν,
Αἵματος ἀνδρομέοιο·

καὶ τὰ ἑξῆς.

LXXXIII. *Ἔστι δὲ διήγησις παρ' αὐτῷ, ὡς μὲν ἐπὶ τὸ πλεῖστον πλατεῖαν φράσιν, καὶ ἐξεργασίαν ἁρμόζουσαν τοῖς ὑποκειμένοις ἔχουσα· ἐνίοτε δὲ εὐτονος, ὡς ἡ τοιαύτη,*

Κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφιμάχονται
Γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.

τοῦτο δὲ τὸ εἶδος πολλάκις ἐστὶ χρήσιμον· τὸ γὰρ τάχος τῶν λόγων εὐτονώτερον καθίστησι καὶ τὸν λόγον

τα, καὶ τὸν ἀκροώμενον, καὶ ῥᾳδίως τυγχάνει τοῦ προκειμένου.

LXXXIV. Διηγεῖται δὲ ποτὲ μὲν ψιλῶς, ποτὲ δὲ μετὰ εἰκόνος, ἢ ὁμοιώσεως, ἢ παραβολῆς. εἰκόνος μὲν, ὡς ὅταν εἴπῃ,

Ἡδ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἱκέλη, ἠὲ χρυσῇ Ἀφροδίτῃ.

ὁμοιώσεως δὲ, οἷον,

Αὐτὸς δὲ κτίλος ὣς ἐπεπωλεῖτο στίχας ἀνδρῶν.

παραβολῆς δὲ, ὅταν παραπλησίων πραγμάτων παράθεσιν ποιήσηται, ἔχουσαν ἀνταπόδοσιν τὴν ἀπὸ τοῦ προκειμένου διηγήματος. καὶ ἔστι παρ' αὐτῷ ποικίλα τὰ εἴδη τῶν παραβολῶν· συνεχῶς γὰρ καὶ πολυτρόπως παρατίθησι ταῖς τῶν ἀνθρώπων πράξεσι καὶ σχέσεσι ζώων ἄλλων ἐνεργείας καὶ φύσεις.

LXXXV. Καὶ ἔστι μὲν ὅταν ἀπὸ τῶν ἐλαχίστων ποιῆται τὴν ὁμοίωσιν, οὐ πρὸς τὸ μέγεθος τοῦ σώματος, ἀλλὰ πρὸς τὴν φύσιν ἑκάστου ἀφορῶν. ὅθεν τὴν μὲν ἰταμότητα ἀπείκασε μυίᾳ,

Καὶ οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἔθηκε.

καὶ τὴν συνέχειαν τῷ αὐτῷ ζώῳ,

Ἠΰτε μυιάων ἀδινάων ἔθνεα πολλά.

τὸν δὲ ἀθροισμὸν καὶ τὴν πολυπλήθειαν μετ' εὐταξίας, μελίσσαις,

Ἠΰτ' ἔθνεα εἶσι μελισσάων ἀδινάων.

οὕτω δὲ καὶ τὴν ὀργὴν καὶ τὴν δίωξιν ἔδειξεν, εἰπὼν,

— σφήκεσσιν ἐοικότες εἰνοδίοισι·

καὶ ἔτι προσθεὶς,

Οὓς παῖδες ἐριδαίνουσιν ἔθοντες,

ἵνα μᾶλλον τὸ ἐκ φύσεως αὐτῶν θυμοειδὲς τῷ ἀπὸ τῶν παίδων ἐρεθισμῷ ἐπιτείνῃ. ἐπὶ δὲ συνεχοῦς φωνῆς φησὶν

Ἐσθλοὶ τεττίγεσσιν ἐοικότες·

λαλίστατον γὰρ τὸ ζῶον, καὶ ἄπαυστον ἐν τούτῳ.

LXXXVI. Τῶν δὲ ἀσυντάκτως φερομένων φωνὰς παμμιγεῖς οὕτως εἴκασεν·

Ἠΰτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό.

τὰ δὲ εἰς τάξιν καθιστάμενα πλήθη τοῖς καθημένοις
ὀρνέοις ὁμοιοῖ,
Κλαγγηδὸν προκαθιζόντων.
τὴν δὲ ὀξύτητα τῆς ὄψεως καὶ τῆς πράξεως, ποτὲ μὲν
ἱέρακι παραβάλλει,
Ὤκεῖ, φασσοφόνῳ, ὅς τ' ὤκιστος πετεηνῶν·
ποτὲ δὲ ἀετῷ,
Ὃν τε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε
πτώξ·
παρίστησι γὰρ τὴν ὀξυδέρκειαν ἐν τῷ πόρρωθεν ἰδεῖν·
τὸ δὲ τάχος, ἐν τῷ ποδωκέστατον ζῷον ἑλεῖν. τὸν δὲ
ἐκπλαγέντα πρὸς ὄψιν πολεμίου, δράκοντος δράματι
προσείκασεν, οὐκ ὀκνήσας οὐδ' ἀπὸ τῶν ἐρπετῶν παρα-
δείγματα λαβεῖν,
Ὡς δ' ὅτε τις δράκοντα ἰδὼν, παλίνορσος ἀπέστη.
ἀπὸ δὲ τῶν ἄλλων ζώων, δειλίας μὲν ἀπὸ τοῦ λαγωοῦ
λαμβάνει, καὶ ἀπὸ τῆς ἐλάφου ὁμοίως,
Τίφθ' οὕτως ἕστητε τεθηπότες ἠΰτε νέβροι ;
κυνῶν δὲ, ὅτε μὲν ἀλκὴν,
Ὡς δ' ὅτε καρχαρόδοντε δύω κύνε, οἵ τ' ἐπὶ θήρης·
ὅτε δὲ φιλοτεκνίαν,
Ὡς δὲ κύων ἀπαλῇσι περὶ σκυλάκεσσι βεβῶσα·
ὅτε δὲ προθυμίαν πρὸς τὸ φυλάσσειν,
Ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσονται ἐν αὐλῇ.

LXXXVII. Ἁρπαγὴν δὲ ἅμα μυθικῶς καὶ ἰταμῶς
πρασσομένην, λύκοις εἴκασεν,
Ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον, ἢ ἐριφοισι.
τὸ δὲ ἄλκιμον καὶ ἄτρεπτον, διά τε συῶν ἀγρίων, καὶ
παρδάλεων, καὶ λεόντων ἔδειξε, μερίζων ἑκάστῳ τὸ πρὸς
τὴν φύσιν οἰκεῖον. τῶν μὲν συῶν τὴν ὁρμὴν, ἣν ἔχει
πρὸς μάχην, ἀνυπόστατον ποιῶν,
Ἰδομενεὺς δ' ἄρ' ἐνὶ πρώτοισι σὺς ἔλασε ἀλκήν·
τῶν δὲ παρδάλεων τὸ ἄπαυστον τῆς τόλμης,
Ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένῃ οὔκ ὀπολήγει·
λεόντων δὲ τὸ μέλλον μὲν, εἰς τέλος δὲ, γενναῖον,
Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
Μαστίεται.

πάλιν δὲ παραβάλλει δρόμον ἀνδρὸς γενναίου ἵππ
τροφῆς κεκορεσμένῳ,

Ὡς δ' ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ.
καὶ τοὐναντίον βραδεῖαν κατὰ πορείαν, ἀήττητον δὲ
τῷ καρτερεῖν, οὕτως ἤδειξεν,

Ὡς δ' ὅτε ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας.
σχῆμα δὲ βασίλειον καὶ ὑπερέχον ἐτύπωσε διὰ τούτω

Ἥϋτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων.

LXXXVIII. Οὐ κατέλιπε δὲ οὐδὲ τῶν θαλασσίω
ζώων ὁμοιότητας. πολύποδος μὲν τὸ παράμονον κ
δυσαπόσπαστον τῶν πετρῶν,

Ὡς δ' ὅτε πουλύποδος θαλάμης ἐξελκομένοιο.

δελφῖνος δὲ τὸ ἡγεμονικὸν καὶ κρατιστεῦον τῶι ἄλλω

Ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι.

LXXXIX. Πολλάκις δὲ τὰ ὑπὸ ἀνθρώπων πρα
σόμενα ἄλλως ὁμοίως πράξασι παραβάλλει, ὥσπερ
τούτῳ,

Οἱ δ' ὥς τ' ἀμητῆρες ἐναντίον ἀλλήλοισι,
τὴν ἔνστασιν καὶ καρτερίαν δεικνύων τῶν ἀνδρῶν.
δ' ἀγεννῶς δακρύοντι ὀνειδίζει μετὰ ἐναργοῦς ὁμοι
σεως,

Τίπτε δεδάκρυσαι Πατρόκλεις, ἠΰτε κούρη
Νηπίη.

XC. Ἐτόλμησε δὲ καὶ τοῖς στοιχείοις παραλαβ
πράξεις ἀνθρωπίνας, ὡς ἐν τούτῳ,

Ὡς ἔφατ'. Ἀργεῖοι δὲ μέγ' ἴαχον, ὥς ὅτε κῦμα
Ἀκτῇ ἐφ' ὑψηλῇ, ὅτε κινήσει νότος ἐλθὼν
Προβλῆτι σκοπέλῳ· τὸν δ' οὔποτε κύματα λείπει
Παντοίων ἀνέμων, ὅταν ἔνθ' ἢ ἔνθα γένωνται·

ἐν οἷς δῆλός ἐστι καὶ ὑπερβολῇ, καὶ αὐξήσει κεχρημ
νος. οὐ γὰρ ἤρκεσε κύματος ἦχω τὴν κραυγὴν ἀπε
κάσαι, ἀλλὰ τῶν προφερομένων ἀκτῇ ἐφ' ὑψηλῇ, ὅπε
μετεωριζόμενον τὸ κῦμα μείζονα ἦχον ἀποτελεῖ· κ
οὐχ ἁπλῶς κῦμα, ἀλλὰ τὸ κινηθὲν ἀπὸ νότου, τοῦ μά
λιστα τὰ ὑγρὰ κινοῦντος· καὶ ἐπὶ σκοπέλῳ προβλῆτ
τῷ ἀνατεταμένῳ εἰς τὸ πέλαγος, καὶ περικλυζομένω
αὐτοῦ, ὃς καὶ ἀδιάλειπτον ἔχει τὸν κλύδωνα, ὃτ

ἂν προσπίπτωσιν οἱ πνέοντες ἄνεμοι. τοιαῦτα μέν ἐστι τὰ τῆς ἐν τῷ διηγεῖσθαι ἐξεργασίας παρ' αὐτῷ· ὅπερ ἔνεστι καὶ ἐπὶ τῶν πολλῶν κατανοεῖν, ἐκ τῶν ὀλίγων παραδειγμάτων.

XCI. Σκεψώμεθα δὲ καὶ τὰ λοιπὰ εἴδη τῶν λόγων, εἰ ἔστι παρὰ τῷ Ὁμήρῳ, πρῶτῳ καὶ τὰς ἐννοίας αὐτῶν λαβόντι, καὶ ἐναργῶς κατασκευάσαντι. ὁμοίως ὀλίγα παραδείγματα παρατεθέντα, καὶ τὰ ἄλλα νοεῖν παρασκευάσει.

XCII. Ὁ δὲ Θεωρητικὸς λόγος ἐστὶν, ὃ περιέχων τὰ καλούμενα θεωρήματα, ἅπερ ἐστὶ γνῶσις τῆς ἀληθείας, γινομένη μετὰ τέχνης· ἀφ' ὧν ἐστι τὴν φύσιν τῶν ὄντων, θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, κατανοεῖν, καὶ τὰς περὶ τὸ ἦθος ἀρετὰς καὶ κακίας διαιρεῖν, καὶ ἥ τινι τέχνῃ λογικῇ μετέρχεσθαι τὴν ἀληθειαν προσήκει, μανθάνειν. τοῦτα δὲ μετεχειρίσαντο οἱ ἐν φιλοσοφίᾳ διατρίψαντες· ἧς ἔτι μέρη, τὸ φυσικὸν, καὶ ἠθικὸν, καὶ διαλεκτικόν. ἐν δὴ πᾶσι τούτοις τὰς ἀρχὰς καὶ τὰ σπέρματα ἐνδιδόντα Ὁμηρον εἰ καταμάθοιμεν, πῶς οὐκ ἂν εἴη πρὸ πάντων θαυμάζεσθαι ἄξιος; εἰ δὲ δι' αἰνιγμάτων, καὶ μυθικῶν λόγων τινῶν ἐμφαίνεται τὰ νοήματα, οὐ χρὴ παράδοξον ἡγεῖσθαι. τοῦτο γὰρ αἴτιον ποιητικῆς, καὶ τῶν ἀρχαίων ἦθος, ὅπως οἱ μὲν φιλομαθοῦντες μετά τινος εὐμουσίας ψυχαγωγούμενοι, ῥᾷον ζητῶσί τε, καὶ εὑρίσκωσι τὴν ἀλήθειαν· οἱ δὲ ἀμαθεῖς μὴ καταφρονῶσι τούτων ὧν οὐ δύνανται συνιέναι. καὶ γὰρ ἐστί πως, τὸ μὲν δι' ὑποτοίας σημαινόμενον, ἀγαστόν· τὸ δὲ φανερῶς λεγόμενον, εὐτελές.

XCIII. Ἀρξώμεθα τοίνυν ἀπὸ τῆς τοῦ παντὸς ἀρχῆς καὶ γενέσεως, ἣν Θαλῆς ὁ Μιλήσιος εἰς τὴν τοῦ ὕδατος οὐσίαν ἀναφέρει· καὶ θεασώμεθα, εἰ πρῶτος Ὁμηρος τοῦθ' ὑπέλιβεν, εἰπών

Ὠκεανός θ' ὅσπερ γένεσις πάντεσσι τέτυκται.

μετ' ἐκεῖνον δὲ Ξενοφάνης ὁ Κολοφώνιος, ὑφιστάμενος τὰς πρώτας ἀρχὰς εἶναι τὸ ὕδωρ καὶ τὴν γῆν, ἴσως σπάσαι τὴν ἀφορμὴν ταύτην ἐκ τῶν Ὁμηρικῶν τούτων, Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖαν γένεσθε·

σημαίνει γὰρ τὴν ἀνάλυσιν εἰς τὰ γεννητικὰ στοιχεῖα τοῦ παντός. ἡ δὲ μάλιστα ἀληθὴς δόξα τέτταρα στοιχεῖα συνίστησι, πῦρ, ἀέρα, ὕδωρ, γῆν. ταῦτα δὲ καὶ Ὅμηρος εἰδὼς φαίνεται, μνημονεύων ἐν πολλοῖς αὐτῶν ἑκάστου.

XCIV. Καὶ τὴν τάξιν δὲ αὐτῶν ὅπως ἔχει κατίμαθον. ὅτι μὲν γὰρ ἡ γῆ κατωτάτω πάντων ἐστὶ, θεσσώμεθα. σφαιροειδοῦς γὰρ ὄντος τοῦ Κόσμου, ὁ μὲν περιέχων τὰ πάντα οὐρανὸς, τὸν ἄνω τόπον ἐπέχειν εἰκότως λέγοιτ' ἄν· ἡ δὲ γῆ, ἐν μέσῳ οὖσα πανταχόθεν, κατωτέρω τοῦ περιέχοντος ἐστί. τοῦτο δὴ ὁ ποιητὴς ἐν τούτοις μάλιστα δηλοῖ, ἐν οἷς φησιν ὁ Ζεὺς, ἀπὸ τοῦ Ὀλύμπου σειρὰν ἀναψάμενος, τὴν γῆν καὶ τὴν θάλασσαν ἀνασπάσειν, ὡς πάντα μετέωρα γενέσθαι,

Ἀλλ' ὅτε κεν καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
Αὐτῇ κεν γαίῃ ἐρυσσαίμ' αὐτῇ τε θαλάσσῃ·
Σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
Δησαίμην, τὰ δέ κ' αὖθι μετήορα πάντα γένοιτο.

XCV. Ὑπὲρ δὲ γῆς ὄντος τοῦ ἀέρος, τὸν αἰθέρα ὑψηλότερον εἶναί φησιν οὕτως,

Εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἢ τότ' ἐν Ἴδῃ
Ἀκροτάτῃ πεφυυῖα, δι' ἠέρος αἰθέρ' ἵκανε·
τοῦ δὲ αἰθέρος ἀνωτέρω τὸν οὐρανὸν,
Ὡς οἱ μὲν μάρναντο· σιδήρειος δ' ὀρυμαγδὸς
Χάλκεον οὐρανὸν ἵκε δι' αἰθέρος ἀτρυγέτοιο.

καὶ ἔτι ἐν τούτῳ,

Ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε·
τὸ γὰρ καθαρώτερον τοῦ ἀέρος, ἀνωτάτω ὢν, καὶ τὸ μάλιστ' ἀπέχον τῆς γῆς, καὶ τῶν ἐξ αὐτῆς ἀναθυμιάσεων, ὡς ὅλον λαμπρόν φασιν Ὄλυμπον προσηγορεῖσθαι.

XCVI. Ἐν οἷς δέ φησιν ὁ ποιητὴς συνοικεῖν τῷ Διὶ τὴν Ἥραν οὖσαν ἀδελφὴν, δοκεῖ ταῦτα ἀλληγορεῖσθαι ὅτι Ἥρα μὲν νοεῖται ὁ Ἀὴρ, ὅπερ ἐστὶν ὑγρὰ οὐσία, διὸ καὶ λέγει,

—Ἥέρα δ' Ἥρη
Πίτνα πρόσθε βαθεῖαν.

Ζευς δὲ ὁ Αἰθὴρ, τουτέστιν ἡ πυρώδης, καὶ ἐνθερμος οὐσία,

Ζεὺς δ' ἴλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλησιν.
ἀδελφοὶ μὲν οὖν ἐδοξων διὰ τὴν συνύφειαν, καὶ τὴν κατά τι ὁμοιότητα, ὅτι ἄμφω κοῦροι καὶ κινούμενοι· σύνοικοι δὲ καὶ ὁμόλεκτροι, ὅτε ἐξ αὐτῶν συνιόντων γεννᾶται τὰ πάντα· διὸ καὶ ἐν τῇ Ἰδῃ συνέρχονται, καὶ ἡ γῆ αὐτοῖς φύει τὰς πόας καὶ τὰ ἄνθη.

XCVII. *Τοῦ δὲ αὐτοῦ λόγου ἔχεται κἀκεῖνα, ἐν οἷς φησιν ὁ Ζεὺς κρεμᾶσθαι τὴν Ἥραν, καὶ ἐξάπτεσθαι τῶν ποδῶν αὐτῆς ἄκμονας δύο, τουτέστι τὴν γῆν καὶ τὴν θάλασσαν. μάλιστα δὲ ἐν ἐκείνοις ἐξεργάζεται τὸν περὶ στοιχείων λόγον, διὸ ὧν ὁ Ποσειδὼν λέγει αὐτῷ,*

Τρεῖς γάρ τε Κρόνου ἤμεν ἀδελφεοὶ, οὓς τέκε Ῥεῖα.
Ζεὺς καὶ ἐγὼ, τρίτατος δ' Ἀΐδης ἐνέροισιν ἀνάσσων·
καὶ,

Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς.
καὶ ὅτι ἐν τῇ τοῦ παντὸς ῥοπῇ Ζεὺς μὲν ἔλαχε τὴν τοῦ πυρὸς οὐσίαν, Ποσειδὼν δὲ τὴν τοῦ ὕδατος, Ἀΐδης δὲ τὴν τοῦ ἀέρος· τοῦτον γὰρ λέγει ζόφον ἠερόεντα, ἐπειδὴ φῶς οἰκεῖον οὐκ ἔχει, ἀλλ' ὑπὸ Ἡλίου, καὶ Σελήνης, καὶ τῶν ἄλλων ἄστρων καταλάμπεται.

XCVIII. *Τετάρτη δὲ κατελείφθη καὶ κοινὴ πάντων ἡ γῆ. ἡ μὲν γὰρ τῶν τριῶν στοιχείων οὐσία κινεῖται ἀεὶ, μόνη δὲ ἀκίνητος ἡ γῆ μένει, ἣ καὶ τὸν Ὄλυμπον προσέθηκεν· εἰ μὲν γὰρ ὄρος ἐστὶν, ὡς μέρος τῆς γῆς· εἰ δὲ τοῦ οὐρανοῦ τὸν λαμπρότατον καὶ καθαρώτατον, ὡς καὶ ταύτης οὔσης ἐν τοῖς στοιχείοις πέμπτης οὐσίας, ὅπερ ᾠήθησάν τινες τῶν ἐνδόξων φιλοσόφων. ὥστε κατὰ τὸ εἰκὸς κοινὰ ὑπέθετο εἶναι, τήν τε γῆν κατωτάτω διὰ βαρύτητα, καὶ τὸν Ὄλυμπον ἀνωτάτω ὄντα διὰ κουφότητα, ὅτι εἰς ταῦτα αἱ μεταξὺ φύσεις πῇ μὲν καταφέρονται, πῇ δὲ ἀναφέρονται.*

XCIX. *Τῆς δὲ τῶν στοιχείων φύσεως ἐξ ἐναντίων συνεστώσης, ξηρότητός τε καὶ ὑγρότητος, καὶ θερμό-*



γίας, καὶ κράσεως
βολὰς μὲν μερικὰς ὑπομενούσης,
μὴ ἐπιδεχομένης, Ἐμπεδοκλῆς ἔφη τ
οὕτως,

Ἄλλοτε μὲν φιλότητι συνερχόμεν
Ἄλλοτε δ' αὖτις ἕκαστα, φορείμε
τὴν μὲν συμφωνίαν καὶ ἕνωσιν τῶν
προσαγορεύσας· νεῖκος δὲ, τὴν ἐναν

C. Ἡρὰ δὲ τούτου Ὅμηρος τὴ
κος αἰνίσσεται, ἐν οἷς φησιν Ἥρα π

Εἶμι γὰρ ὀψομένη πολυφόρβου
Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μ
Τοὺς εἶμ' ὀψομένη, καὶ σφ. ἄκρ

Cl. Τοιοῦτον δέ γε καὶ τὴν Α
ρην ὁ μῦθος αἰνίττεται, τῆς μ
παρὰ τῷ Ἐμπεδοκλεῖ ἡ φιλία, τ
νεῖκος. ὅθεν ποτὲ μὲν σύνεισιν
λύονται. ἐλέγχει δὲ αὐτοὺς Ἥλι
τοὺς Ἥφαιστος, λύει δὲ Ποσειδ
ὅτι ἡ ἐνθερμος καὶ ἡ ξηρὰ οἰσ
ἡ ψυχρά τε καὶ ὑγρά, ποτὲ μ
ποτὲ δὲ λύουσιν.

CII. Ἀκολουθεῖ δὲ τούτο

ἐναντίον· τὸν δὲ Ἥφαιστον τῷ ποταμῷ, κατὰ τὸν αὐτὸν λόγον κἀθ' ὃν τὸν ἥλιον τῇ Θαλάσσῃ· Θεατὴν δὲ τῆς μάχης τὸν πρῶτον Θεὸν, καὶ ἐπὶ τούτῳ γεγηθότα.

CIII. Ἐκ δὲ τῶν προειρημένων ἅμα καὶ τοῦτο ὑποδεικνὺς Ὅμηρος φαίνεται, καὶ ὅτι εἷς ἐστιν ὁ κόσμος, καὶ πεπερασμένος. εἰ γὰρ ἄπειρος ἦν, οὐκ ἂν εἰς ἀριθμὸν πέρας ἔχοντα διηρεῖτο. καὶ ἐν τῷ ὀνόματι σημαίνει τὸ σιωπᾷν, ὡς καὶ ἐν ἄλλοις πολλοῖς χρῆται ἀντὶ τοῦ ἡσυχῇ τῷ πληθυντικῷ. σαφέστερον δὲ τὸ αὐτὸ δηλοῖ ἐν τῷ εἰπεῖν,

— πείρατα γαίης·

καὶ πάλιν ἐν οἷς φησιν,

— οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηται
Γαίης καὶ πόντοιο·

καὶ ἐν τῷ,

Ἀκροτάτη κορυφῇ πολυδειράδος Οὐλύμποιο·

ὅπου γάρ ἐστιν ἀκρότης, ἐκεῖ καὶ πέρας.

CIV. Ὅπως δὲ καὶ περὶ Ἰλίου γινώσκει, οὐκ ἄδηλον, ὅτι κυκλοφορικὴν ἔχων δύναμιν, ποτὲ μὲν ὑπὲρ γαίης φαίνεται, αὖθις δὲ ὑπὸ γῆν ἀπεισι. καὶ τοῦτο δῆλον ποιεῖ, λέγων,

Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπη ζόφος οἰδ' ὅπη ἠώς,
Οὐδ' ὅπη Ἥλιος φαεσίμβροτος εἶσ' ὑπὸ Γαῖαν,
Οὐδ' ὅπη ἀνεῖται.

καὶ ὅτι ἀεὶ ὑπὲρ ἡμᾶς ἰὼν, καὶ διὰ τοῦτο ὑπερίων προσαγορευόμενος ὑπὸ αὐτοῦ τοῦ ποιητοῦ, τήνικα ἀνατολὴν ἐκ τοῦ περιέχοντος τὴν γῆν ὕδατος, τουτέστι τοῦ ὠκεανοῦ ποιεῖται, καὶ εἰς αὐτὸν καταδύεται, δηλοῖ σαφῶς, τὴν μὲν ἀνατολὴν κἂν τούτοις,

Ἥλιος δ' ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην,
Οὐρανὸν εἰς πολύχαλκον, ἵν' ἀθανάτοισι φαείνῃ·

τὴν δὲ δύσιν

Ἐν δ' ἔπεσ' ὠκεανῷ λαμπρὸν φάος Ἠελίοιο,
Ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.

CV. Δείκνυσι δὲ αὐτοῦ καὶ τὸ εἶδος,

— λαμπρὸς δ' ἦν Ἥλιος ὥς·

καὶ μέγεθος

Εὔτε γὰρ Ἥλιος φαέθων ὑπερέσχεσθε γαῖαν.
καὶ ἔτι μᾶλλον ἐν τούτῳ,
Ἥμος δ' Ἥλιος μέσον οὐρανὸν ἀμφιβεβήκει·
καὶ τὴν δύναμιν,
Ἥλιος, ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις·
καὶ τὸ ἔμψυχον, καὶ τὸ ἐπὶ τῇ κινήσει αὐτοπροαίρετον
ἐν οἷς ἀπειλεῖ,
Δύσομαι εἰς ἀΐδαο, καὶ ἐν νεκύεσσι φαείνω.
καὶ ἐπὶ τούτῳ ὁ Ζεὺς αὐτὸν παρακαλεῖ,
Ἠέλι', ἦτοι μὲν σὺ μετ' ἀθανάτοισι φάεινε,
Καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.
ἐξ ὧν δηλοῖ ὅτι οὐ πῦρ ἐστιν ὁ ἥλιος, ἀλλ' ἑτέρα τις
κρείσσων οὐσία· ὅπερ καὶ Ἀριστοτέλης ὑπέλαβεν· ἀ
τὸ μὲν πῦρ ἐστιν ἀνωφερὲς, καὶ ἄψυχον, καὶ εἰδώλ
πτον, καὶ φθαρτόν· ὁ δὲ ἥλιος, κυκλοφορητικὸς, κ
ἔμψυχος, καὶ ἀΐδιος, καὶ ἄφθαρτος.

CVI. *Καὶ τῶν ἄλλων δὲ τῶν κατὰ τὸν οὐρανὸν*
ἄστρων ὅτι οὐκ ἀπείρως Ὅμηρος εἶχεν, φανερὸν ἐστι
ἐξ ὧν πεποίηκε,
Πληϊάδας θ', Ὑάδας τε, τό, τε σθένος Ὠρίωνος·
καὶ τὴν ἄρκτον τὴν αἰεὶ στρεφομένην περὶ τὸν ἀεὶ φ
πόλον τὸν βόρειον, καὶ διὰ τὸ μετέωρον μὴ ἅπτομ
τοῦ ὁρίζοντος, ὅτι ἐν ἴσῳ χρόνῳ ὅ, τε μικρότατος κ
κλος ἐν ᾧ ἐστιν ἄρκτος, καὶ ὁ μέγιστος, ἐν ᾧ Ὠρίω
στρέφεται ἐν τῇ τοῦ κόσμου περιφορᾷ· καὶ τὸν βρ
δέως δυόμενον Βοώτην, ὅτι πολυχρόνιον ποιεῖται τ
κατὰ δύσιν, οὕτω πεπιωκὼς θέσει, ὥς τε ὀρθὸν κατ
φέρεσθαι, καὶ συγκαταδύεσθαι τέσσαρσι ζωδίοις, τ
πάντων εἰς ὅλην νύκτα μεριζομένων ἐξ ζωδίων. εἰ δὲ
μὴ πάντα τὰ περὶ τῶν ἄστρων θεωρούμενα διεξῆλθ
ὡς Ἄρατος, ἢ ἄλλος τις, οὐ χρὴ θαυμάζειν· οὐ γὰ
τοῦτο προέκειτο αὐτῷ.

CVII. *Οὐκ ἀγνοεῖ δὲ τὰς αἰτίας τῶν περὶ τὰ στοι*
χεῖα συμπτωμάτων, οἷον σεισμῶν καὶ ἐκλείψεων. ἐπεὶ
γὰρ ἡ γῆ σύμπασα μετέχει ἐν ἑαυτῇ ἀέρος τε καὶ πυρὸ
καὶ ὕδατος, ὑφ' ὧν καὶ περιέχεται, κατὰ τὰ εἴκοσι ἐν ᾗ
θει αὐτῆς συνίστανται ἀτμοὶ πνευματώδεις. τοῦ

καὶν ἔξω μὲν φερομένους κινεῖν τὸν ἀέρα, εἰσρυέντας δὲ ἀνοιδαίνειν, εἰς τὸ ἔξω βιαζομένους. τοῦ δ' ἀνειλεῖσθαι τὸ πνεῦμα ἐντὸς τῆς γῆς, τὴν θάλασσαν αἰτίαν εἶναι νομίζουσιν, ἐμφράσσουσι γὰρ ἐνίοτε τὰς εἰς τὸ ἔξω ὁδούς, ἔστι δὲ ὅτε ὑποχωροῦσαν αὐτὴν, κατερείπειν τῆς γῆς τινὰ μέρη. καὶ τοῦτο οὐκ Ὅμηρος εἰδὼς, τὴν αἰτίαν τῶν σεισμῶν τῷ Ποσειδῶνι ἀπέδωκε, Γαιήοχόν τε αὐτὸν, καὶ Ἐνοσίχθονα προσαγορεύων.

CVIII. Ἐπεὶ δὲ τῶν πνευμάτων ἐντὸς τῆς γῆς καθειργνυμένων, νηνεμίαι συμβαίνουσι καὶ ζόφοι, καὶ ἀπαυρώσεις τοῦ ἡλίου, σκεψώμεθα εἰ καὶ τοῦτο συνεῖδε. πεποίηκε μὲν γὰρ τὸν Ποσειδῶνα σείοντα τὴν γῆν, μετὰ τὴν Ἀχιλλέως ἔξοδον ἐπὶ τὴν μάχην. προειρήκει δὲ ἐπὶ τῆς προτερωίας, ὁποία ἦν ἡ τοῦ ἀέρος κατάστασις· ἐπὶ μὲν τοῦ Σαρπηδόνος,

Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν ταύσας κρατερῇ ὑσμίνῃ·

καὶ πάλιν ἐπὶ τοῦ Πατρόκλου,

— — οὐ δέ κε φαίης
Οὔτε ποτ' Ἠέλιον σόον ἔμμεναι, οὔτε Σελήνην.
Ἠέρι γὰρ κατέχοντο·

αὖ μετ' ὀλίγον ὁ Αἴας εὔχεται,

Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν,
Ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι.

εἰτὰ δὲ τὸν σεισμὸν, τοῦ πνεύματος ἔξω καταστάντος, φοβροὶ γίνονται ἄνεμοι, ὅθεν Ἥρα φησὶν,

Αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργέσταο Νότοιο
Εἶσομαι ἐξ ἁλόθεν χαλεπὴν ὀρέουσα θύελλαν.

ἵνα τῇ ὑστεραίᾳ τοὺς ἀνέμους ἡ Ἶρις ἐπὶ τὴν πυρὰν τοῦ Πατρόκλου παρακαλεῖ,

— οἱ δ' ὀρέοντο
Πνοιῇ ὑπὸ λιγυρῇ νέφεα κλονέοντες ὄπισθεν.

οὕτως δὲ καὶ τὴν ἔκλειψιν τοῦ ἡλίου φυσικῶς γινομένην, ὅταν ἡ Σελήνη ἐν τῇ πρὸς αὐτὸν συνόδῳ κατὰ κάθετον ὑπελθοῦσα ἐπισκοτήσῃ, εἰδὼς φαίνεται. προυπῶν γὰρ ὅτι ἐλεύσεται ὁ Ὀδυσσεὺς,

Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἰσταμένοιο,

συνίστησιν ὅτε ἅμα παύεται καὶ ἄρχεται ὁ μὴν, συνοδ-

το ὑπέδειξε, τὸ εἰκόνας καὶ ἀγάλματα Θεῶν μετα τοῦ εἰς ἀνθρώπων εἶδος ἠκριβωμένα ἱδρύσθαι, ὑπὲρ τοῦ παρέχειν ὑπόμνησιν καὶ τοῖς ἧττον φρονοῦσιν, ὅτι εἰσὶ Θεοί.

CXIV. Τούτων δὲ πάντων ἀρχηγὸν, καὶ ἡγεμόνα τὸν πρῶτον Θεὸν νομιζόντων τῶν ἀρίστων φιλοσόφων ἀσώματον ὄντα, καὶ νοήσει μᾶλλον καταληπτὸν, καὶ Ὅμηρος ταῦτα ὑπολαμβάνων φαίνεται, παρ' ᾧ λέγεται ὁ Ζεὺς,

— πατὴρ ἀνδρῶν τε Θεῶν τε·

Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων·

καὶ αὐτὸς μὲν ὁ Ζεὺς φησιν,

Ὅσσον ἐγὼ περί τ' εἰμὶ Θεῶν, περί τ' εἶμ' ἀνθρώπων·

ἡ δὲ Ἀθηνᾶ πρὸς αὐτὸν,

Εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἐπιεικτόν·

εἰ δὲ δεῖ καὶ τοῦτο ζητῆσαι, εἰ νοητὸν ἥπίστατο τὸν Θεὸν, οὐκ ἄντικρυς μὲν, ἅτε ἐν ποιήσει πολὺ τὸ μυθῶδες ἔχούσῃ, ὅμως δέ ἐστι καταμαθεῖν, ἐν οἷς φησιν,

Εὗρεν δ' εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων·

καὶ ἐν οἷς αὐτὸς λέγει,

Ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
Ἥμενος, ἔνθ' ὀρόων φρένα τέρψομαι·

ἡ γὰρ μόνωσις αὕτη, καὶ τὸ μὴ καταμιγνύειν τοῖς ἄλλοις Θεοῖς ἑαυτὸν, ἀλλὰ χαίρειν ἑαυτῷ συνόντα, καὶ χρώμενον ἡσυχίαν ἄγοντι, καὶ ἀεὶ διακοσμοῦντι τὰ πάντα, τὴν τοῦ νοητοῦ Θεοῦ φύσιν παρίστησιν. οἶδε δὲ ὅτι νοῦς ἐστιν ὁ Θεὸς, ὁ πάντα ἐπιστάμενος, καὶ διέπων τὸ πᾶν, φησὶ γὰρ ὁ Ποσειδῶν,

Ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος, ἠδ' ἴα πάτρη,
Ἀλλὰ Ζεὺς πρότερος γεγόνει, καὶ πλείονα ἴδει·

καὶ τοῦτο πολλάκις,

Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε,

τοῦτο σημαίνει ὅτι ἀεὶ διανοεῖται.

CXV. Τῆς δὲ τοῦ Θεοῦ διανοίας ἔχεται καὶ ἡ Πρόνοια καὶ Εἱμαρμένη, περὶ ὧν εἴρηνται λόγοι πολλοὶ παρὰ τοῖς φιλοσόφοις· τούτων δὲ πάντων τὰς ἁρμὰς Ὅμηρος παρέσχε. τὰ μὲν τῆς Προνοίας τῶν θεῶν

τί ἂν καὶ λέγοι τις, ὅπου δια πάσης τῆς ποιήσεως οὐ μόνον πρὸς ἀλλήλους ὑπὲρ τῶν ἀνθρώπων διαλέγονται, ἀλλὰ καὶ καταβάντες ἐπὶ τὴν γῆν τοῖς ἀνθρώποις ὁμιλοῦσιν; ὀλίγα δὲ παραδείγματος ἕνεκα θεασόμεθα, ἐν οἷς ἐστιν ὁ Ζεὺς λέγων πρὸς τὸν ἀδελφὸν,

Ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐνὶ σεήθεσι βουλὴν,
Ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλόμενοί περ·
καὶ ἐν ἄλλοις,

Ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
Ὀφθαλμοῖσιν ὁρῶμαι, ἐμὸν δ' ὀλοφύρεται ἦτορ.

CXVI. Ἔτι δὲ τὸ βασιλικὸν ἀξίωμα καὶ τὸ φιλάνθρωπον ἦθος ἐμφαίνει, εἰπὼν,

Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην,
Ὅς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν
Ἀθανάτοισι δέδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;

ἐν οἷς ὁρᾷν ἐστιν ὅτι ἐπῄνεσε τὸν ἄνδρα, πρῶτον ἐπὶ τῷ νοῦν ἔχειν· δεύτερον δὲ, ἐπὶ τῷ σέβειν θεους.

CXVII. Πῶς δὲ αὐτοῖς τοῖς ἀνθρώποις ὁμιλοῦντας καὶ συμπονοῦντας ποιεῖ τοὺς θεους, ἐν πολλοῖς ἐξὶ καταμαθεῖν· ὥςπερ καὶ τὴν Ἀθηνᾶν ποτὲ μὲν τῷ Ἀχιλλεῖ, ἀεὶ δὲ τῷ Ὀδυσσεῖ· καὶ τὸν Ἑρμῆν τῷ Πριάμῳ, καὶ αὖ πάλιν τῷ Ὀδυσσεῖ. καθόλου δὲ ἀεὶ τοὺς θεους τοῖς ἀνθρώποις παραστατεῖν οἴεται, φησὶ γὰρ,

Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι,
Παντοῖοι τελέθοντες, ἐπιστροφῶσι πόληας,
Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.

CXVIII. Τῆς δὲ Προνοίας τῶν Θεῶν ἴδιόν ἐξι τὸ βούλεσθαι δικαίως τοὺς ἀνθρώπους βιοῦν· καὶ τοῦτό φησιν ὁ ποιητὴς ἐναργέστατα,

Οὐ γὰρ σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
Ἀλλὰ δίκην τίουσι, καὶ αἴσιμα ἔργ' ἀνθρώπων·

καὶ,

Ζεὺς ὅτε δή τ' ἄνδρεσσι κοτεσσάμενος χαλεπήνῃ
Οἵ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας.

Ὥςπερ γὰρ τοὺς θεοὺς προνοουμένους τῶν ἀνθρώπων εἰςάγει, οὕτω καὶ τοὺς ἀνθρώπους μεμνημένους αὐτῶν ἐν πάσῃ τύχῃ· καὶ ὁ μὲν εὐημερῶν στρατηγὸς φησιν,

Ἕλπομαι, εὐχόμενος Διὶ τ' ἄλλοισίν τε θεοῖσιν,
Ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους·
ὁ δὲ κινδυνεύων,
Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν·
καὶ πάλιν, ὁ μὲν κτείνας
Ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν·
ὁ δὲ θνήσκων,
Φράζεο νῦν μήτοι τι θεῶν μήνιμα γένωμαι.
πόθεν οὖν ἄλλοθεν ἢ ἐκ τῶν εἰρημένων ἐστὶ τὸ δόγμα ἐκεῖνο τῶν Στωϊκῶν;

CXIX. Τὸ δὲ ἕνα μὲν εἶναι τὸν κόσμον, συμπολιτεύεσθαι δὲ ἐν αὐτῷ θεοὺς καὶ ἀνθρώπους δικαιοσύνης μετέχοντας φύσει. καὶ γὰρ ὅταν εἴπῃ,
Ζεὺς δὲ Θέμισι ἐκέλευσε θεοὺς ἀγορήνδε καλέσσαι.
Τίπτ' αὖτ' ἀργικέραυνε θεοὺς ἀγορήνδ' ἐκάλεσσας;
Ἤ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
τί ἄλλο ὑποδείκνυσιν, ἢ ὅτι νόμῳ πόλεως ὁ κόσμος διοικεῖται, καὶ προβουλεύονται οἱ θεοὶ ἔξαρχοντος τοῦ θεῶν τε καὶ ἀνθρώπων πατρός;

CXX. Τὴν δὲ περὶ τῆς Εἱμαρμένης δόξαν δείκνυσιν ἐν ἐκείνοις σαφῶς,
Μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
Οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται·
καὶ ἐν οἷς ἀλλοις κρατύνει τὴν δύναμιν τῆς Εἱμαρμένης. ἡγεῖται μέν τοι καὶ αὐτὸς, ὥσπερ καὶ μετ' αὐτὸν οἱ δοκιμώτατοι τῶν φιλοσόφων, Πλάτων καὶ Ἀριστοτέλης καὶ Θεόφραστος, οὐ πάντα καθ' Εἱμαρμένην παραγίνεσθαι, ἀλλά τι καὶ ἐπὶ τοῖς ἀνθρώποις εἶναι, ὧν ὑπάρχειν μὲν τὸ ἑκούσιον, τοῦτο δέ πως συνάπτειν τὸ καὶ ηὐγκασμένον, ὅταν τις πράξας ὃ βούλεται, εἰς ὃ μὴ βούλεται ἐμπέσῃ. καὶ ταῦτα σαφῶς ἐν πολλοῖς δεδήλωκεν, ὥσιε καὶ ἐν ταῖς ἀρχαῖς ἑκατέρας τῆς ποιήσεως· ἐν μὲν τῇ Ἰλιάδι λέγων τὴν ὀργὴν τοῦ Ἀχιλλέως αἰτίαν τῆς ἀπωλείας τῶν Ἑλλήνων γενέσθαι, καὶ τότε τὴν Διὸς βούλησιν ἐκτελεσθῆναι· ἐν δὲ τῇ Ὀδυσσείᾳ τοὺς ἑταίρους τοῦ Ὀδυσσέως διὰ τὴν αὐτῶν ἀβουλίαν διαθρῷ περιπεσεῖν· ἐξήμαρτον γὰρ ἐψαμένοι τῶν ἱερ

τοὺ Ἰλίου βοῶν, ἐξὸν ἀποσχέσθαι αὐτῶν· καὶ γαρ ἦν προειρημένον,

Τὰς εἰ μέν κ' ἀσινέας ἐάσῃς, νόστου δὲ μέδηαι,
Καί κεν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
Εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον.

οὕτως τὸ μὲν μὴ ἀδικῆσαι, ἐπ' αὐτοῖς· τὸ δὲ ἀδικήσαντας ἀπολέσθαι, ἐκ τῆς Εἱμαρμένης ἀκόλουθον ἦν.

CXXI. Ἔνεστι δὲ καὶ τὸ ἄλλως συμβαῖνον ἐκ Προνοίας διαφυγεῖν, ὅπερ ἐν τούτῳ παρίστησιν,

Ἔνθα δὲ καὶ δύστηνος ὑπὲρ μόρον ὤλετ' Ὀδυσσεὺς,
Εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
Ἀμφοτέρῃσι δὲ χερσὶν ἐπεσσύμενος λάβε πέτρης,
Τῆς ἔχετο στενάχων, εἷως μέγα κῦμα παρῆλθεν
ἐνταῦθα γὰρ ἐκ τοῦ ἐναντίου κινδυνεύων ὑπὸ τύχης ἀπολέσθαι, ἐκ Προνοίας ἐσώθη.

CXXII. Καθάπερ δὲ περὶ τῶν θείων πολλοὶ καὶ ποικίλοι παρὰ τοῖς φιλοσόφοις, τὰς πλείστας ἀφορμὰς ἐξ Ὁμήρου λαβοῦσιν, οὕτω καὶ περὶ τῶν ἀνθρωπείων πραγμάτων, ὧν πρῶτον περὶ τῆς Ψυχῆς πειρασώμεθα. Τὸ μὲν δὴ τῶν δογμάτων, Πυθαγόρου καὶ Πλάτωνος, γενναιότατόν ἐστι, τὸ εἶναι τὴν ψυχὴν ἀθάνατον, ἢ καὶ πτερὰ τῷ λόγῳ προστίθησιν ὁ Πλάτων. Τίς οὖν τοῦτο πρῶτον ἀνεφώνησεν; Ὅμηρος, εἰπὼν ἄλλα τε, καὶ ταῦτα,

Ψυχὴ δ' ἐκ ῥεθέων πτάμένη, ἀϊδόσδε βεβήκει,
εἰς τὸν ἀειδῆ καὶ ἀόρατον, εἴτε ἀέρα θεῖη τις εἴτε ὑπόγειον, τόπον. καὶ ἐν μὲν τῇ Ἰλιάδι, ποιῶν τὴν τοῦ Πατρόκλου ψυχὴν ἐφισταμένην κοιμωμένῳ τῷ Ἀχιλλεῖ,

Ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο.
καὶ λόγους αὐτῷ περιτίθησιν, ἐν οἷς καὶ τοῦτο λέγει,

Τῆλέ με εἴργουσι ψυχαὶ, εἴδωλα καμόντων.

ἐν δὲ τῇ Ὀδυσσείᾳ, δὶ ὅλης τῆς νεκυίας τί ἄλλο ἢ τὰς ψυχὰς δείκνυσι μετὰ θάνατον διαμενούσας, καὶ φθεγγομένας ἅμα τῷ πιεῖν τοῦ αἵματος; καὶ γὰρ τοῦτο ἥδει, ὅτι τὸ αἷμα νομὴ καὶ τροφή ἐστι τοῦ πνεύματος· τὸ δὲ πνεῦμα, ἐστιν αὐτὴ ἡ ψυχὴ, ἢ ὄχημα τῆς ψυχῆς.

CXXIII. Ἐναργέσταται δὲ κἀκεῖνο ἐπέφηνεν, ὅτι

τὸν ἄνθρωπον οὐδὲν ἄλλο ἢ τὴν ψυχὴν νομίζει, ἐν οἷ
λέγει,

Ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο,

Χρύσεον σκῆπτρον ἔχων·

ἐπίτηδες γὰρ ἀπὸ τοῦ τῆς ψυχῆς ὀνόματος εἰς τὸ ἄψ
ξενικὸν μετέβαλεν, ἵνα δείξῃ ὅτι ἡ ψυχὴ ἦν ὁ Τειρε
σίας. καὶ ἐν τοῖς ἑξῆς πάλιν,

Τόνδε μέτ', εἰσενόησα βίην Ἡρακληείην,

Εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι

καὶ γὰρ ἐν τούτοις πάλιν ἐδήλωσεν, ὅτι τὸ μὲν εἴδωλον,
ὅπερ ἦν ἀποτετασμένον τοῦ σώματος, οὐκέτι τῆς ἐκεί
νου ὕλης ἐφελκόμενον ἐφαντάζετο. τὸ δὲ καθαρώτατον
τῆς ψυχῆς ἀπελθὸν, αὐτὸς ἦν ὁ Ἡρακλῆς.

CXXIV. Ὅθεν κἀκεῖνο δοκεῖ τοῖς φιλοσόφοις, τὸ
εἶναι τὸ σῶμα τρόπον τινὰ τῆς ψυχῆς δεσμωτήριον.
καὶ τοῦτο δὲ Ὅμηρος πρῶτος ἐδήλωσε· τὸ μὲν γὰρ
τῶν ζώντων, ἀεὶ δέμας προσαγορεύει, ὡς ἐν τούτοις

Οὐ δέμας, οὐδὲ φυήν·

καὶ,

— δέμας δ' ἤϊκτο γυναικί·

καὶ,

Ἦτοι ἐμὴν ἀρετὴν, εἰδός τε δέμας τε·

τὸ δὲ ἀποβεβληκὸς τὴν ψυχὴν, οὐδὲν ἄλλο ἢ σῶμα κα
λεῖ, ὡς ἐν τούτοις,

Σῶμα δὲ οἶκαδ' ἐμὸν δόμεναι πάλιν·

καὶ,

Σώματ' ἀκήδεα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος

καὶ,

Σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἡμεῖς.

τὸ γὰρ αὐτὸ, ζῶντος μὲν τοῦ ἀνθρώπου, δεσμὸς ἦν τῆς
ψυχῆς· τελευτήσαντος δὲ, ὥσπερεὶ σῆμα καταλείπεται.

CXXV. Τούτῳ δὲ ἕπεται καὶ ἕτερον δόγμα τοῦ
Πυθαγόρου, τὸ μεταβαίνειν τὰς ψυχὰς τῶν τελευτη
σάντων εἰς ἕτερα σωμάτων εἴδη. ἀλλ' οὐδὲ τοῦτο τῶν
Ὁμήρου διανοίας ἐκτός ἐστιν. ὁ γὰρ ποιήσας τὸν Ἕκτο
ρα τοῖς ἵπποις διαλεγόμενον, καὶ τὸν Ἀντίλοχον
αὐτὸν τὸν Ἀχιλλέα, καὶ μὴ ὅτι διαλεγόμενον, ὡ

ἀκούοντα, καὶ τὸν κύνα πρὸ τῶν ἀνθρώπων, καὶ τῶν οἰκείων ἐπιγινώσκοντα τὸν Ὀδυσσέα, τί ἄλλο ἢ τὴν κοινωνίαν τοῦ λόγου, καὶ συγγένειαν τῆς ψυχῆς τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζώων παρίστησι; καὶ οἱ τὰς βοῦς τοῦ Ἡλίου καταφαγόντες, καὶ ἐκ τούτων ὀλέθρῳ περιπεσόντες, ἐλέγχουσιν, ὅτι οὐ μόνον βόες, ἀλλὰ καὶ πάντα τὰ ἄλλα ζῶα, ὡς τῆς αὐτῆς φύσεως ζωτικῆς μετέχοντα, τιμᾶται ὑπὸ τῶν θεῶν.

CXXVI. *Καὶ τὸ μεταβάλλειν δὲ τοὺς ἑταίρους τοῦ Ὀδυσσέως εἰς σύας, καὶ τοιαῦτα ζῶα, τοῦτο αἰνίττεται, ὅτι τῶν ἀφρόνων ἀνθρώπων αἱ ψυχαὶ μεταλλάττουσιν εἰς εἴδη σωμάτων θηριωδῶν, ἐμπεσοῦσαι εἰς τὴν τοῦ παντὸς ἐγκύκλιον περιφοράν, ἣν Κίρκην προσαγορεύει, καὶ κατὰ τὸ εἰκὸς Ἡλίου παῖδα ὑποτίθεται, οἰκοῦσαν ἐν τῇ Αἰαίῃ νήσῳ· ταύτην δὲ ἀπὸ τοῦ αἰάζειν, καὶ ὀδύρεσθαι τοὺς ἀνθρώπους ἐπὶ τοῖς θανάτοις, κέκληκεν. ὁ δὲ ἔμφρων ἀνὴρ, αὐτὸς ὁ Ὀδυσσεὺς, οὐκ ἔπαθε τὴν τοιαύτην μεταβολὴν, παρὰ τοῦ Ἑρμοῦ, τουτέστι τοῦ λόγου, τὸ ἀπαθὲς λαβών. αὐτὸς δὲ οὗτος καὶ εἰς ᾅδου κάτεισιν, ὡςπερεὶ καὶ λέγων χωρίζειν τὴν ψυχὴν ἀπὸ τοῦ σώματος· καὶ θεατὴς ψυχῶν τῶν τε ἀγαθῶν καὶ φαύλων γιγνόμενος.*

CXXVII. *Αὐτὴν δὲ τὴν ψυχὴν οἱ Στωϊκοὶ ὁρίζονται πνεῦμα συμφυὲς, καὶ ἀναθυμίασιν αἰσθητικήν, ἀναπτομένην ἀπὸ τῶν ἐν σώματι ὑγρῶν, Ὁμήρῳ ἀκολουθήσαντες, λέγοντι,*

— — *εἰσόκ' ἀϋτμὴ*
Ἔν στήθεσσι μένῃ·

καὶ πάλιν,

— *ψυχὴ δὲ κατὰ χθονὸς ἠΰτε καπνὸς·*

ἐν οἷς τὸ μὲν ζωτικὸν πνεῦμα, ἅτε ἔνικμον, ἀντιδιδοῖ· τὸ δὲ κατασβεννύμενον ἤδη, καπνῷ ἀπεικάζει. καὶ αὐτῷ δὲ τῷ τοῦ πνεύματος ὀνόματι κέχρηται ἐπ' αὐτῆς,

Ὣς εἰπὼν, ἔμπνευσε μένος μέγα ποιμένι λαῶν·

καὶ,

Θυμὸν ἀποπνείων·

καὶ

Ἡ δ' ἐκεῖ οὖν ἄμπνυτο· καὶ ἐς φρένα θυμὸς ἀγέρθη
τουτέστι τὸ πνεῦμα διεσπαρμένον συνελέξατο· καὶ,
Αὖθις δ' ἀμπνύνθη· παρὰ δὲ πνοιὴ Βορέαο,
Ζώγρει ἐπιπνείουσα κακῶς κειμήνους θυμούς·
τοῦ γὰρ λειποθυμοῦντος τὸ πνεῦμα ῥιπίσασα ἡ ἔξωθεν
πνοὴ συμφυὲς οὖσα, ζῶντα αὐτὸν κατέστησε. συναίρεται δὲ τῷ λόγῳ, ὅτι καὶ ἐπὶ τοῦ ἐκτὸς πνεύματος τῇ τῆς ψυχῆς ὀνόματι κέχρηται, εἰπών.

Ἧκα μάλα ψύξασα·
βούλεται γὰρ εἰπεῖν ἀντιπνεύσασα.

CXXVIII. *Πλάτων* δὲ καὶ *Ἀριστοτέλης* τὴν ψυχὴν ἀσώματον εἶναι ἐνόμισαν, ἀεὶ δὲ περὶ σῶμα εἶναι, καὶ τούτου ὥσπερ ὀχήματος δεῖσθαι· διὸ καὶ, ἀπαλλασσομένην τοῦ σώματος, τὸ πνευματικὸν ἐφέλκεσθαι, πολλάκις καθάπερ ἐκμαγεῖον, ἣν ἴσχε τῷ σώματι μορφὴν διαφυλάσσουσαν. οὕτως οὖν καὶ Ὅμηρος οἰδαμοῦ τῆς ποιήσεως εὑρεθήσεται σῶμα τὴν ψυχὴν καλῶν, ἀλλὰ τὸ ἑστερημένον ψυχῆς ἀεὶ τούτῳ τῷ ὀνόματι προσαγορεύει, ὡς καί τινων ἐν τοῖς πρόσθεν ἐμνημονεύσαμεν.

CXXIX. Τῆς δὲ ψυχῆς ἐχούσης, ὡς καὶ τοῖς φιλοσόφοις δοκεῖ, τὸ μὲν, λογικὸν, ἐνιδρυμένον τῇ κεφαλῇ, τὸ δὲ, ἄλογον· καὶ τούτου, τὸ μὲν, θυμικὸν, ἐνοικοῦν τῇ καρδίᾳ· τὸ δὲ, ἐπιθυμητικὸν, ἐν τοῖς περὶ τὴν γαστέρα· ἆρ' οὖν οὐ πρότερος Ὅμηρος εἶδε τὴν τούτου διαφορὰν, ὃς ἐποίησεν, ἐπὶ μὲν τοῦ Ἀχιλλέως, τὸν λογισμὸν τῷ θυμῷ μαχόμενον, καὶ ἐν τῇ αὐτῇ ῥοπῇ διανοούμενον ἢ ἀμύνεσθαι τὸν λελυπηκότα, ἢ παῦσαι τὸν χόλον;

Ἕως ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν·
τουτέστι τὴν φρόνησιν, καὶ τὴν ἀντικειμένην αὐτῷ θυμικὴν ὀργήν, ἧς τὴν φρόνησιν ἐπικρατοῦσαν παποίηκε· τοῦτο γὰρ αὐτῷ ἡ ἐπιφάνεια τῆς Ἀθηνᾶς βούλεται. καὶ ἐν ἄλλοις δὲ ποιεῖ τὸν λογισμὸν τῷ θυμῷ παραινοῦντα, καὶ ὥσπερ ἄρχοντα τῷ ὑποτεταγμένῳ κελεύοντα.

Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

καὶ πολλάκις μὲν τῷ λογισμῷ πείθεται τὸ θερμύμενον, ὡς ἐν τούτοις,

Ὡς ἔφατ', ἐν στήθεσσι παθαπτόμενος φίλον ἦτορ·
Τῷ δ' αὖτ' ἐν πίσῃ κραδίη μένε τετληνυῖα.

ὁμοίως δὲ καὶ τὸ λυπούμενον,

Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
Θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.

ἐνίοτε δὲ περιγινόμενον τὸν θυμὸν τοῦ λογισμοῦ παρίστησιν· ὅπερ οὐκ ἐπαινῶν, ἀλλὰ ψέγων φανερός ἐστιν· ὡς ὁ Νέστωρ τῷ Ἀγαμέμνονι τὴν εἰς τὸν Ἀχιλλέα ὕβριν ὀνειδίζων, φησὶν,

Οὔτι καθ' ὑμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
Πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
Ἔξαις, ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
Ἴτιμήσας.

ὅμοια δὲ τούτοις καὶ ὁ Ἀχιλλεὺς πρὸς τὸν Αἴαντα λέγει,

Πάντα τί μοι κατὰ θυμὸν ἐείσατο μυθήσασθαι·
Ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότ' ἐκείνου
Μνήσομαι, ὃς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν.

οὕτω δὲ καὶ ὑπὸ φόβου ἔστιν ὅτε ὁ λογισμὸς ἐξίσταται· ὅπου Ἕκτωρ μὲν διανοεῖται ὑποστῆναι τὴν πρὸς τὸν Ἀχιλλέα μάχην,

Βέλτερον αὖτ' ἐριδι ξυνελαυνέμεν· ὅττι τάχιστα
Εἴδομεν ὁππότερῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ·

εἶτ' ἀναχωρεῖ πλησίον γενομένου τοῦ Ἀχιλλέως,

Ἕκτορα δ' ὡς ἐνόησεν, ἅλε τρόμος· οὐδὲ γὰρ ἔτλη
Αὖθι μένειν· ὄπισθε δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς.

CXXX. Ἔστι δὲ κἀκεῖνο δῆλον, ὅτι τὰ πάθη περὶ τὴν καρδίαν συνίστησιν· ὀργὴν μὲν, οὕτως,

— κραδίη δέ οἱ ἔνδον ὑλάκτει·

λύπην δὲ,

— τέο μέχρις ὀδυρόμενος, καὶ ἀχεύων
Σὴν ἴδεται κραδίην·

τὸν δὲ φόβον,

— κραδίη δέ μοι ἔξω
Στηθέων ἐκθρώσκει· τρομέει δ' ὑπὸ φαίδιμα γυῖα

κατὰ τὸν αὐτὸν δὲ λόγον, ὥςπερ τὸν φόβον, οὕτω καὶ θάρσος περὶ καρδίαν ἀποφαίνει,

— ἐν δὲ σθένος ὦρσεν ἑκάστου
Καρδίῃ ἄληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.

ἐκ δὲ τῶν εἰρημένων ἔδοξε τοῖς Στωϊκοῖς τὸ ἡγεμονικὸν εἶναι περὶ καρδίαν. τὸ δὲ ἐπιθυμητικὸν ὅπως περὶ γαστέρα, ἐν πολλοῖς διασαφεῖ, καὶ ἐν τούτοις,

— ἀλλά με γαστὴρ
Ὀτρύνει κακόεργος·

καὶ,

Γαστέρα δ' οὔπως ἔστιν ἀποκρύψαι μεμαυῖαν.

CXXXI. Καὶ τὰς αἰτίας δὲ τῶν περὶ τὸ θυμικὸν μέρος τῆς ψυχῆς, φύσει συμβαινούσας κατεῖδε· τὴν μὲν ὀργὴν, ὑπὸ λύπης ἐγγινομένην, ζέσιν δέ τινα τοῦ αἵματος καὶ τοῦ ἐν αὐτῷ πνεύματος οὖσαν ἐμφαίνων, ὡς ἐν τούτοις,

Ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἄμφεμέλαιναι

Πίμπλαντ'· ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην·

μένος γὰρ τὸ πνεῦμα προσαγορεύειν ἔοικε, τοῦτο δὲ ἐγγίγνεσθαι, καὶ φλέγεσθαι ἐπὶ τῶν θυμουμένων οἴεται. πάλιν δὲ αὖ τὸ τῶν φοβουμένων πνεῦμα συγχέόμενον καὶ καταψυχόμενον, τὰς φρίκας καὶ τοὺς τρόμους ποιεῖ, καὶ τὰς ὠχριάσεις ἐν τοῖς σώμασι· πάντα γὰρ ταῦτα συμβαίνει ὑπὸ ψύξεως· ἡ μὲν ὠχρότης, ὅτι τοῦ θερμοῦ συντρέχοντος εἰς τὰ μέσα, τὸ ἔρευθος ἀπολείπει τὴν ἐπιφάνειαν· ὁ δὲ τρόμος, ὅτι ἐντὸς συνειλούμενον τὸ πνεῦμα ἀράσσει τὸ σῶμα· ἡ δὲ φρίκη, ὅτι πηγνυμένου τοῦ ὑγροῦ αἱ τρίχες πιεζόμεναι ἀνίστανται. πάντα οὖν ταῦτα σαφῶς σημαίνει Ὅμηρος· φησὶ γὰρ τὸ,

Χλωροὶ ὑπαὶ δείους·

καὶ,

Χλωρὸν δέος ἥρει·

καὶ,

Τρομέει ὑπὸ φαίδιμα γυῖα·

καὶ,

Ὣς φάτο· σὺν δὲ γέροντι νόος χύτο, δείδιε δ' αἰνῶς·
Ὀρθαὶ δὲ τρίχες ἔστιν ἐνὶ γναμπτοῖσι μέλεσσι.

κατὰ ταῦτα οὖν καὶ τὸ ἐφοβήθη, ῥίγησε λέγει, καὶ τὸν φόβον κρυόεντα προσαγορεύει· ἐκ δὲ τοῦ ἐναντίου, θαλπωρὴν τὸ θάρσος, καὶ τὴν ἀγαθὴν ἐλπίδα· ἰὰ μὲν οὖν φαῦλα πάθη τοῦτον διωρεῖται τὸν τρόπον.

CXXXII. *Πάλιν δὲ τῶν περὶ Ἀριστοτέλην ἀρεῖα πάθη ἡγουμένων τὴν νέμεσιν, καὶ τὸν ἔλεον (τὸ γὰρ τοὺς ἀγαθοὺς δύκνεσθαι ἐπὶ τοῖς πλησίον, εἰ παρ' ἀξίαν εὐτυχοῦσι, νέμεσις καλεῖται· τὸ δὲ λυπεῖσθαι, εἰ παρ' ἀξίαν δυστυχοῦσιν, ἔλεος λέγεται)· ταῦτα καὶ Ὅμηρος προσήκειν τοῖς ἀγαθοῖς νομίζει, ὅπου καὶ τῷ Διὶ ἀνατίθησιν αὐτά· ποιεῖ γὰρ ἄλλα τε καὶ ταῦτα,*

Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο.
Ζεὺς γάρ οἱ νεμεσᾶθ' ὅτ' ἀμείνονι φωτὶ μάχοιτο.

καὶ ἐν ἄλλοις πάλιν οἰκτείρει τὸν αὐτὸν τρόπον, διωκόμενον περὶ τεῖχος.

CXXXIII. *Περὶ δὲ ἀρετῆς καὶ κακίας ψυχῆς ἣν ἔχει δόξαν ὁ ποιητὴς, ἐν πολλοῖς παρίστησιν. ἐπεὶ γὰρ τὸ μέν τι τῆς ψυχῆς, νοερὸν καὶ λογικόν ἐστι, τὸ δὲ, ἄλογον καὶ ἐμπαθὲς, καὶ διὰ τοῦτο μέσος θεοῦ καὶ θηρίου γέγονεν ἄνθρωπος, τὴν μὲν ἄκραν ἀρετὴν, θείαν ἡγεῖται, τὴν δὲ ἄκραν κακίαν, θηριωδίαν· ὡς ὕστερον Ἀριστοτέλης ἐνόμισε. καὶ ταῦτα ἐμφανίζει ἐν ταῖς ὁμοιώσεσιν· ἀεὶ γὰρ τοὺς ἀγαθοὺς ὀνομάζει θεοειδεῖς, καὶ*

Διὶ μῆτιν ἀτάλαντον·
τῶν δὲ φαύλων τοὺς μὲν θειλοὺς,
Φυζακινοῖς ἐλάφοισιν

εἰκάζει, καὶ προβάτοις ἀσημάντοις, καὶ λαγωοῖς διωκομένοις· ἐπὶ δὲ τῶν προπετῶς καὶ ἀνοήτως ὑπὸ ὀργῆς φερομένων φησὶν,

Οὔτ' οὖν παρδάλιος τόσσον μένος, οὔτε λέοντος
Οὔτε συὸς, κάπρου τ' ὀλοόφρονος, (οὔ τε μάλιστα
Θυμὸς ἐνὶ στήθεσσι περὶ σθένει βλεμεαίνει)
Ὅσσον Πάνθου υἷες ἐϋμελίαι φρονέουσι·

τοὺς δὲ λυπουμένων ἐμπαθέστερον ὀδυρμοὺς, ἀηδόνων ῥωγαῖς ἀπεικάζει,

— οἷσί τε τέκνα
Ἀγόρται ἐξείλοντο, πάρος πετεηνὰ γενέσθαι.

CXXXIV. Οἱ μὲν οὖν Στωϊκοὶ τὴν ἀρετὴν τίθενται ἐν τῇ ἀπαθείᾳ, ἐκείνοις ἑπόμενος, ἐν οἷς πᾶν πάθημα ἀναιρεῖ, λέγων περὶ μὲν λύπης,

Ἀλλὰ χρὴ τὸν μὲν κατὰθάπτειν ὅς κε θάνῃσι,
Νηλέα θυμὸν ἔχοντας, ἐπ' ὄμμασι δακρύσαντας·
Τίπτε δεδάκρυσαι Πατρόκλοιο ἦὲ πούρη·
περὶ δὲ ὀργῆς,

Ὡς ἔρις ἐκ τε θεῶν, ἐκ τ' ἀνθρώπων ἀπόλοιτο·
περὶ δὲ τοῦ φόβου,

Μήτι φόβον δ' ἀγόρευε, ἐπεὶ οὐδέ σε πείσομεν οἵω·
καὶ,

— ὃς δέ κεν ὑμέων
Βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ,
Τεθνάτω.

οὕτως καὶ προκαλούμενοι εἰς μονομαχίαν ἀφόβως ὑπακούουσι, καὶ πλείους ἀνθ' ἑνὸς ἀνίστανται· καὶ ὁ τετρωμένος, οὐδὲν ἧσσον ἔχει τὸ θάρσος παραμένον, ὃς που φησὶ,

Νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδὸς, εὖχεαι αὔτως.

καὶ πᾶς ὁ γενναῖος ἀπεικάζεται λέοντι, ἢ κάπρῳ, ἢ χειμάρρῳ, ἢ λαίλαπι.

CXXXV. Οἱ δ' ἐκ τοῦ Περιπάτου τὴν ἀπάθειαν ἀνέφικτον ἀνθρώπῳ νομίζουσι, τὴν δὲ μετριοπάθειαν εἰσάγοντες, τῷ τὴν ὑπερβολὴν τῶν παθῶν ἀναιρεῖν, μεσότητι τὴν ἀρετὴν ὁρίζονται. καὶ Ὅμηρος ἀεὶ παράγει τοὺς ἀρίστους οὔτε ἀγενεῖς, οὔτε μὴν ἀφόβους, ἢ ἀλύπους παντελῶς, ἐν τῷ μὴ ἄγαν δὲ τοῖς πάθεσι κρατεῖσθαι, τῶν φαύλων διαφέροντας. Φησὶ γὰρ,

Τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
Οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμός·
Ἐν δέ τέ οἱ κραδίῃ μεγάλα στέρνοισι πατάσσει
Κῆρας ὀϊομένῳ· πάτωγος δέ τε γίνετ' ὀδόντων
Τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼς, οὔτε τι λίην
Ταρβεῖ.

ὕδηλον γὰρ ὅτι τοῦ ἀγαθοῦ τὸ λίαν φοβεῖσθαι λέγει

λὼν, τὸ μέτριον κατέλιπε. τοῦτο δὲ καὶ ἐπὶ τῶν ὁμοίων, λύπης τε καὶ ὀργῆς, χρὴ νοεῖν. τοιοῦτόν ἐστι κἀκεῖνο,

Τρῶας μὲν τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον
Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πατάσσειν.

οἱ μὲν γὰρ ἄλλοι, καὶ ὁρῶντες ἔτρεμον· ὁ δ' ἐν τῷ κινδύνῳ καθεστὼς ἀνδρεῖος ὤν, μόνον ἠγωνία. ὅθεν ἄλλως μὲν ποιεῖ τὸν Δόλωνα, καὶ τὸν Λυκάονα φοβουμένους, ἄλλως δὲ τὸν Αἴαντα καὶ τὸν Μενέλαον, ἐντροπαλιζομένους, καὶ βάδην ὑποχωροῦντας, ὥςπερ ἀπωσαμένους σταθμοῦ λέοντας. ὡςαύτως δὲ καὶ λυπουμένων διαφορὰς ἐπιδείκνυσι, καὶ ἡδομένων ὁμοίως· ὥςπερ ὁ μὲν Ὀδυσσεὺς, διηγούμενος ὃν τρόπον τοὺς Κύκλωπας ἐξηπάτησεν, ἔφη,

— ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ.

οἱ δὲ μνηστῆρες, πεσόντα τὸν πτωχὸν ἰδόντες,

Χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον.

φαίνεται δὲ ἐν κατωτέροις ἡ τοῦ μετρίου διαφορά· καὶ ὁ μὲν Ὀδυσσεὺς τῆς ἑαυτοῦ γυναικὸς ἐρῶν, καὶ κλαίουσαν ἐπ' αὐτῷ ὁρῶν, φέρει,

Ὀφθαλμοὶ δ' ὥσει κέρα ἵστασαν, ἠὲ σίδηρος·

τῶν δὲ μνηστήρων τῆς αὐτῆς ἐρώντων, τῶν θεασαμένων αὐτὴν

— λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν,
Πάντες δ' ἠρήσαντο παρὰ λεχέεσσι κλιθῆναι.

τοιαῦτα μέν ἐστι τὰ παρὰ τῷ ποιητῇ περὶ ψυχῆς δυνάμεων, καὶ παθῶν.

CXXXVI. *Περὶ δὲ ἀγαθῶν καὶ εὐδαιμονίας* πολλῶν εἰρημένων παρὰ τοῖς φιλοσόφοις, τὸ μὲν τὴν ἀρετὴν τῆς ψυχῆς, μέγιστον εἶναι τῶν ἀγαθῶν, κατὰ πάντα συνέστηκεν. ἀλλ' οἱ μὲν Στωϊκοὶ τὴν ἀρετὴν αὐτάρκη ἡγοῦνται πρὸς εὐδαιμονίαν, λαβόντες τὸ ἐνδόσιμον ἐκ τῶν Ὁμηρικῶν τούτων, ἐν οἷς τὸν σοφώτατον καὶ φρονιμώτατον πεποίηκεν, ὑπὲρ εὐκλείας πόνου καταφρονοῦντα καὶ ἡδονῆς ὑπερορῶντα· τὸ μὲν πρότερον, οὕτως,

Ἀλλ' οἷον τόδ' ἔρεξε, καὶ ἔτλη καρτερὸς ἀνήρ·
Αὐτὸν μὲν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,

λὼν, τὸ μέτριον κατέλιπε. τοῦτο δὲ καὶ ἐπὶ τῶν ὁμοίων, λύπης τε καὶ ὀργῆς, χρὴ νοεῖν. τοιοῦτόν ἐστι κἀκεῖνο,

Τρῶας μὲν τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον
Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πατάσσειν.

οἱ μὲν γὰρ ἄλλοι, καὶ ὁρῶντες ἔτρεμον· ὁ δ' ἐν τῷ κινδύνῳ καθεστὼς ἀνδρεῖος ὤν, μόνον ἠγωνία. ὅθεν ἄλλως μὲν ποιεῖ τὸν Δόλωνα, καὶ τὸν Λυκάονα φοβουμένους, ἄλλως δὲ τὸν Αἴαντα καὶ τὸν Μενέλαον, ἐντροπαλιζομένους, καὶ βάδην ὑποχωροῦντας, ὥςπερ ἀπωσαμένους σταθμοῦ λέοντας. ὡςαύτως δὲ καὶ λυπουμένων διαφορὰς ἐπιδείκνυσι, καὶ ἡδομένων ὁμοίως· ὥςπερ ὁ μὲν Ὀδυσσεὺς, διηγούμενος ὃν τρόπον τοὺς Κύκλωπας ἐξηπάτησεν, ἔφη,

— ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ.

οἱ δὲ μνηστῆρες, πεσόντα τὸν πτωχὸν ἰδόντες,

Χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον.

φαίνεται δὲ ἐν κατωτέροις ἡ τοῦ μετρίου διαφορά· καὶ ὁ μὲν Ὀδυσσεὺς τῆς ἑαυτοῦ γυναικὸς ἐρῶν, καὶ κλαίουσαν ἐπ' αὐτῷ ὁρῶν, φέρει,

Ὀφθαλμοὶ δ' ὥσει κέρα ἕστασαν, ἠὲ σίδηρος·

τῶν δὲ μνηστήρων τῆς αὐτῆς ἐρώντων, τῶν θεασαμένων αὐτὴν

— λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν,
Πάντες δ' ἠρήσαντο παρὰ λεχέεσσι κλιθῆναι.

τοιαῦτα μέν ἐστι τὰ παρὰ τῷ ποιητῇ περὶ ψυχῆς δυνάμεων, καὶ παθῶν.

CXXXVI. *Περὶ δὲ ἀγαθῶν καὶ εὐδαιμονίας* πολλῶν εἰρημένων παρὰ τοῖς φιλοσόφοις, τὸ μὲν τὴν ἀρετὴν τῆς ψυχῆς, μέγιστον εἶναι τῶν ἀγαθῶν, κατὰ πάντα συνέστηκεν. ἀλλ' οἱ μὲν Στωϊκοὶ τὴν ἀρετὴν αὐτάρκη ἡγοῦνται πρὸς εὐδαιμονίαν, λαβόντες τὸ ἐνδόσιμον ἐκ τῶν Ὁμηρικῶν τούτων, ἐν οἷς τὸν σοφώτατον καὶ φρονιμώτατον πεποίηκεν, ὑπὲρ εὐκλείας πόνου καταφρονοῦντα καὶ ἡδονῆς ὑπερορῶντα· τὸ μὲν πρότερον, *οὕτως,*

Ἀλλ' οἷον τόδ' ἔρεξε, καὶ ἔτλη καρτερὸς ἀνήρ·
Αὐτὸν μὲν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,

λὼν, τὸ μέτριον κατέλιπε. τοῦτο δὲ καὶ ἐπὶ τῶν ὁμοίων, λύπης τε καὶ ὀργῆς, χρὴ νοεῖν. τοιοῦτόν ἐστι κἀκεῖνο,

Τρῶας μὲν τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον
Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πατάσσειν.

οἱ μὲν γὰρ ἄλλοι, καὶ ὁρῶντες ἔτρεμον· ὁ δ' ἐν τῷ κινδύνῳ καθεστὼς ἀνδρεῖος ὢν, μόνον ἠγωνία. ὅθεν ἄλλως μὲν ποιεῖ τὸν Δόλωνα, καὶ τὸν Λυκάονα φοβουμένους, ἄλλως δὲ τὸν Αἴαντα καὶ τὸν Μενέλαον, ἐντροπαλιζομένους, καὶ βάδην ὑποχωροῦντας, ὥςπερ ἀπωσαμένους σταθμοῦ λέοντας. ὡςαύτως δὲ καὶ λυπουμένων διαφορὰς ἐπιδείκνυσι, καὶ ἡδομένων ὁμοίως· ὥςπερ ὁ μὲν Ὀδυσσεὺς, διηγούμενος ὧν τρόπον τοὺς Κύκλωπας ἐξηπάτησεν, ἔφη,

— ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ.

οἱ δὲ μνηστῆρες, πεσόντα τὸν πτωχὸν ἰδόντες,

Χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον.

φαίνεται δὲ ἐν κατωτέροις ἡ τοῦ μετρίου διαφορά· καὶ ὁ μὲν Ὀδυσσεὺς τῆς ἑαυτοῦ γυναικὸς ἐρῶν, καὶ κλαίουσαν ἐπ' αὐτῷ ὁρῶν, φέρει,

Ὀφθαλμοὶ δ' ὥσει κέρα ἵστασαν, ἠὲ σίδηρος·

τῶν δὲ μνηστήρων τῆς αὐτῆς ἐρώντων, τῶν θεασαμένων αὐτὴν

— λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν,
Πάντες δ' ἠρήσαντο παρὰ λεχέεσσι κλιθῆναι.

τοιαῦτα μέν ἐστι τὰ παρὰ τῷ ποιητῇ περὶ ψυχῆς δυνάμεων, καὶ παθῶν.

CXXXVI. *Περὶ δὲ ἀγαθῶν καὶ εὐδαιμονίας* πολλὰ εἰρημένων παρὰ τοῖς φιλοσόφοις, τὸ μὲν τὴν ἀρετὴν τῆς ψυχῆς, μέγιστον εἶναι τῶν ἀγαθῶν, κατὰ πάντα συνέστηκεν. ἀλλ' οἱ μὲν Στωϊκοὶ τὴν ἀρετὴν αὐτάρκη ἡγοῦνται πρὸς εὐδαιμονίαν, λαβόντες τὸ ἐνδόσιμον ἐκ τῶν Ὁμηρικῶν τούτων, ἐν οἷς τὸν σοφώτατον καὶ φρονιμώτατον πεποίηκεν, ὑπὲρ εὐκλείας πόνου καταφρονοῦντα καὶ ἡδονῆς ὑπερορῶντα· τὸ μὲν πρότερον, οὕτως,

Ἀλλ' οἷον τόδ' ἔρεξε, καὶ ἔτλη καρτερὸς ἀνήρ·
Αὐτὸν μὲν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,

Σπεῖρα κἀπ' ἀμφ' ὤμοισι βαλὼν, οἰκῆϊ ἐοικὼς,
Ἀνδρῶν δυσμενέων κατέδυ πτόλιν·

τὸ δεύτερον δὲ οὕτως,

Ἦ μὲν μ' αὐτόθ' ἔρυκε Καλυψὼ, δῖα θεάων.
Ὡς δ' αὔτως Κίρκη κατερήτυνεν ἐν μεγάροισιν
Αἰαίη, δολόεσσα, λιλαιομένη πόσιν εἶναι·
Ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.

μάλιστα δὲ ἐν τούτοις τὴν τῆς ἀρετῆς δόξαν σώζουσιν, ἐν οἷς τὸν μὲν Ἀχιλλέα ποιεῖ οὐ μόνον ἀνδρεῖον, ἀλλὰ καὶ κάλλιστον τὸ εἶδος, καὶ ποδωκέστατον, καὶ εὐγενέστατον, καὶ πατρίδος ἐπιφανοῦς, καὶ ὑπὸ τοῦ μεγίστου τῶν Θεῶν βοηθούμενον· τὸν δὲ Ὀδυσσέα, συνετὸν μὲν καὶ καρτερὸν τῇ ψυχῇ, τὰ δὲ ἄλλα οὐκ ἐμοιρῆ τύχῃ κεχρημένον· ἡλικίας τε καὶ ὄψεως οὐκ ἴσης, καὶ γονέων οὐ πάντη ὀνομαστῶν, καὶ πατρίδος ἀδόξου, καὶ ἀπεχθόμενον ἑτέρῳ θεῷ· ὧν οὐδὲν ἐκώλυεν αὐτὸν εἶναι εὐκλεᾶ, τὴν τῆς ψυχῆς ἀρετὴν κεκτημένον.

CXXXVII. Οἱ δ' ἐκ τοῦ Περιπάτου πρωτεύσαντες τὰ τῆς ψυχῆς ἀγαθὰ νομίζουσιν, οἷον φρόνησιν, ἀνδρείαν, σωφροσύνην, δικαιοσύνην· δεύτερα δὲ εἶναι τὰ τοῦ σώματος, οἷον, ὑγίειαν, ἰσχύν, κάλλος, τάχος· τρίτα δὲ, τὰ ἐκτὸς, οἷον, εὐδοξίαν, εὐγένειαν, πλοῦτον· ἐπαινετὸν μὲν γὰρ εἶναι καὶ θαυμαστὸν τὸ ἐν ἀληθόσι, καὶ νόσῳ, καὶ ἀπορίᾳ, καὶ συμφοραῖς ἀβουλήτοις, χρῆσθαι τῇ ἀρετῇ τῆς ψυχῆς ἀντεχούσης τοῖς κακοῖς, οὐ μέντοι αἱρετὸν, οὐδὲ μακάριον· τὸ δ' ἐν ἀγαθοῖς νοῦν ἔχειν, τῷ ὄντι εὔδαιμον· οὐδὲ γὰρ τὴν κτῆσιν μόνην τῆς ἀρετῆς, ἀλλὰ καὶ τὴν χρῆσιν καὶ τὴν ἐνέργειαν εἶναι καλόν. ταῦτα δὴ καὶ Ὅμηρος δείκνυσιν ὄντως· τοὺς μὲν γὰρ Θεοὺς ἀεὶ ποιεῖ

— δοτῆρας ἐάων,

τουτέστι τῶν ἀγαθῶν, ἃ καὶ εὔχονται οἱ ἄνθρωποι παρέχειν αὐτοῖς τοὺς Θεοὺς, οὐκ ἀνωφελῆ, δηλονότι ὄντα αὐτοῖς, οὐδὲ ἀδιάφορα, ἀλλὰ πρὸς εὐδαιμονίαν χρή-

μα.

CXXXVIII. Τίνα οὖν ἐστι τὰ ἀγαθὰ ὧν ἐφ'

οἱ ἄνθρωποι, καὶ δι' ἃ μακαρίζονται, ἐν πολλοῖς διασαφεῖ, ἅμα μὲν πάντα ἐπὶ τοῦ Ἑρμοῦ,

— οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητός,

Πέπνυσαι δὲ νόῳ, μακάρων δ' ἐξ ἔσσι τοκήων·

μαρτυρεῖ γὰρ αὐτῷ κάλλος σώματος, καὶ φρόνησιν, καὶ εὐγένειαν. τὰ δὲ κατὰ μέρος,

Τῷ δὲ θεοὶ κάλλος τε καὶ ἠνορέην ἐρατειὴν

Ὤπασαν, καὶ θεσπέσιον πλοῦτον κατέχευε Κρονίων·

θῶρον γάρ ἐστι καὶ τοῦτο τοῦ θεοῦ.

Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισι.

CXXXIX. Ποτὲ δὲ καὶ τὴν τιμὴν ἡγεῖται καλὸν,

Τιολμην δ' ὡς τιεῖ' Ἀθηναίη καὶ Ἀπόλλων·

πῶς δὲ τὴν εὐπαιδίαν,

Ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι·

πῶς δὲ τὴν τῶν οἰκείων ἀπόλαυσιν,

Πέμπετέ με σπείσαντες ἀπήμονα· χαίρετε δ' αὐτοί.

Ἤδη γὰρ τετέλεσται ἃ μοι φίλος ἤθελε θυμὸς,

Πομπὴ καὶ φίλα δῶρα, τά μοι θεοὶ οὐρανίωνες

Ὄλβια ποιήσειαν· ἀμύμονα δ' οἶκοι ἀκοιτιν

Νοστήσας εὕροιμι σὺν ἀρτεμέεσσι φίλοισιν.

Τμεῖς δ' αὖθι μένοντες ἐὺρραίνοιτε γυναῖκας

Κουριδίας καὶ τέκνα· θεοὶ δ' ἀρετὴν ὀπάσειαν

Παντοίην, καὶ μή τι κακὸν μεταδήμιον εἴη.

CXL. Ὅτι δὲ ἐν τῇ τῶν ἀγαθῶν συγκρίσει, τοῦ πλούτου κρεῖσσόν ἐστιν αὐτὸ τὸ δύνασθαι, δηλοῖ διὰ τούτων,

Ὅς καὶ χρυσὸν ἔχων, πόλεμόνδ' ἴεν ἠΰτε κούρη,

Νήπιος, οὐδέ τι οἱ τόδ' ἐπήρκεσε λυγρὸν ὄλεθρον·

καὶ,

Ὡς οὔ τοι χαίρων, τοῖσδε κτεάτεσσιν ἀνάσσω.

καὶ ὅτι τὸ φρονεῖν, τοῦ καλοῦ εἶδους ἄμεινον,

Ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνὴρ·

Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει.

CXLI. Δῆλον μὲν οὖν ὅτι καὶ τὰ περὶ σῶμα καὶ τὰ ἐκτὸς εὐτυχούμενα, ἀγαθὸν νομίζει· ὅτι δὲ ἄνευ τούτων οὐκ ἔστιν αὐτάρκης ἡ ἀρετὴ μόνη πρὸς εὐδαιμονίαν, ἐν ἐκείνοις παρίστησι· δύο γὰρ ἄνδρας εἰς τέλο

ὑρετῆς ἥκοντας ὑποθήκης, τὸν Νέστορα καὶ τὸν
δυσσέα καὶ τῶν μὲν ἄλλων διαφέροντας, ἀλλήλ
ὁμοίους φρονήσει καὶ ἀνδρείᾳ καὶ λόγων δυνάμει, θ
τι ὁμοίους ἐν ταῖς τύχαις πεποιηκεν, ἀλλὰ τῷ μὲ
στορι τοὺς θεοὺς

Ὅλβον ἐπικλῶσαι, γαμέοντί τε, γεινομένῳ τε·

Αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισι,

Πέας αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους·

τὸν δὲ Ὀδυσσέα, καίπερ πολύμητιν ὄντα, καὶ ἐγχέ
καὶ ἐχέφρονα, ἀποκαλεῖ δύστηνον πολλάκις. καὶ γ
τὸν μὲν, ἐς τὴν ἀνακομιδὴν πλεῦσαι ταχέως καὶ ἐπ
λῶς· τὸν δὲ πλανηθῆναι χρόνῳ πολλῷ, καὶ πόν
καὶ κινδύνους ὑπομένειν ἀεὶ μυρίους. οὕτως ἀρε
καὶ μακάριόν ἐστιν, ὅταν τῇ ἀρετῇ συναιρομένη
μὴ ἀντιπράττουσα ἡ τύχη παρῇ.

CXLII. Πῶς δὲ ἡ πεῖσις τῆς ἀρετῆς οὐδὲν ἂ
ὄφελος ἂν μὴ καὶ ἐνεργῇ, φανερὸν ἐκ τούτων, ὅπου
μὲν Πάτροκλος ἐπιπλήσσων τῷ Ἀχιλλεῖ, λέγει,

Αἰναρέτη, τί σευ ἄλλος ὀνήσεται ὄψιγονός περ,

Αἰακὲ μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς·

οὕτω γὰρ προσεῖπε τὸν τῇ ἀπραξίᾳ ἀνωφελῆ ποιοῦντ
τὴν ἀρετήν. ὁ δὲ Ἀχιλλεὺς, τὴν ἀπραξίαν ταύτην ὀν
ρόμενος, φησὶν,

Ἀλλ' ἦμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης

Τοῖος ἐὼν οἷος οὔτις Ἀχαιῶν χαλκοχιτώνων·

ἄχθεται γὰρ ὅτι τὴν ἀρετὴν κεκτημένος, οὐ κέχρητ
αὐτῇ, ἀλλὰ μηνίων τοῖς Ἀχαιοῖς,

Οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,

Οὔτε ποτ' ἐς πόλεμόν γ', ἀλλὰ φθινύθεσκε φίλο
κῆρ,

Αὖθι μένων· ποθέεσκε δ' ἀϋτὴν τε πτόλεμόν τε·

καὶ γὰρ οὕτως ὁ Φοίνιξ ἐπαίδευε,

Μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων·

ὅθεν καὶ τεθνεὼς ἄχθεται τῇ ἀπραξίᾳ, λέγων,

Βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ

Ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,

Ἢ πᾶσιν νεκύεσσι κατηφορέουσιν ἀνάσσειν·

καὶ ἐπιφέρει τὴν αἰτίαν,

Οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ' αὐγὰς ἠελίοιο
Τοῖος ἰὼν οἷος ποτ' ἐνὶ Τροίῃ εἰρείῃ.

CXLIII. Ἔτι τοίνυν οἱ Στωϊκοὶ φίλους θεῶν τοὺς ἀγαθοὺς ἄνδρας ἀποφαίνοντες, παρ' Ὁμήρου καὶ τοῦτο ἔλαβον, λέγοντος ἐπὶ τοῦ Ἀμφιαράου,

Ὃν περὶ κῆρι φίλει Ζεὺς αἰγίοχος καὶ Ἀπόλλων·

καὶ ἐπὶ τοῦ Ὀδυσσέως,

Χαῖρε δ' Ἀθηναίῃ πεπνυμένῳ ἀνδρὶ δικαίῳ.

CXLIV. Ἔστι δὲ τῶν αὐτῶν φιλοσόφων δόγμα, καὶ τὸ διδακτὴν εἶναι τὴν ἀρετὴν, ἔχουσαν μὲν ἀρχὴν τὴν εὐγένειαν· ὃ καὶ Ὅμηρός φησι,

Τοίου γὰρ καὶ πατρὸς, ὃ καὶ πεπνυμένα βάζεις·

ὑπὸ δὲ παιδείας εἰς τὸ τέλειον προαγομένην. ἔστι γὰρ ἀρετὴς ἐπιστήμη τὸ ὀρθῶς βιοῦν· τουτέστιν, ὧν τοὺς εὖ βιωσομένους πράσσειν προσήκει. καὶ ταῦτα οὖν ἐκ παρ' Ὁμήρῳ, λέγει γὰρ,

Νήπιον, οὔπω εἰδόθ' ὁμοίου πολέμοιο,
Οἰδ' ἀγορέων·

καὶ ἐν ἄλλοις,

Οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
καὶ ὁ Φοίνιξ φησὶν ἐπὶ τοῦ Ἀχιλλέως,

Τοὔνεκά μι προέηκε διδασκέμεναι τάδε πάντα,
Μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων.

ἐπεὶ γὰρ ὁ βίος ἐκ πράξεων καὶ λόγων συνέστηκε, τούτων φησὶ διδάσκαλον ἑαυτὸν τοῦ νεανίσκου γεγονέναι. ἐκ δὲ τῶν εἰρημένων δῆλον ὅτι πᾶσαν ἀρετὴν ἀποφαίνει διδακτήν. οὕτω μὲν οὖν πρῶτος Ὅμηρος ἔν τε Ἠθικοῖς καὶ Φυσικοῖς φιλοσοφεῖ.

CXLV. Ἔχεται δὲ τῆς αὐτῆς θεωρίας καὶ Ἀριθμητικὴ, καὶ Μουσικὴ, ἃς καὶ Πυθαγόρας διαφερόντως ἐτίμησεν. Ἴδωμεν οὖν, εἰ καὶ τούτων ἐστὶ παρὰ τῷ ποιητῇ λόγος; ἀλλὰ μὴν πλεῖστος· ὀλίγα δὲ ἐκ πολλῶν παρατεθέντα ἐξαρκέσει. ὁ γὰρ Πυθαγόρας τοὺς ἀριθμοὺς μεγίστην δύναμιν ἔχειν ἡγούμενος, καὶ πάντα εἰς ἀριθμοὺς ἀναφέρων, τῶν τε ἄστρων τὰς περιόδους, καὶ τῶν ζώων τὰς γενέσεις, δύο τὰς ἀνωτάτω ὑφ-

ὑρετῆς ἥκοντας ὑποθέμενος, τὸν Νέστορα καὶ τὸν
δυσέα καὶ τῶν μὲν ἄλλων διαφέροντας, ἀλλὰ
ὁμοίους φρονήσει καὶ ἀνδρείᾳ καὶ λόγων δυνάμει, οὐ
τι ὁμοίους ἐν ταῖς τύχαις παποίηκεν, ἀλλὰ τῷ μὲν
στορι τοὺς θεοὺς

Ὄλβον ἐπικλῶσαι, γαμέοντί τε, γεινομένῳ τε·

Αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισιν,

Πέας αὖ πιυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους·

τὸν δὲ Ὀδυσσέα, καίπερ πολύμητιν ὄντα, καὶ ἀγχίνουν
καὶ ἐχέφρονα, ἀποκαλεῖ δύσηνον πολλάκις. καὶ γὰρ
τὸν μὲν, ἐς τὴν ἀνακομιδὴν πλεῦσαι ταχέως καὶ ἐσῶσαι
λῶς· τὸν δὲ πλανηθῆναι χρόνῳ πολλῷ, καὶ πάσας
καὶ κινδύνους ὑπομένειν ἀεὶ μυρίους. οὕτως οὐκ
καὶ μακάριόν ἐστιν, ὅταν τῇ ἀρετῇ συναιρομένη
μὴ ἀντιπράττουσα ἡ τύχη παρῇ.

CXLII. Πῶς δὲ ἡ πτῆσις τῆς ἀρετῆς οὐδὲν
ὄφελος ἂν μὴ καὶ ἐνεργῇ, φανερὸν ἐκ τούτων, ἐπεὶ
μὲν Πάτροκλος ἐπιπλήσσων τῷ Ἀχιλλεῖ, λέγει,

Αἰναρέτη, τίς σευ ἄλλος ὀνήσεται ὀψιγόνος περ,

Αἰκὲ μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς·

οὕτω γὰρ προσεῖπε τὸν τῇ ἀπραξίᾳ ἀνωφελῆ ποιοῦντα
τὴν ἀρετήν. ὁ δὲ Ἀχιλλεὺς, τὴν ἀπραξίαν ταύτην οὐ
ρούμενος, φησὶν,

Ἀλλ' ἤμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης

Τοῖος ἐὼν οἷος οὔτις Ἀχαιῶν χαλκοχιτώνων·

ἄχθεται γὰρ ὅτι τὴν ἀρετὴν κεκτημένος, οὐ κέχρηται
αὐτῇ, ἀλλὰ μηνίων τοῖς Ἀχαιοῖς,

Οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,

Οὔτε ποτ' ἐς πόλεμόν γ', ἀλλὰ φθινύθεσκε φίλον
κῆρ,

Αὖθι μένων· ποθέεσκε δ' ἀϋτὴν τε πτόλεμόν τε·

καὶ γὰρ οὕτως ὁ Φοίνιξ ἐπαίδευε,

Μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων·

ὅθεν καὶ τεθνεὼς ἄχθεται τῇ ἀπραξίᾳ, λέγων,

Βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ

Ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,

Ἢ πᾶσιν νεκύεσσι κατοφθιμένοισιν ἀνάσσειν·

καὶ ἐπιφέρει τὴν αἰτίαν,

Οὔ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ' αὐγὰς ἠελίοιο
Τοῖος ἐὼν οἷος ποτ' ἐνὶ Τροίῃ εἰρείῃ.

CXLIII. Ἔτι τοίνυν οἱ Στωϊκοὶ φίλους θεῶν τοὺς ἀγαθοὺς ἄνδρας ἀποφαίνοντες, παρ' Ὁμήρου καὶ τοῦτο ἔλαβον, λέγοντος ἐπὶ τοῦ Ἀμφιαράου,

Ὃν περὶ κῆρι φίλει Ζεὺς αἰγίοχος καὶ Ἀπόλλων·

καὶ ἐπὶ τοῦ Ὀδυσσέως,

Χαῖρε δ' Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ.

CXLIV. Ἔστι δὲ τῶν αὐτῶν φιλοσόφων δόγμα, καὶ τὸ διδακτὴν εἶναι τὴν ἀρετὴν, ἔχουσαν μὲν ἀρχὴν τὴν εὐγένειαν· ὃ καὶ Ὁμηρός φησι,

Τοίου γὰρ καὶ πατρὸς, ὃ καὶ πεπνυμένα βάζεις·

ὑπὸ δὲ παιδείας εἰς τὸ τέλειον προαγομένην. Ἔστι γὰρ ἀρετῆς ἐπιστήμη τὸ ὀρθῶς βιοῦν· τουτέστιν, ὧν τοὺς εὖ βιωσομένους πράσσειν προσήκει. καὶ ταῦτα οὖν ἐκ παρ' Ὁμήρῳ, λέγει γὰρ,

Νήπιον, οὔπω εἰδὼθ' ὁμοίου πολέμοιο,
Οἰδ' ἀγορέων·

καὶ ἐν ἄλλοις,

Οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
καὶ ὁ Φοίνιξ φησὶν ἐπὶ τοῦ Ἀχιλλέως,

Τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα,
Μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων.

ἐπεὶ γὰρ ὁ βίος ἐκ πράξεων καὶ λόγων συνέστηκε, τούτων φησὶ διδάσκαλον ἑαυτὸν τοῦ νεανίσκου γεγονέναι. ἐκ δὲ τῶν εἰρημένων δῆλον ὅτι πᾶσαν ἀρετὴν ἀποφαίνει διδακτήν. οὕτω μὲν οὖν πρῶτος Ὅμηρος ἔν τε Ἠθικοῖς καὶ Φυσικοῖς φιλοσοφεῖ.

CXLV. Ἔχεται δὲ τῆς αὐτῆς θεωρίας καὶ Ἀριθμητικὴ, καὶ Μουσικὴ, ἃς καὶ Πυθαγόρας διαφερόντως ἐτίμησεν. Ἴδωμεν οὖν, εἰ καὶ τούτων ἐστὶ παρὰ τῷ ποιητῇ λόγος; ἀλλὰ μὴν πλεῖστος· ὀλίγα δὲ ἐκ πολλῶν παρατεθέντα ἐξαρκέσει. ὁ γὰρ Πυθαγόρας τοὺς ἀριθμοὺς μεγίστην δύναμιν ἔχειν ἡγούμενος, καὶ πάντα εἰς ἀριθμοὺς ἀναφέρων, τῶν τε ἄστρων τὰς περιόδους, καὶ τῶν ζώων τὰς γενέσεις, δύο τὰς ἀνωτάτω ἀρ-

χὰς ἐλάμβανε, τὴν μὲν ὡρισμένην, μονάδα, τὴν δὲ ἀόριστον, δυάδα καλῶν· τὴν μὲν, ἀγαθῶν, τὴν δὲ, κακῶν οὖσαν ἀρχήν. ἡ μὲν γὰρ τῆς μονάδος φύσις ἐγγενομένη, τῷ μὲν περιέχοντι εὐκρασίαν, ψυχαῖς δὲ ἀρετὴν, σώματι δὲ ὑγίειαν, πόλεσι δὲ καὶ οἴκοις εἰρήνην καὶ ὁμόνοιαν παρέσχε· πᾶν γὰρ ἀγαθὸν, συμφωνίας οἰκεῖόν ἐστιν. ἡ δὲ τῆς δυάδος, πᾶν τοὐναντίον, ἀέρι χειμῶνα, ψυχαῖς κακίαν, σώμασι νόσους, πόλεσι δὲ καὶ οἰκίαις στάσεις καὶ ἔχθρας ἐγέννησε· πᾶν γὰρ κακὸν ἐκ διαστάσεως καὶ διαφορᾶς γίνεται. ὅθεν καὶ τῶν ἐφεξῆς ἀριθμῶν τὸν μὲν ἄρτιον, ἐνδεᾶ καὶ ἀτελῆ· τὸν δὲ περισσὸν, πλήρη τε καὶ τέλειον ἀπέφηνεν, ὅτι μιγνύμενός τε πρὸς τὸν ἄρτιον, ἀεὶ τὴν ἑαυτοῦ δύναμιν διασώζει, τοῦ περισσοῦ καὶ ἐν τούτοις ἐπικρατοῦντος· ἑαυτῷ τε συντιθέμενος γεννᾷ τὸν ἄρτιον· γόνιμος γάρ ἐστι, καὶ ἔχει δύναμιν ἀρχῆς, καὶ διαίρεσιν οὐκ ἐπιδέχεται, ἀεὶ τῆς μονάδος ἐν αὐτῷ περιούσης. ὁ δὲ ἄρτιος οὔτε γεννᾷ ποτὲ τὸν περισσὸν, συντιθέμενος ἑαυτῷ, οὔτε ἐστὶν ἀδιαίρετος. καὶ Ὅμηρος τοίνυν τήν τε τοῦ ἑνὸς φύσιν ἐν τῇ τοῦ ἀγαθοῦ μοίρᾳ, καὶ τὴν τῆς δυάδος ἐν τῇ τοῦ κακοῦ τιθεὶς φαίνεται πολλάκις, ἐνηέα τὸν ἀγαθὸν λέγων πολλάκις, καὶ ἐνηείην την τοιαύτην διάθεσιν· δύην δὲ, τὴν κάκωσιν· καὶ ὅτι,

Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω·

καὶ,

Μήτε ἐν πολέμοις δίχα βάζειν, μήδ' ἐνὶ βουλῇ,
Ἀλλ' ἕνα ἔχοντες νόον, καὶ ἐπίφρονα βουλήν.

ἀεὶ δὲ τῷ περισσῷ ἀριθμῷ χρῆται ὡς κρείσσονι. καὶ γὰρ τὸν σύμπαντα κόσμον πέντε μοίρας ἔχοντα ποιῶν, τὰς τρεῖς τούτων οὔσας μέσας διαιρεῖ,

Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς.

διὸ καὶ Ἀριστοτέλης, πέντε εἶναι τα στοιχεῖα ἐνόμισεν, ὡς τοῦ περισσοῦ καὶ τελείου ἐν παντὶ τὸ κράτος ἔχοντος. καὶ τοῖς μὲν οὐραν'οις δαίμοσι τὰ περισσὰ ἀπονέμει. ὅ, τε γὰρ Νέστωρ Ποσειδῶνι θύει ἐννεάκις ἐννέα ταύρους· καὶ τὸν Ὀδυσσέα θύειν κελεύει ὁ Τειρεσίας

Ἄρνειον, ταῦρόν τε, συῶν τ' ἐπιβήτορα κάπρον·

ὃ δὲ Ἀχιλλεὺς τῷ Πατρόκλῳ ἐναγίζει πάντα ὅρτια, ἵππους μὲν τέσσαρας,

Δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλούς·

καὶ ἐννέα κυνῶν ὄντων, τοὺς δύο ἐμβάλλει τῇ πυρᾷ, ἵνα τοὺς ἑπτὰ ἑαυτῷ ἀπολίπηται. καὶ ἐν τολλοῖς, τῷ τῶν τριῶν, καὶ πέντε, καὶ ἑπτὰ ἀριθμῷ χρῆται. μάλιστα δὲ τῷ τῶν ἐννέα,

Ὣς νείκεσσ' ὁ γέρων· τοὶ δ' ἐννέα πάντες ἀνέσταν·

καὶ,

Ἐννέωροι γὰρ τοί γε, καὶ ἐννεαπήχεες ἦσαν

Εὖρος· ἀτὰρ μῆκός τε γενέσθην ἐννέόργυιοι·

καὶ,

Ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο.

καὶ,

Ἐννῆμαρ ξείνισσε, καὶ ἐννέα βοῦς ἱέρευσε.

τί δή ποτ' οὖν ἐστιν ὁ τῶν ἐννέα ἀριθμὸς τελειότατος; ὅτι ἐστὶν ἀπὸ τοῦ πρώτου περισσοῦ τετράγωνος, καὶ περισσάκις περισσὸς, εἰς τρεῖς διαιρούμενος τριάδας· ὧν ἑκάστη πάλιν εἰς τρεῖς μονάδας διαιρεῖται.

CXLVI. Οὐ μόνον δὲ τὴν δύναμιν τῶν ἀριθμῶν ἀλλὰ καὶ τὴν Λογιστικὴν μέθοδον ὑπέδειξεν, ἐν μὲν τῷ καταλόγῳ ποιήσας,

Τῶν μὲν πεντήκοντα νέες κίον· ἐν δὲ ἑκάστῃ

Κοῦροι Βοιωτῶν ἑκατὸν καὶ εἴκοσι βαῖνον·

καὶ πάλιν,

Πεντήκοντ' ἔσαν ἄνδρες.

ἐξ ὧν λογίζεσθαι πάρεστιν, ὅτι τῶν νεῶν πασῶν οὐσῶν ἐγγὺς χιλίων διακοσίων, καὶ ἐχουσῶν ἑξ ἑκατὸν ἀνδρῶν, ὁ σύμπας ἀριθμὸς, δώδεκά που μυριάδων γίνεται. πάλιν δὲ ἐπὶ τῶν Τρώων φήσας,

Χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο· πὰρ δὲ ἑκάστῳ

Εἵατο πεντήκοντα,

παρέχει λογίζεσθαι, ὅτι ἦσαν πεντάκις μύριοι, ἄνευ τῶν συμμάχων.

CXLVII. Τὴν δὲ Μουσικὴν, οἰκειοτάτην οὖσαν τῇ ψυχῇ, καθότι ἐστὶν ἁρμονία κεκραμένη ἐκ διαφόρων ἀρχῶν, καὶ τοῖς μέλεσι καὶ ῥυθμοῖς, τὸ, τα ἐκλελυμένον

αὐτῆς ἐπιτείνουσαν, καὶ τὸ σφοδρὸν ἀνιεῖσαν, οἵτι Πυθαγορικοὶ διὰ σπουδῆς εἶχον, καὶ πρὸ αὐτῶν Ὅμηρος· καὶ ἐγκώμιον μὲν αὐτῆς ἐπὶ τῶν Σειρήνων διεξέρχεται, ᾧ καὶ ἐπιλέγει,

Ἀλλ' ὄγε τερψάμενος νεῖται καὶ πλείονα εἰδώς.

ἄλλοτε δ' ἐν ταῖς εὐωχίαις τὴν κιθάραν παραλαμβάνει, ὡς καὶ παρὰ τοῖς μνηστῆρσι

Φόρμιγξ, — ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρῃ.

καὶ παρ' Ἀλκινόῳ ὁ κιθαρῳδὸς

— ὑπεβάλλετο καλὸν ἀείδειν.

καὶ ἐν γάμοις,

Αὐλοὶ, φόρμιγγές τε βοὴν ἔχον.

καὶ ἐν ἔργοις, ὅπου τρυγωμένης ὀπώρας

— πάϊς φόρμιγγι λιγείῃ

Ἱμέροεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδεν

Λεπταλέῃ φωνῇ.

καὶ ἐν πολέμῳ,

Αὐλῶν συρίγγων τ' ἐνοπὴν

ἀκούεσθαι λέγει. οὐδὲν δὲ ἧσσον καὶ εἰς πένθη παραλαμβάνει τὴν μουσικὴν,

Θρήνων ἐξάρχους ἀοιδοὺς

ποιῶν, ὡς τῇ λειότητι τῶν μελῶν τὴν τραχύτητα τῆς ψυχῆς καταγγέλλοντας.

CXLVIII. Οὐκ ἄδηλον δὲ ὅτι διττή ἐστιν ἡ μελῳδία· ἡ μὲν, ἐν τῇ φωνῇ, ἡ δὲ, ἐν ὀργάνοις, τοῖς τε ἐμπνευστοῖς, τοῖς τε ἐντατοῖς· τῶν δὲ ἐν αὐτῇ φθόγγων, ὁ μὲν, ἐστὶ βαρὺς, ὁ δὲ, ὀξύς. καὶ τούτων δὲ τὰς διαφορὰς Ὅμηρος ἔγνω, ὃς γυναῖκας μὲν καὶ παῖδας, καὶ γέροντας, ὀξυφώνους ποιεῖ, διὰ τὸ λεπτὸν τοῦ πνεύματος· τοὺς δὲ ἄνδρας, βαρυφώνους, ἔν τε ἄλλοις, καὶ ἐν τούτοις,

Τῷ δὲ βαρυστενάχοντι παρίστατο πότνια μήτηρ·

Ὀξὺ δὲ κωκύσασα, κάρη λάβε παιδὸς ἑοῖο·

καὶ πάλιν,

Ὣς ὃ βαρυστενάχων ἔπεϊ Ἀργείοισι μετηύδα.

οἱ δὲ γέροντες,

Τέττιξιν ἐοικότες,

ζώοις ὀξυφώνοις ἰσάζονται. καὶ ἐν τοῖς ὀργάνοις δὲ αἱ χορδαὶ ὅσαι λεπταί εἰσι, καὶ συντόνως κινούμεναι, ῥᾳδίως τέμνουσι τὸν ἀέρα, ὅθεν τὸν ὀξὺν φθόγγον ἀποτελοῦσιν· αἱ δὲ παχεῖαι, βραδεῖαν ἔχουσαι τὴν κίνησιν, ἠχοῦσι βαρύν· καθ' ὃν λόγον καὶ Ὅμηρος τὴν μάσιγα, λιγυρὴν προσηγόρευσεν, ἐπεὶ λεπτὴ οὖσα ὀξὺν ἦχον ἀποδίδωσι. ταῦτα μὲν οὖν περὶ τῆς παρ' Ὁμήρῳ Μουσικῆς.

CXLIX. Ἐπεὶ δὲ ἐν τούτοις καὶ Πυθαγόρου ἐμνημονεύσαμεν, ᾧ μάλιστα ἤρεσκεν ἡ ἐχεμυθία, καὶ τὸ σιγᾷν ἃ μὴ χρὴ λέγειν, θεασώμεθα εἰ καὶ Ὅμηρος ταύτην ἔσχε τὴν γνώμην. ἐπί τε γὰρ τῶν παροινούντων ἔφη,

Καί τι ἔπος προέηκεν ὅπερ τ' ἄῤῥητον ἄμεινον·

καὶ τῷ Θερσίτῃ ἐπιπλήττει,

Ἴσχεο·

Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής,

καὶ τοῦ Ἰδομενέως καθαπτόμενος ὁ Αἴας, λέγει,

Ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι· οὐδέ τί σε χρὴ

Λαβραγόρην ἔμεναι·

καὶ τῶν στρατευμάτων εἰς μάχην συνιόντων,

Τρῶες μὲν κλαγγῇ τ' ἴσαν, ὄρνιθες ὣς,

Οἳ δ' ἄρ' ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί·

βαρβαρικὸν γὰρ ἡ κραυγὴ, Ἑλληνικὸν δὲ ἡ σιωπή· διὸ καὶ τοὺς φρονιμωτάτους, ἐγκρατεστάτους γλώσσης πεποίηκε· καὶ τὸν Ὀδυσσέα τῷ υἱῷ διακελευόμενον,

Εἰ ἔτεόν γ' ἐμός ἐσσι, ἐμοὶ δέ σε γείνατο μήτηρ,

Μήτε τι Λαέρτης ἴστω τόδε, μήτε συβώτης,

Μήτε τις οἰκείων, μήτ' αὐτὴ Πηνελόπεια·

καὶ πάλιν αὐτῷ παραινεῖ,

Σίγα καὶ κατὰ σὸν νόον ἴσχανε, μήδ' ἐρέεινε.

τοιαῦτα μὲν δὴ τῶν ἐνδόξων φιλοσόφων τὰ ἐξ Ὁμήρου τὴν ἀρχὴν ἔχει δόγματα.

CL. Εἰ δὲ δεῖ καὶ τῶν ἰδίας τινὰς αἱρέσεις ἑλομένων μνημονεῦσαι, εὕροιμεν ἂν κἀκείνους παρ' Ὁμήρου τὰς ἀφορμὰς λαβόντας. Δημόκριτον μὲν, τὰ εἴδωλα ποιήσαντα ἐξ ἐκείνων,

Αὐτὰρ ὃ εἴδωλον τεῦξ' ἀργυρότοξος Ἀπόλλων·
ἄλλους δὲ πλανηθέντας, οἷς ἐκεῖνος οὐχ ἑπόμενος, ἀλλὰ πρὸς τὸν παραπίπτοντα καιρὸν ἁρμοζόμενος, παρέθηκεν. ἐπεὶ γὰρ ὁ Ὀδυσσεὺς παρ' Ἀλκινόῳ κατεχόμενος ἡδυπαθείᾳ καὶ τρυφῇ κεχρημένῳ, πρὸς χάριν αὐτῷ διαλεγόμενος ἔφη,

Οὐ γάρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι,
Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
Δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ,
Ἥμενοι ἐξείης· παρὰ δὲ πλήθωσι τράπεζαι
Σίτου καὶ κρειῶν· μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
Οἰνοχόος φορέῃσι, καὶ ἐγχείῃ δεπάεσσι.

Τοῦτό τι μοὶ κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

τούτοις παραχθεὶς καὶ Ἐπίκουρος, τὴν ἡδονὴν τέλος εὐδαιμονίας ἐνόμισε. καὶ ἐπεὶ αὐτὸς οὗτος ὁ Ὀδυσσεὺς ποτὲ μὲν οὖλῃ καὶ ἁπαλῇ χλανίδι ἠμπίσχετο, ποτὲ δὲ ῥακίοις καὶ πήραις, καὶ νῦν μὲν τῇ Καλυψοῖ συναπαύετο, νῦν δὲ ἐπὶ Ἴρου καὶ Μελανθίου περιυβρίζετο, ταύτην εἰκόνα τοῦ βίου παραλαβὼν Ἀρίστιππος, καὶ πενίᾳ, καὶ πόνοις συνηνέχθη ἐῤῥωμένως, καὶ ἡδονῇ ἀφειδῶς ἐχρήσατο.

CLI. Τῆς δὲ Ὁμήρου σοφίας καὶ ἐκεῖνα καταμαθεῖν ἐστι δείγματα, ὅτι καλὰ καὶ πολλὰ σοφῶν ἀνδρῶν Ἀποφθέγματα προανεφώνησεν· οἷον τὸ,

Ἕπου θεῷ,

Ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ.

καὶ, μηδὲν ἄγαν,

Καὶ δ' ἄλλῳ νεμεσῶ, ὅς κ' ἔξοχα μὲν φιλέῃσιν,
Ἔξοχα δὲ ἐχθαίρῃσιν· ἀμείνω δ' αἴσιμα πάντα.

καὶ, ἐγγύα, πάρα δ' ἄτα,

Δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι.

καὶ τὸ τοῦ Πυθαγόρου πρὸς τὸν πυθόμενον, τίς ἐστι φίλος; ῥηθὲν, ἄλλος ἐγώ,

Ἴσον ἐμῇ κεφαλῇ.

CLII. Ἔστι δὲ τῆς αὐτῆς ἰδέας τῶν Ἀποφθεγμάτων καὶ ἡ καλουμένη Γνώμη, ἥπερ ἐστὶν ἀπόφασις παθολογικὴ περὶ τῶν κατὰ τὸν βίον λόγῳ συντόμῳ. καὶ τοίνυν ἐν ταύτῃ χρησαμένων πάντων ποιητῶν καὶ φιλοσόφων,

λογογράφων, καὶ γνωμικῶς τινα ὑποφαίνεσθαι ἐπιτηδευσάντων, πρῶτος Ὅμηρος πολλὰς καὶ ἀγαθὰς γνώμας ἐξήνεγκε δι' ὅλης τῆς ποιήσεως· τοῦτο μὲν ἀποφαινόμενος, οἷόν ἐστιν ὃ βούλεται παραστῆσαι, ὡς ὅταν εἴπῃ,

Κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηϊ·
τοῦτο δὲ, ὡς δέον πράσσειν τι, οἷον,
Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα.

CLIII. *Πολλὰς δὲ Γνώμας καὶ παραινέσεις ἀγαθὰς Ὁμήρου ἐξενεγκόντος, παρέφρασαν οὐκ ὀλίγοι τῶν μετ' αὐτόν· ὧν τινα παραδείγματα οὐκ ἄκαιρόν ἐστι παραθέσθαι. οἷόν ἐστι τὸ Ὁμήρου,*

Νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες,
Ἢ ἔτι μιν μέμαμεν καταπαυσέμεν ἄσσον ἰόντες,
Ἢ ἔπει, ἠὲ βίῃ· ὃ δ' ἀφήμενος οὐκ ἀλεγίζει,
Οὐδ' ἔθεται· φησὶν γὰρ ἐν ἀθανάτοισι θεοῖσι
Κάρτεϊ τε σθένεϊ τε διακριδὸν εἶναι ἄριστος.
Τῷ ἔχεθ' ὅ, τι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ·

παρὰ τοῦτο δέ ἐστι τὸ Πυθαγορικὸν,

Ὅσσα τε δαιμονίαισι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
Ἢν ἂν μοῖραν ἔχῃς, πρᾴως φέρε, μηδ' ἀγανάκτει,

καὶ ἐπὶ τούτοις, τὸ Εὐριπίδου,

Τοῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
Μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' ὁ τυγχάνων
Τὰ πράγματ', ὀρθῶς ἂν τιθῇ, πράσσει καλῶς.

CLIV. *Πάλιν Ὅμηρος μέν φησι,*

Τέκνον ἐμὸν, τίο μέχρις ὀδυρόμενος καὶ ἀχεύων,
Σὴν ἴδεαι κραδίην;

ὁ δὲ Πυθαγόρας,

Φείδεο τῆς ζωῆς, μή μιν καταθυμοβορήσῃς.

CLV. *Ἔτι Ὁμήρου εἰπόντος.*

Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

Ἀρχίλοχος τά τε ἄλλα αὐτοῦ μιμούμενος, καὶ τοῦτο μὲν παρέφρασεν, εἰπών,

Τοῖος ἀνθρώποισι θυμὸς, Γλαύκε, Λεπτίνεω παῖ,
Γίνεται θνητοῖς, ὁποῖον Ζεὺς ἐφ' ἡμέρην ἄγει.

CLVI. *Καὶ ἐν ἄλλοις Ὁμήρου εἰπόντος,*

Ἄλλῳ μὲν γὰρ ἔδωκε Θεὸς πολεμήϊα ἔργα·
Ἄλλῳ δ' ἐν στήθεσσι τίθει νόον εὐρύοπα Ζεύς·
Ἔσθλὸν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωπ
Καί τε πόλεις ἐσάωσε· μάλιστα δέ κ' αὐτὸς ἀνέ
Εὐριπίδης παρὰ τοῦτο ἐποίησε,

Γνώμαις γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,
Εὖ δ' οἶκος· εἰς δ' αὖ πόλεμον ἰσχύει μέγα.
Σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χεῖρας
Νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία πλεῖστον κακόν.

CLVII. *Ἃ δὲ παρακελευόμενον τῷ ἑταίρῳ τὸν*
μενέα πεποίηκεν,

Ὦ πέπον, εἰ μὲν δὴ πόλεμον περὶ τόνδε φυγόντε
Ἀιεὶ δὴ μέλλοιμεν ἀγήρω τ' ἀθανάτω τε
Ἔσσεσθ', οὔτε κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην
Οὔτε κέ σε στέλλοιμι μάχην ἐς κυδιάνειραν.
Νῦν δ' (ἤμπης γὰρ κῆρες ἐφεστᾶσιν θανάτοιο
Μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν, οὐδ' ὑπαλύ
Ἴομεν, ἠέ τῳ εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν.

Αἰσχύλος μὲν δεύτερος λέγων, οὕτως ἔφη,

Ἀλλ' οὔτε πολλὰ τραύματ' ἐν στέρνοις λαβὼν
Θνήσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου·
Οὔτ' ἐν στέγῃ τὶς ἥμενος παρ' ἑστίᾳ,
Φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον.

ἐν δὲ πεζῇ λέγει Δημοσθένης οὕτως· πέρας μὲν
ἐστιν ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος, κἂν ἐ
κίσκῳ τὶς αὐτὸν καθείρξας τηρῇ· δεῖ δὲ τοὺς ἀγ
ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, φέρε
ὅ, τι ἂν ὁ Θεὸς διδῷ, γενναίως.

CLVIII. *Πάλιν δὲ τὸ Ὁμήρου,*

Οὗτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα,
Σοφοκλῆς παρέφρασεν, εἰπών,
Θεοῦ τὸ δῶρον τοῦτο· χρὴ δ' ὅσ' ἂν θεοὶ
Διδῶσι, φεύγειν μηδέν' ὦ τέκνον ποτέ.

CLIX. *Παρ' ἐκείνου δὲ,*

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδ

Θεόκριτος εἶπεν,

Οὔνεκά οἱ γλυκὺ Μοῦσα κατὰ στόματος χέε νέκταρ.

CLX. Πῶς δὲ καὶ Ἄρατος παρέφρασε, τὸ μὲν,

Οἵη δ' ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο,

εἰπών,

Ἄρκτου κυανέου πεφυλαγμένος ὠκεανοῖο·

τὸ δὲ,

— τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται,

εἰπών,

— ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει.

καὶ περὶ μὲν τούτων ἅλις.

CLXI. Ὁ δὲ Πολιτικὸς λόγος, ἐστὶν ἐν τῇ ῥητορικῇ τέχνῃ, ἧς ἐντὸς Ὅμηρος πρῶτος γέγονεν, ὡς φαίνεται. εἰ γάρ ἐστιν ἡ Ῥητορικὴ, δύναμις τοῦ πιθανῶς λέγειν, τίς μᾶλλον Ὁμήρου ἐν τῇ δυνάμει ταύτῃ καθέστηκεν; ὃς τῇ τε μεγαλοφωνίᾳ πάντας ὑπεραίρει, ἔν τε τοῖς διανοήμασι τὴν ἴσην τοῖς λόγοις ἰσχὺν ἐπιδείκνυται.

CLXII. Καὶ πρῶτόν ἐστι τῆς τέχνης ἡ Οἰκονομία, ἣν δὲ ὅλης τῆς ποιήσεως παρίστησι, καὶ μάλιστα ἐν ταῖς ἀρχαῖς τῶν πραγμάτων. οὐ γὰρ πόθῳθεν ἐμβαλὼν, τὴν ἀρχὴν τῆς Ἰλιάδος ἐποιήσατο, ἀλλὰ καὶ καθ' ὃν χρόνον αἱ πράξεις ἐνεργότεραι, καὶ ἀκμαιότεραι κατέστησαν· τὰ δὲ τούτων ἀργότερα, ὅσα ἐν τῷ παρελθόντι χρόνῳ ἐγένοντο, συντόμως ἐν ἄλλοις τόποις παρεδιηγήσατο. Τὸ δὲ αὐτὸ καὶ ἐν τῇ Ὀδυσσείᾳ πεποίηκεν, ἀρξάμενος μὲν ἀπὸ τῶν τελευταίων τῆς πλάνης τοῦ Ὀδυσσέως χρόνων, ἐν οἷς καιρὸς ἦν ἤδη καὶ τὸν Τηλέμαχον εἰσάγειν, καὶ τὴν τῶν μνηστήρων ὕβριν ἐμφανίζειν· τὰ δὲ πρὸ τούτων, ὅσα τῷ Ὀδυσσεῖ ἀλωμένῳ συνέπεσεν, αὐτὸν παράγει διηγούμενον, ἃ καὶ δεινότερα καὶ πιθανώτερα ἔμελλε φαίνεσθαι, ὑπὸ αὐτοῦ τοῦ παθόντος λεγόμενα.

CLXIII. Ἀεὶ τοίνυν χρωμένων τῶν ῥητόρων πάντων τοῖς προοιμίοις, ὑπὲρ τοῦ προσεκτικώτερον ἢ εὐνούστερον ποιεῖν τὸν ἀκροατὴν, αὐτὸς μὲν ὁ ποιητὴς κέχρηται προοιμίοις, τοῖς μάλιστα κινῆσαι, καὶ παρα-

γεσθαι πρὸς τὴν ἀπόφασιν δυναμένοις· ἔν τε τῇ Πριάμου προαναφωνῶν, ὅτι μέλλει λέγειν ὅσα διὰ τὴν Ἀχιλλέως ὀργήν, καὶ τοῦ Ἀγαμέμνονος ὕβριν, κακὰ τοῖς Ἕλλησι συνέβη· καὶ ἐν τῇ Ὀδυσσείᾳ, ὅσοις πόνοις καὶ κινδύνοις περιπεσὼν ὁ Ὀδυσσεὺς, πάντων τῇ τῆς ψυχῆς συνέσει καὶ καρτερίᾳ περιεγένετο. καὶ ἐν ἑκατέροις τῶν προοιμίων, τὴν Μοῦσαν παρακαλεῖ, ἵνα θειοτέραν καὶ μείζονα τὴν δόξαν τῶν λεγομένων παραστήσῃ.

CLXIV. *Πολλὰ δὲ τῶν εἰσαγομένων ὑπ' αὐτοῦ προσώπων λέγοντα ποιῶν ἢ πρὸς οἰκείους, ἢ φίλους, ἢ ἐχθροὺς, ἢ δήμους, ἑκάστῳ τὸ πρέπον εἶδος τῶν λόγων ἀποδίδωσιν. ὥςπερ ἐν ἀρχῇ τεποίηται αὐτῷ ὁ Χρύσης ἐν τοῖς πρὸς τοὺς Ἕλληνας λόγοις, χρησιμωτάτῳ προοιμίῳ κεχρημένος· συνεύχεται γὰρ αὐτοῖς πρότερον, κρατῆσαι τῶν πολεμίων, καὶ οἴκαδε ἀναστρέψαι, ἵνα τὴν παρ' αὐτῶν εὔνοιαν ἐπισπάσηται· ἔπειτα οὕτως ὑπὲρ τῆς παιδὸς παρακαλεῖ. ὁ δὲ Ἀχιλλεὺς ἐπὶ τῇ ἀπειλῇ τοῦ Ἀγαμέμνονος θυμούμενος, μιγνύει τὸν ὑπὲρ αὐτοῦ καὶ τῶν Ἑλλήνων λόγον, ἵνα κἀκείνους ἀκούσαντας, εὐνουστέρους καταστήσῃ· πάντας γὰρ ἐπὶ τὸν πόλεμον ἐστάλθαι, οὐκ ἰδίας τινὸς ἀπεχθείας ἕνεκα, ἀλλὰ εἰς χάριν αὐτοῦ τοῦ Ἀγαμέμνονος, καὶ τοῦ ἀδελφοῦ αὐτοῦ· καὶ πολλὰ μὲν πεποιηκέναι ἑαυτὸν, τὰ δὲ χαρις οὐ παρὰ τούτων, ἀλλὰ παρὰ τοῦ κοινοῦ τῶν Ἑλλήνων εἰληφέναι. οἷς ἀντιλέγων ὁ Ἀγαμέμνων, οὐκ ἀπορεῖ ὅπως καὶ αὐτὸς θεραπεύσῃ τὸ πλῆθος· φήσαντος γὰρ τοῦ Ἀχιλλέως ἀπελεύσεσθαι εἰς τὴν πατρίδα, δι' ἣν ἔπαθεν ὕβριν, οὐκ εἶπεν, ἄπιθι, ἀλλὰ, φεύγε, τὸ ἁπλῶς ῥηθὲν, εἰς τὸ ἀδοξότερον μεταβαλών· καὶ ὅτι, οὐ παρακαλῶ σε μένειν· πάρεισι γὰρ καὶ ἄλλοι, οἳ τιμῆς ἀξιώσουσί με· ἣν δὲ καὶ τοῦτο τοῖς ἀκούουσι κεχαρισμένον.*

CLXV. *Καὶ ἐπὶ τούτοις εἰςάγεται ῥήτωρ ὁ Νέςωρ, ὃν ἡδυεπῆ, καὶ λιγὺν ἀγορητὴν προσεῖπε,*

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή·

οὗ μεῖζον ἐγκώμιον οὐκ ἂν γένοιτο ῥήτορος. τί δὲ ὄφελος διαπράσσεται τῷ λόγῳ; ἄρχεται μὲν ἀπὸ προ-

μίου, δὲ οὐ μετάγνωσιν ἐμποιεῖν πειρᾶται τοῖς διαφερομένοις ἀριστεῦσιν, ἐντοεῖν αὐτοὺς παρασκευάζων, ὅτι μαχόμενοι παρέξουσιν ἀφορμὴν χαρᾶς τοῖς πολεμίοις· πρόεισι δὲ νουθετῶν ἑκάτερον, καὶ πείθεσθαι ἑαυτῷ, ὡς πρεσβυτέρῳ, παραινῶν· καὶ ἐν τῷ σωφρονίζειν τὸν ἕτερον, κεχαρισμένα τῷ ἑτέρῳ λέγει. τῷ μὲν γὰρ Ἀγαμέμνονι παραινεῖ, μὴ ἀφαιρεῖσθαι τὸ δοθὲν τῷ πολλὰ κεκμηκότι γέρας· τῷ δὲ Ἀχιλλεῖ, μὴ ἐρίζειν τῷ βασιλεύειν προκρινομένῳ· καὶ πρέποντα ἑκατέρῳ ἐπαινῶν, τῷ μὲν, ὡς πλεόνων βασιλεύοντι, τῷ δὲ, ὡς πλέον ἰσχύοντι, τοῦτον τὸν τρόπον πραΰνειν αὐτοὺς ἐπιχειρεῖ.

CLXVI. Τί δὲ, οὐχὶ καὶ ἐν τοῖς ἑξῆς, ὁπότε εἶδε τὸν ὄνειρον ὁ Ἀγαμέμνων, ἐλπίδας ἀγαθὰς αὐτῷ φέροντα παρὰ τοῦ Διὸς, καὶ ἐπλίζειν τοὺς Ἕλληνας παρακελευόμενον, ῥητορικῇ χρῆται τέχνῃ, τοὐναντίον οἷς βούλεται, πρὸς τοὺς πολλοὺς λέγων, ἵνα πεῖραν τῆς ὁρμῆς αὐτῶν λάβῃ, καὶ μὴ ἐπαχθὴς ᾖ, πολεμεῖν ἀναγκάζων ὑπὲρ ἑαυτοῦ; ἀλλ' αὐτὸς μὲν πρὸς χάριν λέγει· ἄλλος δέ τις τῶν πείθειν αὐτοὺς δυναμένων προτρέπει μένειν, ὡς τοῦτο τῇ ἀληθείᾳ τοῦ βασιλέως θέλοντος. καὶ γὰρ ἐν οἷς δημηγορεῖ, ἐμφαίνει ὅτι τοὐναντίον βούλεται· ὁ δὲ δεχόμενος τοὺς λόγους τούτους, ἐστὶν Ὀδυσσεύς, παῤῥησίᾳ τῇ πρεπούσῃ χρώμενος, καὶ τοὺς μὲν ἀρίστους λόγους προσηνέσι πείθων, τοὺς δὲ ὑποδεεστέρους κατα πληκτικῶς ὑπακούειν τοῖς κρείττοσιν ἀναγκάζων· καὶ τὸ ἄτακτον καὶ θορυβῶδες τῶν πολλῶν καταπαύσας, ἅμα πάντας πείθει λόγοις ἔμφροσι, μετρίως μὲν ὀνειδίσας, διότι οὐκέτι τελοῦσιν ἃ ὑπέσχοντο, καὶ ἅμα συγγνώμης ἀξιώσας, ὅτι πολὺν χρόνον ἄπρακτοι μένοντες, τῶν φιλτάτων ἐστέρηνται· παρακλήσει δὲ καὶ ἐλπίδι τῇ ἐκ τῶν μαντειῶν συμπείθων μένειν.

CLXVII. Ὁμοίως δὲ καὶ ὁ Νέστωρ, λόγους ἐξηλλαγμένους μὲν, εἰς ταυτὸ δὲ τείνοντας, ποιούμενος, καὶ πλείονι παῤῥησίᾳ πρὸς τοὺς ἤδη μεμαλαγμένους χρώμενος, πείθει τὸ πλῆθος· καὶ τὴν αἰτίαν τῆς ὀλιγωρίας εἰς ὀλίγους τοῦ μηδενὸς ἀξίους ἀναφέρων, τοὺς πολλοὺς ἐντρέπει· προστίθησι δὲ καὶ ἀπειλὴν τοῖς

ἀπειθοῦσι, καὶ εὐθέως συμβουλεύει τῷ βασιλεῖ, ὅταν χρὴ καταλέγειν τὰ στρατιωτικὰ τάγματα.

CLXVIII. *Πάλιν δὲ ἐν ταῖς κατὰ τὸν πόλεμον πράξεσι, τῶν Ἑλλήνων, τὰ μὲν εὐτυχησάντων, τὰ δὲ πταισάντων καὶ ἐν φόβῳ καταστάντων, ὁ μὲν Διομήδης, ἅτε τὸ ἐκ τῆς νεότητος Θράσος καὶ τὴν ἐκ τῆς ἀριστείας παῤῥησίαν ἔχων, πρὸ τοῦ ἐπιδείξασθαι τὴν ἀνδραγαθίαν, οἰωνῆς ἀξιώσας τὸ παρὰ τοῦ βασιλέως ὄνειδος, τότε ἐπιπλήσσει τῷ Ἀγαμέμνονι, ὡς ὑπὸ ἀνανδρίας συμβουλεύοντι φεύγειν· φησὶ γὰρ,*

Ἀτρεΐδη, σοὶ πρῶτα μαχέσσομαι ἀφραδέοντι,
Ἠΐθεμις ἐστὶν, ἄναξ, ἀγορῇ· σὺ δὲ μήτι χολωθῇς·
ἐν οἷς ἅμα μὲν νουθετεῖν αὐτὸν ἐπιχειρεῖ, ἅμα δὲ τὴν παῤ αὐτοῦ ὀργὴν παρωτεῖται. καὶ τὰ μὲν φθάνοντα διαπεπραῦχθαι ἑαυτῷ, ἀνεπαχθῶς ὑπομιμνήσκει, λέγων,

— — ταῦτα δὲ πάντα
Ἴσασ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες·

εἰς δὲ τὰ ἑξῆς προτρέπει τοὺς Ἕλληνας, τεχνικῶς ἐγκωμιάζων αὐτούς,

Δαιμόνι', οὔτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
Ἀπτολέμους τ' ἔμεναι, καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις·

καὶ αὐτὸν τὸν Ἀγαμέμνονα δυσωπεῖ, συγχωρῶν αὐτῷ εἰ βούλεται ἀπιέναι· τοὺς γὰρ ἄλλους ἐξαρκέσειν, ἢ κἂν πάντες φύγωσιν, αὐτόν γε σὺν τῷ ἑταίρῳ μένειν καὶ μάχεσθαι, εἰπών,

Νῶϊ δ' ἐγὼ Σθένελός τε μαχησόμεθα.

ὁ δὲ Νέστωρ τοῦτο μὲν γνώμης τε καὶ πράξεως ἀρετὴν μαρτυρεῖ, ὅσα δὲ εἰς τέλος τῆς συμβουλῆς διαφέρει ἑαυτὸν, ὡς πρεσβύτερον, δεῖν παραινεῖν ἀξιοῖ· καὶ ἐπεξεισι τῷ λόγῳ, τὴν πρὸς Ἀχιλλέα πρεσβείαν παρασκευάζειν ἐπιχειρῶν.

CLXIX. *Καὶ ἐν αὐτῇ δὲ τῇ πρεσβείᾳ ποικίλλει τέχναις ποιεῖ χρωμένους τοὺς ῥήτορας. ὁ μὲν γὰρ Ὀδυσσεὺς, ἀρχόμενος τοῦ λόγου, οὐκ εὐθέως ἔρχεται ὅτε Ἀχαιμένων μετεγνωκὼς ἐπὶ τῇ τῆς Βρισηΐδος ἀφαιρέσει, τό τε κόρην ἀποδίδωσι, καὶ δῶρα, τὰ μὲν παραυτίκα πέμπει, τὰ δ' ὕστερον ἐπαγγέλλεται· οὐ γὰρ ἦν χρὴ*

οἰδοῦντος ἔτι τοῦ θυμοῦ, ταῦτα ὑπομιμήσκειν· ἀλλὰ πρῶτον ἠθέλησεν ἐμβαλεῖν τὸν Ἀχιλλέα εἰς οἶκτον τῶν Ἑλληνικῶν ἀτυχημάτων· εἶτα εἰκὼς, ὕστερον βουληθεὶς ἐπανορθώσασθαι τὰς συμφορὰς, οἰκέτι δυνήσεται, μετὰ ταῦτα τῶν Πηλέως παραινέσεων ἀνέμνησεν, ἑαυτοῦ μὲν ἀφαιρῶν τὸ ἐπαχθὲς, τῷ δὲ μᾶλλον οἷον ῥέπειν δυνάμενος προσώπῳ τῷ τοῦ πατρὸς περιθεὶς τὸν λόγον· καὶ ὅτε ἐδόκει πρότερον αὐτὸν εἶναι, τότε καὶ τῶν Ἀγαμέμνονος δώρων, ἐμνημόνευσε· καὶ πάλιν εἰς τὰς ὑπὲρ τῶν Ἑλλήνων δεήσεις μετέβαλε τὸν λόγον, ὅτι εἰ καὶ δικαίως Ἀγαμέμνονι μέμφεται, καλὸν γοῦν σῶσαι τοὺς μηδὲν εἰς αὐτὸν ἐξημαρτηκότας· ἔχρῆν γὰρ καὶ τὸν ἐπίλογον μηδὲν τῶν λυποίντων ἴσχειν τὸν ἀκούοντα· ἐπεὶ καὶ μάλιστα μνημονεύεται τὰ τέλη τῶν λόγων· ἡ δὲ τελευταία παράκλησις ἴσχει τι καὶ διεγερτικὸν ἐπὶ τοὺς πολεμίους, ὡς καὶ αὐτοῦ κατατρυφῶντας· νῦν γὰρ ἄν, φησὶν, ἕλοις τὸν Ἕκτορα, εἰ σοι κατεναντίον σταίη· ἐπεὶ οὐδέτα τῶν Ἑλλήνων ἑαυτῷ φησὶν εἶναι ὅμοιον. ὁ δὲ Φοῖνιξ, δεδοικὼς μὴ ἐνθυσίαστον ἡ προσῆκε χρῆται τῇ δεήσει, δάκρυα προΐεται· καὶ πρῶτον μὲν τὴν ὁρμὴν αὐτοῦ συστέλλεται, φήσας μὴ ἀπολειφθήσεσθαι αὐτοῦ, εἰ ἀποπλέοι· τοῦτο γὰρ ἦν αὐτῷ κεχαρισμένον· καὶ τὴν αἰτίαν λέγει, ὅπως τρέφειν αὐτὸν ἐπιστεύθη παρὰ τοῦ Πηλέως, νήπιον παραλαβών, καὶ διδάσκαλος ἔργων καὶ λόγων εἶναι ἠξιώθη· παραδιηγεῖται δὲ καὶ τὰς ἐπὶ τῆς νεότητος ἁμαρτίας αὐτοῦ, ἐμφαίνων ὡς καὶ ἄβουλον ἡ τοιαύτη ἡλικία· καὶ προϊὼν, οὐδὲν τῶν εἰς προτροπὴν παραλείπει, πᾶσι τοῖς κεφαλαίοις ῥητορικῶς χρώμενος, ὅτι διηλλάχθαι καλὸν τῷ ἱκετεύοντι, καὶ δῶρα πέμποντι, καὶ πρέσβεις τοὺς ἀρίστους, κἀκείνων τιμιωτάτους ἀπεστάλκοτε· καὶ ὅτι καὶ αὐτὸς δίκαιός ἐστιν ἀκουσθῆναι, τροφεύς γε ὢν καὶ διδάσκαλος· καὶ ὅτι μεταγνώσεται προέμενος τὸν παρόντα καιρόν· καὶ παραδείγματι χρῆται τῷ κατὰ Μελέαγρον διηγήματι, ὅτι κἀκεῖνος παραλιπὼν [illegible] τῶν οἰκείων βοηθεῖν τῇ πατρίδι, οὐ συν[illegible] ὑπὸ τῆς ἀνάγκης τῶν καταβιαλουσῶν τὴν πόλι-

ρῶν, ἐπὶ τὸ ἀμύνειν ἐτράπετο. Αἴας δὲ οἴκτου μὲν καὶ ἐπιεικείας οὐδὲ ἐδεήθη, παῤῥησίᾳ δὲ χρησάμενος, καθελεῖν τὸ φρόνημα τοῦ Ἀχιλλέως διέγνω, τὰ μὲν εὐκαίρως ἐπιπλήττων, τὰ δὲ εὐγενῶς παρακαλῶν, ἵνα μὴ τελέως ταροξύνῃ· οὕτω γὰρ ἥρμοζε τῷ τῆς ἀρετῆς μετειληφότι. πρὸς δὲ τούτων ἕκαστον ὁ Ἀχιλλεὺς ἀποκρινάμενος, ἦθος γενναῖον ὅμα καὶ ἁπλοῦν ἐμφαίνει. τοῖς μὲν γὰρ ἄλλοις ἐλεγκτικῶς ἅμα καὶ μεγαλοφρόνως ἀντιλέγει, αἰτίας εὐλόγους τῆς ὀργῆς παριστάς· Αἴαντι δὲ ἀπολογεῖται. καὶ Ὀδυσσεῖ μὲν ἔφη ἀποπλεύσεσθαι τῇ ὑστεραίᾳ· καμπτόμενος δέ πως ταῖς Φοίνικος δεήσεσι, βουλεύσεσθαί φησι περὶ τοῦ ἀπόπλου· ἐνικηθεὶς δὲ ὑπὸ τῆς Αἴαντος παῤῥησίας, ἐξομολογεῖται πᾶν ὅ μέλλει ποιήσειν, ὅτι οὐ πρότερον ἕξεισιν ἐπὶ τὸν πόλεμον, πρὶν ἂν ὁ Ἕκτωρ ἐπὶ τὰς σκηνὰς αὐτοῦ καὶ τὰς ναῦς ἀφίκηται, τοὺς πολλοὺς τῶν Ἑλλήνων ἀπεκτονώς· ἔνθα φησὶν, ὅτι καίπερ ἐκθύμως μαχόμενον τὸν Ἕκτορα παύσεσθαι νομίζω. καὶ γὰρ τοῦτο προειρημένον πρόσθεν ὑπὸ τοῦ Ὀδυσσέως, περὶ τοῦ ἐνστῆναι τῇ ὁρμῇ τοῦ Ἕκτορος, ἀντέθηκεν.

CLXX. Ἐν δὲ τοῖς τοῦ Φοίνικος λόγοις κἀκεῖνο παρίστησιν, ὅτι τέχνη ἐστὶν ἡ Ῥητορική. φησὶ γὰρ τῷ Ἀχιλλεῖ, διότι παρέλαβόν σε

Νήπιον, οὔπω εἰδότ' ὁμοίτου πολέμοιο,
Οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσι·
Τοὕνεκά με προέηκε διδασκέμεναί τάδε πάντα,
Μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων·

ἐν οἷς καὶ τοῦτο δείκνυσιν, ὅτι ἡ τῶν λόγων δύναμις μάλιστα τοὺς ἄνδρας εὐκλεεῖς ἀπεργάζεται.

CLXXI. Ἔστι δὲ καὶ ἐν ἄλλοις πολλοῖς τῆς ποιήσεως τόποις εὑρεῖν λόγους τῆς ῥητορικῆς τέχνης ἐχομένους. καὶ κατηγορίας καὶ ἀπολογίας ὑποδείκνυσι τρόπον, ἔν τε ἄλλοις, καὶ ἐν οἷς ὁ Ἕκτωρ καθάπτεται τοῦ ἀδελφοῦ, ὀνειδίζων αὐτῷ δειλίαν καὶ ἀκαλασίαν· καὶ ὅτι τοιοῦτος ὢν, ἡδέως πολλῷ ἀπωκισμένους, ὅθεν αἴτιος κακῶν τοῖς οἰκείοις ἐγένετο. καὶ ὁ Ἀλέξανδρον ἐκλύει τὸν θυμὸν τοῦ ἀδελφοῦ, δικαίως ἐπιπλήσσοντος

συγκατατιθέμενος· καὶ τῷ ὑποσχέσθαι τὴν πρὸς τὸν Μενέλαον μάχην, ἀπολυόμενος τὸ ἔγκλημα τῆς δειλίας. καὶ ὅτι μὲν τεχνίτης λόγων Ὅμηρος, πᾶς τις ἂν εἴποι εὖ φρονῶν· δῆλα γὰρ καὶ τὰ ἄλλα ἐξ αὐτῆς τῆς ἀναγνώσεως.

CLXXII. *Οὐκ ἠμέλησε δὲ οὐδὲ χαρακτηρίσαι τοὺς ῥήτορας. τὸν μὲν γὰρ Νέστορα, ἡδὺν καὶ προσηνῆ τοῖς ἀκούουσιν εἰσάγει· τὸν δὲ Μενέλαον, βραχυλόγον, καὶ εὔχαριν, καὶ τοῦ προκειμένου τυγχάνοντα· τὸν δὲ Ὀδυσσέα, πολλῇ καὶ πυκνῇ τῇ δεινότητι τῶν λόγων κεχρημένον. ταῦτα γὰρ τοῖς δυσὶ τούτοις ἤρωσιν ὁ Ἀντήνωρ μαρτυρεῖ, ἀκούσας αὐτῶν, ὅπότε πρεσβεύοντες ἀφίκοντο εἰς τὴν Ἴλιον. καὶ ταύτας τὰς ἰδέας τῶν λόγων Ὅμηρος παρίστησιν αὐτὸς, ἐν τῇ ποιήσει δείξας ἁπάσῃ.*

CLXXIII. *Οἶδε δὲ καὶ τὴν Ἀντίθεσιν τῶν λόγων, ἀεὶ τῶν ἐναντίων ἐπὶ παντὸς πράγματος τιθεμένων, καὶ τὸ αὐτὸ κατασκευαζόντων καὶ ἀναιρούντων διὰ τὴν εὐπορίαν τῆς λογικῆς ἕξεως. φησὶ γὰρ,*

Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἐνὶ μῦθοι,
Παντοῖοι· ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
Ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσῃς.

CLXXIV. *Ἐπίσταται δὲ ταῦτα καὶ διὰ πολλῶν λέγειν, καὶ δι' ὀλίγων ἐπαναλαμβάνειν, ὅπερ καλεῖται Ἀνακεφαλαίωσις, καὶ ἔστιν ἐν χρήσει παρὰ τοῖς ῥήτορσιν, ὁπόταν δέῃ πολλὰ πράγματα εἰρημένα ἀναινῆσαι συντόμως. ἃ γὰρ διηγήσατο ὁ Ὀδυσσεὺς παρὰ τοῖς Φαίαξιν ἐν τέτταρσι ῥαψῳδίαις, ταῦτα πάλιν διὰ βραχέων διέξεισιν ἐν τούτοις,*

Ἤρξατο δ' ὡς πρῶτον Κίκονας δάμασ', αὐτὰρ ἔπειτα·

καὶ τὰ ἑξῆς.

CLXXV. *Τοῦ δὲ Πολιτικοῦ λόγου ἔχεται καὶ ἡ τῶν Νόμων ἐπιστήμη· καὶ οὐδὲ ταύτης ἐκτὸς τὸν Ὅμηρον εὕροιμεν ἄν. Εἰ μὲν οὖν καὶ τὸ ὄνομα τοῦ νόμου ἦν κατ' αὐτὸν ἐν χρήσει, οὐκ ἔστι σαφῶς διορίσασθαι.*

οἱ μὲν γάρ φασι δῆλον αὐτὸν εἶναι, εἰδότα τοὔνοματοῦ νόμου, ἐν τῷ εἰπεῖν,

— ἀνθρώπων ὕβριν καὶ εὐνομίην ἐφορῶντες.

Ἀρίσταρχος δὲ ᾠήθη τὴν εὐνομίαν εἰρῆσθαι παρὰ τὸ εὖ νέμεσθαι. καί τοι καὶ ὁ Νόμος λέγεσθαι ἔοικεν ἀπὸ τοῦ νέμειν τὰ ἴσα πᾶσιν, ἢ τὸ κατ' ἀξίαν ἑκάστῳ. ὅτι δὲ δύναμιν τῶν νόμων οἶδεν, εἰ μὴ καὶ ἐν γραφαῖς, ἀλλ' ἐν ταῖς γνώμαις τῶν ἀνθρώπων φυλασσομένην, ἐν πολλοῖς παρίστησι. τὸν γὰρ Ἀχιλλέα ποιεῖ ὑπὲρ τοῦ σκήπτρου λέγοντα,

— νῦν αὖτέ μιν υἷες Ἀχαιῶν

Ἐν παλάμαις φορέουσι δικασπόλοι, οἵτε Θέμιστας

Πρὸς Διὸς εἰρύαται.

Θέμιστες γὰρ, καὶ Θεσμοὶ, οἱ νόμοι, ὧν τὸν Δία εἰσηγητὴν παραδίδωσιν· ᾧ καὶ τὸν Μίνωα τὸν τῶν Κρητῶν βασιλέα φησὶν ὁμιλεῖν· ἡ δ' ὁμιλία, νόμων μάθησις ἦν, ὡς καὶ Πλάτων μαρτυρεῖ. σαφῶς δὲ καὶ ἐν ἐκείνοις δηλοῖ, ὅτι χρὴ νόμοις ἕπεσθαι, καὶ μὴ ἀδικεῖν

Τῷ μὴ τίς ποτε πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,

Ἀλλ' ὄγε σιγῇ δῶρα θεῶν ἔχοι, ὅ, τι δισσοῖεν.

CLXXVI. Πρῶτος τοίνυν Ὅμηρος τὰ τῆς Πολιτείας διεῖλεν. ἐν γὰρ τῇ ἀσπίδι, ἣν τοῦ κόσμου παντὸς μίμημα κατεσκεύασεν Ἥφαιστος, τουτέστιν ἡ πνευματικὴ δύναμις, ἐμπεριεχομένας ἐποίησε δύο πόλεις, τὴν μὲν, ἐν εἰρήνῃ καὶ εὐφροσύνῃ διάγουσαν, τὴν δὲ, ἐν πολέμῳ σχολάζουσαν· καὶ παραθεὶς τὰ ἑκατέρᾳ πρόσφορα, παρίστησιν, ὅτι ὁ μὲν, πολιτικός ἐστι βίος, ὁ δὲ, στρατιωτικός· οὐ παρεῖδε δὲ οὐδὲ τὸν γεωργικόν· ἀλλὰ καὶ τοῦτον ἔδειξεν, ἐνάργειαν ἅμα καὶ κάλλος περιθεὶς τοῖς λόγοις.

CLXXVII. Ὁ δὲ ἐν πάσῃ πόλει νενομοθέτηται, τὸ εἶναι συνέδριον βουλῆς, καὶ τοῦτο προβουλεύεσθαι πρὸ τοῦ τὸν δῆμον συνιέναι, πρόδηλον ὅτι ἐστὶν ἐκ τῶν Ὁμηρικῶν τούτων,

Βουλὴν δὲ πρῶτον μεγαθύμων ἴζε γερόντων·

συνάγει γὰρ Ἀγαμέμνων τοὺς γέροντας, καὶ σκέπτεται περὶ αὐτῶν, ὅπως ὀπλίσῃ τὸ πλῆθος πρὸς τὴν μάχην

CLXXVIII. *Καὶ ὅτι δεῖ τὸν ἄρχοντα πρὸ τῶν ἄλλων φροντίζειν τῆς πάντων σωτηρίας, ἐν τῷ αὐτῷ προς ὠπῳ διδάσκει, ὦ καὶ παραινεῖ,*

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα·

καὶ ὅτι δεῖ τῷ ἡγουμένῳ πείθεσθαι τοὺς ὑποτεταγμένους, καὶ ὅπως ἑκάστῳ προσφέρεσθαι τὸν προτεταγμένον, ὁ Ὀδυσσεὺς ὑποδείκνυσι, τοὺς μὲν ἐντίμους, λόγοις προσηνέσι πείθων, τοῖς δὲ ἐκ τοῦ ὄχλου πικρότερον ἐπιπλήσσων.

CLXXIX. *Ἀλλὰ καὶ τὸ ὑπανίστασθαι τοῖς ἀμείνοσι, παρὰ πᾶσι νενόμισται· ὃ καὶ αὐτοὶ οἱ Θεοὶ ποιοῦσιν ἐπὶ τοῦ Διός,*

— οὐδέ τις ἔτλη
Μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες.

CLXXX. *Νόμος παρὰ τοῖς πλείστοις, τὸν πρεσβύτατον λέγειν· ὁ δὲ Διομήδης ὑπὸ ἀνάγκης τοῦ πολέμου πρῶτος θαρσήσας λέγειν, συγγνωστὸς εἶναι ἀξιοῖ,*

— καὶ μή τι κότῳ ἀγάσησθε ἕκαιος,
Οὕνεκα δὴ γενεῇφι νεώτατός εἰμι μεθ' ὑμῖν.

CLXXXI. *Κἀκεῖνο δὲ παρὰ πᾶσι νενόμισται, τὸ κολάζεσθαι τὰ ἑκούσια ἁμαρτήματα, τὰ δὲ ἀκούσια, συγγνώμης τυγχάνειν. τοῦτο πάλιν δείκνυσιν ὁ ποιητὴς, ἐν οἷς φησιν ὁ ἀοιδὸς παρ' αὐτῷ,*

Καί κεν Τηλέμαχος τάδε γ' εἴποι σὸς φίλος υἱός,
Ὡς ἐγὼ οὔτι ἑκὼν ἐς σὸν δόμον, οὐδὲ χατίζων,
Πωλεύμην, μνηστῆρσιν ἀεισόμενος μετὰ δαῖτας,
Ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκῃ.

CLXXXII. *Τριῶν δὲ οὐσῶν Πολιτειῶν πρὸς δικαιοσύνην καὶ εὐνομίαν, Βασιλείας τε καὶ Ἀριστοκρατίας, καὶ Δημοκρατίας, καὶ ταύταις πάλιν ἀντικειμένων τριῶν πρὸς ἀδικίαν καὶ παρανομίαν, Τυραννίδος, Ὀλιγαρχίας, Ὀχλοκρατίας· οὐδὲ ταύτας Ὅμηρος ἀγνοεῖν ἔοικε· τὴν μὲν βασιλείαν δι' ὅλης τῆς ποιήσεως ὀνομάζων, καὶ ἐγκωμιάζων, ὡς ἐν τούτοις,*

Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων,
Τιμὴ δ' ἐκ Διός ἐστι· φιλεῖ δέ ἑ μητιέτα Ζεύς.

καὶ ὁποῖον δοκεῖ εἶναι τὸν βασιλέα, σαφῶς δηλοῖ,

Λαῶν δ' οἷσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν·
καὶ,
Οὔτε τινὰ ῥέξας ἐξαίσιον, οὔτε τι εἰπὼν
Ἐν δήμῳ, ἥτ' ἐστὶ δίκη θείων βασιλήων.
τὴν δὲ Ἀριστοκρατίαν, ἐν οἷς Βοιωτῶν βασιλέας πέντε καταριθμεῖ· καὶ παρὰ τοῖς Φαίαξι,
Δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες,
Ἄρχοι κρίνουσι, τρισκαιδέκατος ἐγὼ αὐτός·
Δημοκρατίας δὲ εἰκόνα ἐναργῶς ἐν τῇ κατασκευῇ τῆς ἀσπίδος δεικνύει, ἐν ᾗ δύο ποιήσας πόλεις, τὴν ἑτέραν, δημοκρατεῖσθαί φησι, μηδενὸς ἡγουμένου, πάντων δὲ πρὸς τὴν ἑαυτῶν βούλησιν κατὰ νόμους βιούντων· ἵνα καὶ δικαστήριον εἰσάγει. καὶ ἐν ἐκείνῃ γε τὴν Δημοκρατίαν παρίστησιν, ἐν οἷς φησι,
Δῆμον ὑποδδείσας· δὴ γὰρ κεχολώσατο λίην
Οἴνεπα λῃϊστῆρσιν ἐπισπόμενος ταφίοισιν.
Ἦκαχε Θεσπρωτούς· οἳ δ' ἡμῖν ὄρθμιοι ἦσαν.

CLXXXIII. *Τὸν δὲ βιαίως καὶ παρανόμως ἄρχοντα, Τύραννον μὲν οὐ καλεῖ· νεώτερον γὰρ τὸ ὄνομα· οἷος δὲ τοῖς ἔργοις γίνεται, δείκνυσιν ἐν τούτοις,*
Εἷς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων·
Ὅς κ' ἀπὸ ῥῖνα τάμῃσι, καὶ οὔατα νηλέϊ χαλκῷ.
καὶ τὸν Αἴγισθον δὲ τυραννικὸν ἀποφαίνει, ὃς ἀποκτείνας τὸν Ἀγαμέμνονα, ἐχράτει τῶν Μυκηναίων· καὶ ὁπότε ἀνῃρέθη, φησὶν ὅτι οὐκ ἂν ἔτυχε ταφῆς εἴπερ Μενέλαος παρῆν, τοῦτο γὰρ ἐπὶ τῶν τυράννων νενόμισται,
Τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
Ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν
Κείμενον ἐν πεδίῳ· μάλα γὰρ μέγα μήσατο ἔργον.
Ὀλιγαρχίαν δὲ δηλοῦν δοκεῖ διὰ τῆς τῶν μνηστήρων πλεονεξίας, περὶ ὧν φησιν,
Ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κατακοιρανέουσι.
τὴν δὲ ὀχλοκρατίαν ἐν τῇ τῶν Τρώων πολιτείᾳ παραδίδωσιν, ἐν ᾗ καὶ συναράμενοι πάντες Ἀλεξάνδρῳ, καὶ οἷς περιέπεσον, καὶ ὁ Ἡρίαμος λοιδορεῖται τοῖς παισίν, ὡς τούτων αἰτίοις,

Σπεύσατέ μοι κακὰ τέκνα κατηφόνες·
καὶ ἄλλος δέ τις τῶν Τρώων ὁ Ἀντίμαχος,
Χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος, ἁγλαὰ δῶρα,
Οὐκ εἴασ' Ἑλένην ὀμέναι ξανθῷ Μενελάῳ.

CLXXXIV. Ἐπεὶ δὲ τὸ παρὰ ἀνθρώποις δίκαιον τοῦτο νομίζεται, τὰ ἀποτιμητικὸν ἑκάστῳ τοῦ κατ' ἀξίαν· ἐν ᾧ μάλιστά ἐστι τὸ θεοὺς σέβειν, γονέας καὶ οἰκείους τιμᾶν· τὴν μὲν εἰς θεοὺς εὐσέβειαν ἐν πολλοῖς διδάσκει, εἰσάγων τοὺς ἥρωας θύοντας, καὶ εὐχομένους, καὶ δῶρα ἀνατιθέντας τοῖς θεοῖς, καὶ ὕμνους γεραίροντας αὐτούς· καὶ τῆς εὐσεβείας ἀμοιβὴν ἀπολαμβάνοντας τὴν παρὰ τῶν θεῶν ἐπικουρίαν.

CLXXXV. Τὴν δὲ πρὸς τοὺς γεννωμένους τιμὴν, ἐν τῷ Τηλεμάχου προσώπῳ μάλιστα δείκνυσι, καὶ ἐν οἷς ἐπαινεῖ τὸν Ὀρέστην,

Οὐκ ἀτεὶς οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
Πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα;

καὶ ὅτι τὸ γηροτροφεῖσθαι τοὺς γονέας ὑπὸ τῶν παίδων, φύσει δίκαιον, καὶ ἐξ ἀμοιβῆς ὀφειλόμενον, διὰ μιᾶς λέξεως ἐδήλωσεν, εἰπών,

—— οὐδὲ τοκεῦσι
Θρέπτρα φίλοις ἀπέδωκεν.

ἰδελφῶν δὲ εὔνοιαν καὶ πίστιν πρὸς ἀλλήλους, ἐν τῷ Ἀγαμέμνονι, καὶ Μενελάῳ· φίλων δὲ, ἐν Ἀχιλλεῖ καὶ Πατροκλῷ δείκνυσι· γυναικὸς δὲ σωφροσύνην καὶ φιλανδρίαν, ἐν τῇ Πηνελόπῃ· ἀνδρὸς δὲ πόθον τῆς αὐτοῦ γυναικὸς, ἐν τῷ Ὀδυσσεῖ παρίστησιν.

CLXXXVI. Ὅπως δὲ καὶ ὑπὲρ πατρίδος χρὴ πρᾶσσειν, ἐν τούτῳ μάλιστα ἐδήλωσεν,

Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.

καὶ πάλιν, ὅπως τοὺς τῆς πολιτείας κοινωνοῦντας, φιλίας ἔχειν δεῖ,

Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
Ὅς πολέμου ἔραται ἐπιδημίου, ὀκρυόεντος.

ὅπως δὲ τὸ ἀληθεύειν τίμιον, τὸ δὲ ἐναντίον, φευκτὸν,

Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσι·
Ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ·

νυὶ,
Οἵ τ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσι.

CLXXXVII. *Τῶν δὲ οἴκων μάλιστα σωζομένων ὁπόταν γυνὴ μήτε τὰς ἀποῤῥήτους διανοίας τοῦ ἀνδρὸς πολυπραγμονῇ, μήτε ἄνευ τῆς γνώμης αὐτοῦ πράσσειν τι ἐπιχειρῇ, ἑκάτερον ἐκ τῆς Ἥρας ἐπέδειξε τὸ μὲν πρότερον τῷ Διὶ λέγοντι περιθεὶς,*

Ἥρη, μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
Εἰδήσειν·

τὸ δὲ ἕτερον τῇ Ἥρᾳ,

Μήπως μοι μετέπειτα χολώσεαι, αἴκε σιωπῇ
Οἴχωμαι προὸς δῶμα βαθυῤῥόου ὠκεανοῖο.

CLXXXVIII. *Τὸ δὲ καὶ τοὺς ἐξιόντας ἐπὶ πόλεμον, ἢ ἐν κινδύνῳ καθεστῶτας ἐντέλλεσθαί τι τοῖς οἰκείοις, εἰθισμένον παρὰ πᾶσιν, οὐκ ἠγνόησεν ὁ ποιητής. ἡ μὲν γὰρ Ἀνδρομάχη στένουσα τὸν Ἕκτορα, φησὶν,*

Οὐ γάρ μοι θνήσκων λεχέων ἐκ χεῖρας ὄρεξας·
Οὐδέ τι μοι εἶπας πυκινὸν ἔπος, οὔ τέ κεν αἰεὶ
Μεμνήμην νύκτας τε καὶ ἤματα δακρυχέουσα.

ἡ δὲ Πηνελόπη τῶν τοῦ Ὀδυσσέως ἐντολῶν μνημονεύει, φήσαντος ὁπότε ἐξίοι,

Τῷ οὐκ οἶδ' εἴ κέν μ' ἀνέσει θεὸς, ἤ κεν ἁλώω,
Αὐτοῦ ἐνὶ Τροίῃ, σοὶ δ' ἐνθάδε πάντα μελόντων,
Μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν,
Ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος,
Αὐτὰρ ἐπειδὴ παῖδα γενειήσαντα ἴδηαι,
Γήμασθ' ᾧ κ' ἐθέλησθα, τεὸν κατὰ δῶμα λιποῦσα.

οἵδε καὶ ἐπιτρόπους,

Καί οἱ ἰὼν ἐν νηυσὶν ἐπέτρεπεν οἶκον ἅπαντα,
Πείθεσθαί τε γέροντι, καὶ ἔμπεδα πάντα φυλάσσειν.

CLXXXIX. *Τὰ δὲ ἐπὶ τοῖς θανάτοις τῶν οἰκείων πένθη, οὔτε ἄμετρα εἶναι ἀξιοῖ· ἀγενὲς γὰρ τοῦτο· οὔτε παντελῶς ἐκκεκόφθαι ἐᾷ· ἀδύνατον γὰρ τὸ ἀπαθὲς ἐπὶ ἀνθρώπων. ὅθεν λέγει τὰ τοιαῦτα,*

Ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυρόμενος μεθέηκεν.
Τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.

ἄλλοις δέ φησιν,

Ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνῃσι,
Νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας.

CXC. Ἔγνω δὲ κἀκεῖνα ἃ καὶ νῦν ἐν ταῖς ταφαῖς νομίζεται ἔν τε ἄλλοις, καὶ ἐν τούτοις,

Ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε,
Τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.

καὶ οἷα ἡ Ἀνδρομάχη φησὶν εἰς τὸν Ἕκτορος νέκυν γυμνὸν κείμενον,

Ἀλόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
Γυμνόν· ἀτάρ μοι εἵματ' ἐνὶ μεγάροισι κέονται
Λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.
Ἀλλ' ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ.
Οὐδέν σοί γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
Ἀλλὰ πρὸς Τρώων, καὶ Τρωϊάδων κλέος εἶναι.
οὕτω καὶ ἡ Πηνελόπη τὴν ἐσθῆτα κατασκευάζει

Λαέρτῃ ἥρωϊ ταφήϊον.

καὶ ταῦτα μὲν, μέτρια. Τὸ δὲ περισσὰ τούτων ζῶα ἄλλά τε καὶ ἀνθρώπους ἐπικαίειν τὸν Ἀχιλλέα τῇ τοῦ Πατρόκλου πυρᾷ, οὐκ ἐπαινῶν λέγει· διὸ καὶ ἐπιφωνεῖ,

— κακὰ δὲ φρεσὶ μήδετο ἔργα.

CXCI. Καὶ τὰ πολυάνδρια δὲ πρῶτος ἤγειρε,

Τύμβον δ' ἐκ πεδίου ἕνα χεύομεν, ἐξαγαγόντες.

καὶ τοὺς ἐπιταφίους ἀγῶνας ἔδειξε πρῶτος. ταῦτα μὲν, κοινὰ τῶν τε ἐν εἰρήνῃ, καὶ τῶν ἐν πολέμῳ καθεστώτων.

CXCII. Τὴν δὲ περὶ τοὺς πολέμους ἐμπειρίαν, ἣν καὶ Τακτικὴν τινες καλοῦσιν, ἡ ποίησις πεποικιλμένη μὲν πεζομαχίαις, τειχομαχίαις, ἐπιναυμαχίαις, παρατάξεσι, μονομαχίαις, πολλὰ δὲ καὶ στρατηγικὰ περιέχουσα, ὧν ὀλίγα παραθέσθαι ἐστὶν ἄξιον. ἐν γὰρ ταῖς παρατάξεσιν ἀεὶ χρὴ προτετάχθαι τὸ ἱππικόν, καὶ ἕπεσθαι τὸ πεζόν· καὶ τοῦτο δὲ δείκνυσιν οὕτως,

Ἱππῆας μὲν πρῶτα σὺν ἵπποισι καὶ ὄχεσφι,
Πεζοὺς δ' ἐξόπιθεν στήσας πολέας τε καὶ ἐσθλούς.

CXCII. Καὶ τὸ εἶναι ἐν τοῖς στρατιώταις ἡγεμόνας κατὰ τάξεις,

Ἐπ' ἦσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ἑκάστῳ
Κοῦροι ἅμ' ἕστειχον δόλιχ' ἔγχεα χερσὶν ἔχοντες.

καὶ τῶν ἡγεμόνων τοὺς μὲν προαγωνίζεσθαι, ἐν πρώτοις τεταγμένους· τοὺς δὲ, κατόπιν γενομένους, ἐπείγειν τοὺς λειπομένους πρὸς τὴν μάχην,

Οἱ δ' ἀμφ' Ἰδομενῆα δαΐφρονα Θωρήσσοντο·
Ἰδομενεὺς μὲν ἐνὶ προμάχοις σὺν ἴκελος ἀλκήν·
Μηριόνης δ' ἄρα οἱ πυμάτας ὤτρυνε φάλαγγας.

CXCIV. Καὶ ὅτι δεῖ τοὺς δυνάμει διαφέροντας ἐν τοῖς ἔξω στρατοπεδεύειν, ὥσπερ τεῖχος τῶν λοιπῶν περιβεβλημένους· τὸν δὲ βασιλέα ἐν τῷ ἀσφαλεστάτῳ, τουτέστι τῷ μεσαιτάτῳ, κατασκηνοῦν, δείκνυσιν, ἐν τῷ τοὺς μὲν γενναιοτάτους, τὸν Ἀχιλλέα καὶ τὸν Αἴαντα, ἐν τοῖς ἐσχάτοις μέρεσι τῶν νεῶν κατεσκηνωκέναι· τὸν δὲ Ἀγαμέμνονα καὶ τοὺς ἄλλους ἀρίστους, ἐν τῷ μέσῳ.

CXCV. Καὶ τὸ ἐν τῷ στρατοπεδεύεσθαι χάρακά τε περιβάλλεσθαι, καὶ τάφρους ἀποσκάπτειν, εἰς εὖρος καὶ βάθος, καὶ σκόλοψι κύκλῳ διαλαμβάνειν, ὡς μήτε ὑπερπηδᾶν τινα διὰ πλάτος, μήτε διὰ βάθος κατιέναι δύνασθαι, γίνεταί τε ἐν τοῖς πολεμίοις καὶ παρ' Ὁμήρῳ,

— ἀπὸ γὰρ διεδίσσετο τάφρος
Εὐρεῖ', οὔτ' ἄρ' ὑπερθορέειν σχεδὸν, οὔτε περῆσαι
Ῥηϊδίη· κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πᾶσαν
Ἔστασαν ἀμφοτέρωθεν· ὑπερθεν δὲ σκολόπεσσιν
Ὀξείοις ἠρήρειστ' οὓς ἔστασαν υἷες Ἀχαιῶν
Πυκνοὺς καὶ μεγάλους, δηΐων ἀνδρῶν ἀλεωρήν.

CXCVI. Καὶ μαχόμενοι θνήσκουσι γενναίως οἱ τοῖς ἑπόμενοι,

Μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλειῶς ἀπολοίμην,
Ἀλλά μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι·

καὶ πάλιν,

— — ὃς δέ κεν ὑμέων
Βλήμενος ἠὲ τυπείς, θάνατον καὶ πότμον ἐπίσπῃ,
Τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
Τεθνάμεν.

CXCVII. Καὶ τοῖς μὲν ἀριστεῦσι γέρα νέμεται, Ἄλλα δ' ἀριστήεσσι δίδου γέρα, καὶ βασιλεῦσι·

τοῖς δὲ λειποψύχοις ἐπαλλὰξ.

Ὃν δ' ἐν ἐγὼν ἑκατὸν ἐφέπω σὺν ἐϋκλήτοισι σύεσσι.

Αἰτοῦ οὐ θέσπιν μηλόβοτα.

CXCVIII. Ἐν δὲ τοῖς μάχαις ἵν' ἀεὶ τὰ πρόσφορα καὶ ὅπως διαφόρως, καὶ πλείους τοὺς ἥρωας τιμᾷ ποιούμενος καὶ τιμωμένους, τί δεῖ λέγειν; ἐκεῖνα τὰ ὑπομνῆσαι ἄξιον, ὅτι τοὺς μὲν κρείττους τετιμωμένους. ἐνδοξοτέρους ἡγούμεθα, ἅτε τὴν ἐκ τοῦ τυγχάνειν καὶ παραμένειν προθυμίαν διεκπονήσαντας· τοὺς δὲ τὸ νῶτον, ἢ τὸ μετάφρενον πελάζοντας, ἀτιμοτέρους, ὡς ἐν τῷ φεύγειν τοῦτο πεποιηκότας· καὶ τοῖσι οὖν ἑκατέρᾳ ἐστὶ παρ' Ὁμήρῳ,

Εἴπερ γάρ κε βλεῖο ποσὶν ὠκείῃσι διώκων,
Οὐκ ἂν ἐπ' αἰχέϊ ὄπισθε πέσοι βέλος, οὐδ' ἐνὶ νώτῳ,
Ἀλλά κεν ἢ στέρνων, ἢ ἠδύος ἀντιάσειε
Πρόσσω ἰεμένοιο μετὰ προμάχων ὀαριστύν.

καὶ πάλιν,

Οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις,
Ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἅπασον.

χρησίμως δὲ καὶ ἐν τῇ τροπῇ τῶν πολεμίων παραινεῖ, μὴ περὶ τὰ σκῦλα γίνεσθαι, μηδὲ ἐνδιδόναι καιρὸν φυγῆς, ἀλλ' ἐγκεῖσθαι καὶ διώκειν,

Μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος, μετόπισθεν
Μιμνέτω, ὡς κεν πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται.
Ἀλλ' ἄνδρας κτείνωμεν, ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
Νεκροὺς ἀμπεδίον συλήσετε τεθνειῶτας.

CXCIX. Ἔστι δὲ παρ' αὐτῷ πάσης ἡλικίας κατορθώματα, ὑφ' ὧν πᾶς ὁστισοῦν ἐπαρθείη. ὁ μὲν ἀκμάζων ὑπὸ τοῦ Ἀχιλλέως, καὶ Αἴαντος, καὶ Διομήδους· ὁ δὲ νεώτερος, ὑπὸ τοῦ Ἀντιλόχου, καὶ τοῦ Μηριόνου· ὁ δὲ μεσαιπόλιος, ὑπὸ τοῦ Ἰδομενέως, καὶ τοῦ Ὀδυσσέως· ὁ δὲ γέρων, ὑπὸ τοῦ Νέστορος· καὶ πᾶς βασιλεὺς ὑπὸ τούτων ἁπάντων, καὶ τοῦ Ἀγαμέμνονος. τοιαῦτα μὲν τῶν πολιτικῶν λόγων, καὶ πράξεών ἐστι παρ' Ὁμήρῳ τὰ λήμματα.

CC. Θεασώμεθα δὲ καὶ περὶ τῶν ἰατρικῶν, εἰ καὶ

τούτων μὴ εἶχεν ἀπείρως Ὅμηρος. καὶ ὅτι μὲν πολλοῦ ἀξίαν τὴν τέχνην ὑπελάμβανε, δῆλον ἐκ τούτου,

Ἰατρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων.

δοκεῖ δὲ ἡ ἰατρικὴ, ἐπιστήμη εἶναι νοσερῶν καὶ ὑγιεινῶν· ἅπερ ἐκ τούτων ἂν τις μάθοι, ὅτι μὲν ἐπιςήμη,

Ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάντων·

ὅτι δὲ ὑγιεινῶν καὶ νοσερῶν,

Φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ,

σημαίνει τούτων ἑκάτερον.

CCI. Ἔστι μὲν τῆς Ἰατρικῆς, Θεωρητικὸν μὲν, τὸ διὰ τῶν καθολικῶν λόγων καὶ διὰ μεθόδου ἐπάγον ἐπὶ τὴν τῶν κατὰ μέρος γνῶσιν, τούτου δὲ αὖ μέρη, τὸ μὲν, σημειωτικὸν, τὸ δὲ, αἰτιολογικόν· πρακτικὸν δὲ, τὸ διὰ τῆς ἐνεργείας αὐτῆς βαδίζον, τούτου δὲ μέρη, τὸ μὲν, διαιτητικὸν, τὸ δὲ, χειρουργικὸν, τὸ δὲ, φαρμακευτικόν. πῶς οὖν ἑκάστῳ τούτων Ὅμηρος ἐπιβέβληκεν; ὅτι μὲν γὰρ Θεωρητικόν τι εἶναι ἐπίσταται, ἐν τούτῳ αἰνίσσεται,

Τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα·

μητιόεντα γὰρ λέγει, δηλονότι κατὰ τέχνην Θεωρητικὴν ἐσκευασμένα.

CCII. Τὸ δὲ σημειωτικὸν ἄντικρυς ἱστορεῖ διὰ τοῦ Ἀχιλλέως. μαθητὴς γὰρ ὢν Χείρωνος, πρῶτος τὴν αἰτίαν τῆς κατασχούσης τοὺς Ἕλληνας νόσου κατενόησε· συνιδὼν ὅτι τὰ ἐπιδήμια νοσήματα ἐκ τοῦ Ἀπόλλωνός ἐστιν, ὅς γε δοκεῖ εἶναι ὁ αὐτὸς τῷ Ἡλίῳ. οὗτος γὰρ τὰς ὥρας τοῦ ἔτους ἐπάγει· αἵπερ ὅταν ὦσι δυσκράτως διακείμεναι, νοσήματος αἴτιαι καθίστανται. καὶ γὰρ τὸ ὅλον, τήν τε σωτηρίαν, καὶ τὸν ὄλεθρον, τῶν μὲν ἀνδρῶν τῷ Ἀπόλλωνι, τῶν δὲ γυναικῶν τῇ Ἀρτέμιδι, τουτέστι τῷ Ἥλιῳ καὶ τῇ Σελήνῃ, ἀνατίθησι· τοξότας μὲν αὐτοὺς ποιῶν, διὰ τὴν τῶν ἀκτίνων βολήν· οὕτω δὲ διορίζων τὸ ἄῤῥεν καὶ τὸ θῆλυ, ἐπεὶ καὶ θερμότερον φύσει τὸ ἄῤῥεν γένος. διὰ ταῦτα γοῦν φησι τὸν μὲν Τηλέμαχον τηλικοῦτον εἶναι, Ἀπόλλωνός γε ἴκητε· τὰς δὲ Τυνδάρεω κούρας ὑπὸ Ἀρτέμιδος τῆσδε

σθαι. τοὺς δὲ θανάτους αὐτοῖς ἀνατίθησιν, ἔν τε ἄλλοις πολλοῖς, καὶ ἐν οἷς διορίζει.

Τοὺς μὲν Ἀπόλλων πέφνεν ἂπ' ἀργυρέοιο βιοῖο,
Χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα.

ὅπου δὲ καὶ τὴν τοῦ κυνὸς ἐπιτολὴν διηγεῖται, σημεῖον καὶ αἴτιον τοῦτο ἐκκαύσεως καὶ νόσων,

Λαμπρότατος μὲν ὅγ' ἐστὶ, κακὸν δέ τε σῆμα τέτυκται,
Καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν.

CCIII. Αἰτιολογεῖ δὲ ἐν οἷς λέγει περὶ τῶν θεῶν,

Οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἶθοπα οἶνον.
Τοὔνεκ' ἀναίμονές εἰσι, καὶ ἀθάνατοι καλέονται.

ἡ γὰρ τροφὴ, ἡ τε ξηρὰ καὶ ὑγρὰ, αἵματός ἐστι γεννητική· τοῦτο δὲ τρέφει μὲν τὸ σῶμα, πλεονάσαν δὲ ἢ διαφθαρὲν, νόσων αἴτιον γίνεται.

CCIV. Τὸ δὲ πρακτικὸν μέρος τῆς Ἰατρικῆς οὕτως ἀκριβοῖ, ἐν ᾧ ἐστι καὶ διαιτητικόν. πρῶτον μὲν γὰρ ἴδε τὰ χρόνια τῶν νοσημάτων, καὶ τὰ ὀξέα, ὡς ὅταν ἔγῃ,

Τίς νύ σε κῆρ ἐδάμασσε τανηλεγέος θανάτοιο,
Ἦ δολιχὴ νοῦσος, ἢ Ἄρτεμις ἰοχέαιρα
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν;

CCV. Φανερὸς δέ ἐστι καὶ τὴν λιτὴν δίαιταν ὑγιεινὴν ὑπολαμβάνων· πεποίηκε γὰρ τοὺς ἥρωας ὀπτοῖς πρέασι χρωμένους, περιελὼν τὴν περὶ τὰ βρώματα περιεργίαν. καὶ ἐπεὶ ἡ γαστὴρ ἀεὶ δεῖται πληρώσεως, ὅταν τὰ πρότερα σιτία καταπεφθέντα, τὸ μὲν οἰκεῖον τῷ σώματι εἰς καρδίαν καὶ τὰς φλέβας ἀναπέμψῃ, τὸ δὲ περισσὸν ἐκβάλῃ, τοιαῦτά φησιν,

Ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσσατε κηδόμενόν περ.
Οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
Ἔπλετο, ἥτ' ἐκέλευσεν ἔο μνήσασθαι ἀνάγκῃ.

καὶ πάλιν,

— — ἡ δὲ μάλ' αἰεὶ
Ἔσθέμεναι πέλεται καὶ πινέμεν· ἐκ δέ με πάντων
Ληθάνει ὅσσ' ἔπαθον, καὶ ἐνιπλήσασθαι ἀνώγει.

CCVI. Οἶδε δὲ καὶ οἴνου χρήσεως διαφορὰς. ὅτι

ὁ μὲν πολὺς ποθεὶς, βλαβερός· ὁ δὲ μέτριος, ὠφέλιμος. τὸ μὲν οὕτως,

Οἶνός σε τρώει μελιηδής, ὅς τε καὶ ἄλλους
Βλάπτει, ὃς ἂν μιν χανδὸν ἕλῃ, μηδ' αἴσιμα πίνῃ·

τὸ δὲ, ἐκείνως·

Ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει.

καὶ ὅτι δυνάμεως ποιητικὸς·

Ὅς δέ κ' ἀνὴρ οἶνοιο κορεσσάμενος, καὶ ἐδωδῆς,
Ἀνδράσι δυσμενέεσσι παννημέριος πολεμίζῃ,
Θαρσαλέον νύ τοι ἦτορ ἐνὶ φρεσὶν, οὐδέ τι γυῖα
Πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο.

καὶ τὸν μὲν ἡδὺν, εἰς τὰς φιλοφροσύνας παραλαμβάνει,

Ὣς φάτο, Ποντόνοος δὲ μελ' φρονα οἶνον ἐκίρνα.

τὸν δὲ σφοδρὸν, καὶ καρωτικὸν, τῷ Κύκλωπι ὁ Ὀδυσσεὺς τίθησι· τὸν δὲ στύφοντα, πρὸς ἴασιν, οὗτος γάρ ἐστιν ὁ Πράμνειος, ὃν τῷ Μαχάονι τετρωμένῳ δίδωσιν.

CCVII. Ὅπως δὲ καὶ γυμνασίοις χρῆσθαι παραγέλλει, φανερὸν ἐκ πολλῶν. ἀεὶ γὰρ πονοῦντας ποιῖ, τοὺς μὲν, ἐν τοῖς προσήκουσιν ἔργοις, τοὺς δὲ, δι' ἐπιτηδευμάτων· ὁπότε καὶ τοὺς μάλιστα τῇ ἡδυπαθείᾳ κεχρημένους Φαίακας, καὶ τοὺς ἀσώτους μνηστῆρας, γυμναζομένους εἰσάγει. καὶ πόνους μὲν τοὺς αὐτάρκεις αἰτίους ὑγιείας οὕτως νομίζει· τῶν δὲ καταβαρούντων τὸ σῶμα καμάτων, ἵαμα τὸν ὕπνον εἶναι· φησὶ γὰρ τῷ Ὀδυσσεῖ κεκμηκότι ἀπὸ τῆς θαλάσσης ὕπνον ἐπελθεῖν,

— ὕνα μιν παύσειε τάχιστα
Δυσπραγέος καμάτοιο.

ἡ γὰρ φύσις ἀπαιτεῖ τὸ κεκμηκὸς σῶμα ἀναπαύεσθαι, καὶ ἐν ᾧ ὀλίγον τὸ θερμὸν ὑπάρχει, τοῦτο ἐπεὶ οὐ δύναται πάντη ἐξικνεῖσθαι, ἐν τῷ βάθει μένειν. πῶς δὲ ἀναπαύεται τὸ σῶμα; ὅτι ἡ σύστασις τῆς ψυχῆς ἀνίεται, καὶ τὰ μέλη τοῦ σώματος λύεται, καὶ τοῦτο ἐναργῶς εἶπεν,

Εὕδε δ' ἀνακλινθεῖσα, λύθεν δέ οἱ ἄψεα παντα.

τὸ δὲ ἐν τοῖς ἄλλοις ἅπασιν ὕμετρον, οὐκ ὂν ὠφέλιμον. καὶ ἐπὶ τοῦ ὕπνου ἀποφαίνεται, ποτὲ μὲν εἰπὼν,

— ἀνίη καὶ πολὺς ὕπνος·

ποτὲ δὲ,

— ἀνίη καὶ τὸ φυλάσσειν
Πάννυχον ἐγρήσσοντα.

CCVIII. Ἐπίσταται δὲ καὶ ἀέρων εὐκρασίαν ὑγιείας οὖσαν παρασκευαστικὴν, ἐν οἷς φησιν,

Ἀλλά σ' ἐς Ἠλύσιον πεδίον, καὶ πείρατα γαίης,
Ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς·
Τῇ περ ῥηϊστη βιοτὴ πέλει ἀνθρώποισιν·
Οὐ νιφετὸς, οὔτ' ἄρ χειμὼν πολὺς, οὔτε ποτ' ὄμβρος.
Ἀλλ' ἀεὶ Ζεφύροιο λιγὺ πνείοντας ἀήτας
Ὠκεανὸς ἀνίησιν, ἀναψύχειν ἀνθρώπους·

ἐν οἷς δύο ταῦτα μάλιστα ὀρθῶς διεγνωκὼς φαίνεται, ὅτι τε ἡ ἀρχὴ τῶν ἀνέμων ἀπὸ τῶν ὑγρῶν γίνεται, καὶ ὅτι τὸ ἔμφυτον τοῦ ζῴου θερμὸν δεῖται ἀναψύξεως.

CCIX. Καὶ ἰάματα δὲ παθημάτων οἶδε· λιποθυμίας μὲν, ἀνάψυξιν, ὅπερ καὶ ἐπὶ Σαρπηδόνος ποιεῖ,

Αὔθις δ' ἀμπνύνθη· περὶ δὲ πνοιὴ Βορέαο,
Ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν·

ψύξεως δὲ, Θέρμην, ὡς ἐπὶ τοῦ Ὀδυσσέως πεχειμασμένου, ὃς ἐν τῷ θάμνῳ πρύπτεται, ἔνθα καὶ ἀνέμων καὶ ὄμβρων ἦν ἡ σκέπη, καὶ τῇ παρούσῃ ὕλῃ καλύπτεται. καὶ ὅπου δὲ λουτρὰ καὶ χρίσματα, ὡς ἐπὶ τοῦ Διομήδους, καὶ τοῦ Ὀδυσσέως, ἐκ τῆς νυκτεγερσίας ἀνακομισθέντων· καὶ γὰρ οἷαν ὠφέλειαν ἔχει τὰ λουτρὰ, διὰ τούτων μάλιστα δηλοῖ,

Θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων·

φανερὸν οὖν ὅτι ἐντεῦθεν ἔχοντα τὴν ἀρχὴν τὰ νεῦρα, εἰκότως ἀπ' αὐτῶν καὶ τὴν ἴασιν τοῦ κόπου λαμβάνει· αὕτη δέ ἐστιν ἡ διὰ τοῦ θερμανθῆναι, καὶ ὑγρανθῆναι· ξηραίνουσι γὰρ οἱ κόποι.

CCX. Λοιπόν ἐστι σκοπεῖν ὅπως καὶ τὰ τῆς χειρουργίας κατενόησε. τὸν μὲν δὴ Μενέλαον ὁ Μυκάων ἰᾶται, πρῶτον ἐκμισάμενος τὸ βέλος, ἔπειτα σκεψάμενος τὸ ἕλκος, καὶ ἐκπιέσας τὸ αἷμα, καὶ ξηρὰ φάρμακα ἐπιπάσας· καὶ τοῦτο πρόδηλον, ὅτι τεχνικῶς αὐτὸ πράσσεται. τὸν δὲ Εὐρύπυλον κατὰ τοῦ μηροῦ τετρω

μένον Πάτροκλος πρῶτα μὲν τῷ εὐπορηθέντι μαχαιρίῳ διαχειρίζει, ἔπειτα ἀπονίψας ὕδατι λιαρῷ, ὡς ἀνωδυνώτερον γένοιτο, ῥίζαν ἐπιβάλλει. πολλαὶ γὰρ παντάχῃ πρὸς ἴασιν ἑλκῶν πεφύκασιν. ἔγνω δὲ καὶ τοῦτο, ὡς τὰ πικρὰ φάρμακα πρὸς τὸ ξηραίνειν ἐστὶν ἐπιτήδεια· ξηραίνεσθαι δὲ χρῄζει τὰ ἕλκη. καὶ οὐκ εὐθέως ἰασάμενος ὁ Πάτροκλος ἀπῆλθεν· ἀλλ'

Ἡστό τε, καὶ τὸν ἔτερπε λόγοις.

ἔδει γὰρ τῷ ὀδυνωμένῳ παραμυθίας. τὸν δὲ Μαχάονα τρωθέντα οὐ μεγάλην, οὐδὲ καίριον πληγὴν ἐπὶ τοῦ ὤμου, εἰκότως ἀφυλακτοτέρᾳ διαίτῃ ποιεῖ χρώμενον. ἴσως καὶ τὴν τέχνην αὐτοῦ δείκνυσιν· ὁ γὰρ τὰ ἄλλα ὡς ἔτυχε διαιτώμενος, ἑαυτὸν ἰᾶσθαι ἐδύνατο.

CCXI. Κἀκεῖνο δέ ἐστι κατανοῆσαι παρ' αὐτῷ, ὅτι οὐκ ἀγνοεῖ τῶν ἰατρικῶν φαρμάκων, τὰ μὲν ἐπίπλαστα, καὶ ἐπίπαστα, ὡς ὅταν εἴπῃ,

— ἐπὶ δ' ἤπια φάρμακα πάσσε·

τὰ δὲ ποτὰ, ὅπου ἡ Ἑλένη τῷ κρατῆρι μίσγει φάρμακον

Νηπενθὲς, ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων.

τὸν αὐτὸν δὲ τρόπον, καὶ τῶν δηλητηρίων φαρμάκων τὰ μὲν ἐπ' χριστα οἶδεν, ὡς ἐν τούτοις,

Φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη

Ἰοὺς χρίεσθαι χαλκήρεας·

τὰ δὲ ποτὰ, ἐν ἐκείνοις,

Ἐν δὲ βάλῃ κρητῆρι, καὶ ἡμέας πάντας ὀλέσσῃ.

ταῦτα μὲν καὶ περὶ τῶν παρ' Ὁμήρῳ ἰατρικῶν.

CCXII. Ὠφελοῦνται δὲ οἱ ἄνθρωποι, ὥςπερ ἀπὸ τῆς Ἰατρικῆς, οὕτως ἔστιν ὅτε καὶ ὑπὸ τῆς Μαντικῆς. ταύτης οὖν τὸ μὲν, τεχνικόν φασιν εἶναι οἱ Στωϊκοί· οἷον, ἱεροσκοπίαν καὶ οἰωνοὺς, καὶ τὸ περὶ φήμας, καὶ κληδόνας, καὶ σύμβολα, ἅπερ συλλήβδην τεχνικὰ προσηγόρευσαν· τὸ δὲ, ἄτεχνον καὶ ἀδίδακτον, τουτέστιν ἐνύπνια καὶ ἐνθουσιασμούς. οὐδὲ ταῦτα οὖν Ὅμηρος ἠγνόησεν. ἀλλ' οἶδε μὲν μάντεις καὶ ἱερεῖς καὶ ὀνειροπόλους, ἔτι δὲ καὶ οἰωνιστὰς, καὶ τινα ἐν Ἰθάκῃ σοφὸν,

Ὄρνιθας γνῶναι, καὶ ἐναίσιμα μυθήσασθαι.

καὶ Ὀδυσσεὺς φησὶν εὐχόμενος,

Φημὴν τίς μοι φύσθω ἐγειρομένων ἀνθρώπων
Ἔνδοθεν, ἔκτοσθεν δὲ Διὸς τέρας ἄλλο φανήτω.
καὶ πταρμὸς δὲ παρ' αὐτῷ σύμβολον ἀγαθὸν γίνεται τοῖς δὲ μνηστῆρσιν ἐφίσταται ἔνθεος μάντις, ἐκ τινος ἐπιπνοίας σημαίνων τὰ μέλλοντα, ἐπεὶ δὲ καὶ ὁ Ἕλενος αὐτήκοος φησὶ θείας φωνῆς γεγονέναι.

Ὡς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν αἰειγενετάων,
παρέχει πιστεύειν ὅτι καὶ Σωκράτης ἀπὸ τῆς τοῦ δαιμονίου φωνῆς ἐμαντεύετο.

CCXIII. *Τίς ἔτι καταλείπεται λογικὴ τέχνη, ἣ ἐπιστήμη; ἀλλὰ μὴν καὶ ἡ Τραγῳδία τὴν ἀρχὴν ἔλαβεν ἐξ Ὁμήρου, εἰς ὄγκον πραγμάτων καὶ λόγων ἐπαρθεῖσα. ἔστι γὰρ παρ' αὐτῷ πᾶν εἶδος Τραγῳδίας, ἔργα μεγάλα καὶ παράδοξα, καὶ θεῶν ἐπιφάνειαι, καὶ λόγοι φρονήματος μεστοὶ, καὶ ἠθῶν παντοίων μιμητικοί. συνελόντι δὲ εἰπεῖν, ὅτι οὐδὲν ἄλλο, ἀλλ' ἢ δράματα, αὐτοῦ ἐστι τὰ ποιήματα, σεμνὰ μὲν καὶ ἐπηρμένα τῇ λέξει, καὶ τῇ διανοίᾳ, καὶ τοῖς πράγμασιν, οὐκ ἔχοντα δὲ ἀνοσίων ἔργων ἐπιδείξεις, γάμους ἀθεμίτους, ἢ παίδων, ἢ γονέων σφαγὰς, ἢ ὅσα ἄλλα ἡ νεωτέρα Τραγῳδία τερατεύεται. ἀλλὰ καὶ ὅταν τοιούτου τινὸς ἐπιμνησθῇ, ἐπικρύπτειν μᾶλλον ἢ ὑνειδίζειν πειρᾶται τὸ ἁμάρτημα· ὡς ἐπὶ τῆς Κλυταιμνήστρας πεποίηκε. φησὶ γὰρ ὅτι*

— φρεσὶ κέχρητ' ἀγαθῇσιν

„τὸ πρότερον, ἕως παρόντα εἶχε τὸν ἀοιδὸν, τουτέστι διδάσκαλόν τινα, ὑπὸ τοῦ Ἀγαμέμνονος ἐπισταθέντα", ὅπως αὐτῇ τὰ ἄριστα παραινῇ· τοῦτον δὲ ἐκποδὼν ὁ Αἴγισθος θέμενος, παρέπεισεν αὐτὴν ἐξαμαρτύνειν. καὶ ὅτι ὁ Ὀρέστης δικαίως ἐτιμωρήσατο τῷ πατρὶ, τὸν Αἴγισθον ἀποκτείνας, τὴν δὲ τῆς μητρὸς ἀναίρεσιν ἀπεσίγησε. καὶ ἄλλα πολλὰ τοιαῦτα ἰδεῖν ἐστι παρὰ τῷ ποιητῇ, Τραγῳδίαν σεμνὴν καὶ οὐκ ἀπάνθρωπον γράφοντι.

CCXIV. *Οὐδὲν δὲ ἧσσον καὶ ἡ Κωμῳδία ἐνθένδε ποθὲν ἔλαβε τὴν ἀφορμήν· εὗρε γὰρ ὅτι καὶ παρὰ τῷ τὰ σεμνότατα καὶ ὑψηλότατα διηγουμένῳ, ἐπεισόδια*

τινα ἐστὶ γέλωτα κινοῦντα. διὸ ἐν τῇ Ἰλιάδι ὁ μὲν Ἥφαιστος χωλεύων, εἰσάγεται οἰνοχοῶν τοῖς θεοῖς,

Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν.

ὁ δὲ Θερσίτης, τῷ τε σώματι αἴσχιστος, καὶ τὴν ψυχὴν κάκιστος, ἐκ τοῦ θορυβεῖν, καὶ κακολογεῖν, καὶ αἰσχρὰ ἐφ' οἷς τυπτόμενος ὑπὸ τοῦ Ὀδυσσέως, πάντας γελοίους παρεσκεύασεν,

Οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.

ἐν δὲ τῇ Ὀδυσσείᾳ ὁ παρὰ τοῖς ἡδυπαθοῦσι Φαίαξι Δημοδόκος ᾄδει τὴν Ἄρεος καὶ Ἀφροδίτης μοιχείαν, καὶ ὅπως ἐμπεσόντες εἰς τὰ τοῦ Ἡφαίστου δεσμά. παράφωροί τε ἐγένοντο, καὶ γέλωτα παρέσχον τοῖς ἄλλοις θεοῖς, οἳ καὶ ἔσκωψαν χαριέντως πρὸς ἀλλήλους. καὶ παρὰ τοῖς ἀσώτοις μνηστῆρσιν εἰσάγεται ὁ πτωχὸς Ἶρος, τῷ γενναιοτάτῳ Ὀδυσσεῖ ἰρίζων εἰς πάλην. καὶ ἐν τῷ ἴργῳ φαινόμενος καταγέλαστος. καθόλου γὰρ οἰκεῖόν ἐστι τῇ τοῦ ἀνθρώπου φύσει, μὴ μόνον ἐπιτείνεσθαι, ἀλλὰ καὶ ἀνίεσθαι, ἵνα καὶ διαρκῇ πρὸς τοὺς ἐν τῷ ζῆν πόνους. τοιαύτη μὲν καὶ ἡ Θυμηδία παρὰ τῷ ποιητῇ εὑρίσκεται. εἰ δὲ οἱ μετ' αὐτὸν εἰσαγαγόντες τὴν Κωμῳδίαν, λόγοις αἰσχροῖς καὶ ἀποκεκαινισμένοις εἰς παρασκευὴν γέλωτος ἐχρήσαντο, οὐκ ἂν ἴσμεν ἄμεινόν τι εὑρημένοι. καὶ γὰρ τῶν ἐρωτικῶν διαθέσεων, καὶ λόγων, Ὅμηρος μὲν ἐγκρατῶς ἐπεμνήσθη· ὥςπερ ὁ Ζεύς φησιν,

Οὐ γάρ πώποτέ μ' ὧδε ἔρως φρένας ἀμφεκάλυψε,

καὶ τὰ ἑξῆς. καὶ ἐπὶ τῆς Ἑλένης,

Οὐ νέμεσις Τρῶάς τε καὶ εὐκνήμιδας Ἀχαιοὺς

Τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν.

καὶ ὅσα ἄλλα τοιαῦτα. οἱ δ' ἄλλοι ποιηταὶ ἀκρατῶς καὶ ἀμέτρως ἁλισκομένους τῷ πάθει τοὺς ἀνθρώπους ἐποίησαν. καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

CCXV. Ἔστι δέ τι χάριεν εἶδος λόγων, καὶ τὸ τῶν Ἐπιγραμμάτων, ὅπερ εὑρέθη ἐπὶ τῶν ἀγαλμάτων, καὶ αὖ πάλιν ἐπὶ τῶν μνημάτων, σημεῖόν σύντομόν τούτων τινὶ τετιμημένον. ἀλλὰ καὶ τοῦτο Ὁμήρου, ὅπου φησὶν,

Ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθνειῶτος,
Ὃν ποτ' ἀριστεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ·

καὶ πάλιν

Ἕκτορος ἦδε γυνή, ὃς ἀριστεύεσκε μάχεσθαι
Τρώων ἱπποδάμων, ὅτι Ἴλιον ἀμφεμάχοντο.

CCXVI. Εἰ δὲ καὶ ζωγραφίας διδάσκαλον Ὅμηρον φαίη τις, οὐκ ἂν ἁμαρτάνοι. καὶ γὰρ εἰπέ τις τῶν σοφῶν, ὅτι ἐστὶν ἡ ποιητικὴ ζωγραφία λαλοῦσα· ἡ δὲ ζωγραφία, ποιητικὴ σιωπῶσα. Τίς οὖν πρῶτος, ἢ τίς μᾶλλον Ὁμήρου τῇ φαντασίᾳ τῶν νοημάτων, ἢ τῇ εὐφωνίᾳ τῶν ἐπῶν ἐκόσμησε θεοὺς, ἀνθρώπους, τόπους, πράξεις ποικίλας; ἀνέπλασε δὲ τῇ ὕλῃ τῶν λόγων καὶ ζῶα παντοῖα, καὶ μάλιστα τὰ ἀλκιμώτατα, λέοντας, σύας, παρδάλεις; ὧν τὰς ἀφορμὰς καὶ διαθέσεις ὑπογράψας, καὶ ἀνθρωπείοις πράγμασι παραβαλὼν, ἔδειξεν ἑκατέρας τὰς οἰκειότητας. ἐτόλμησε δὲ καὶ θεοῖς μορφὰς ἀνθρώπων εἰκάσαι. ὁ δὲ τὴν ἀσπίδα τῷ Ἀχιλλεῖ κατασκευάσας Ἥφαιστος, καὶ ἐντορεύσας τῇ χρυσῷ γῆν, οὐρανὸν, θάλασσαν, ἔτι δὲ μέγεθος Ἡλίου, καὶ κύκλος Σελήνης, καὶ πλῆθος ἄστρων στεφανούντων το πᾶν, καὶ πόλεις, ἐν διαφόροις τρόποις καὶ τύχαις καθεστώσας, καὶ ζῶα κινούμενα καὶ φθεγγόμενα, τίνος οὐ φαίνεται τέχνης τοιαύτης δημιουργοῦ τεχνικώτερος;

CCXVII. Ἴδωμεν δὲ καὶ ἐπὶ ἄλλου ἑνὸς ἐκ πολλῶν παραδείγματος, ὅτι ὁρωμένοις μᾶλλον ἢ ἀκουομένοις ἔοικε τὰ ποιήματα· ὥσπερ οὖν καὶ τὰ τοιαῦτα, ἐν οἷς τὴν οὐλὴν τοῦ Ὀδυσσέως φράσας, ἐπιφέρει τὰ τῆς Εὐρυκλείας,

Τὴν γρηῢς χείρεσσι καταπρηνέσσι λαβοῦσα,
Γνῶ ῥ' ἐπιμασσαμένη, πόδα δὲ προέηκε φέρεσθαι.
Ἆψ δ' ἐτέρωσ' ἐκλίθη· τὸ δ' ἐπὶ χθονὸς ἐξέχυθ' ὕδωρ.
Τὴν δ' ὅμα χάρμα καὶ ἄλγος ἕλε φρένα· τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἴσχετο φωνή.
Ἅψαμένη δὲ γενείου, Ὀδυσσῆα προσέειπεν·
Ἦ μάλ' Ὀδυσσεύς ἐσσι, φίλον τέκος· οὐδέ σ' ἔγωγε

Πρὶν ἴγνων, πρὶν πάντα ἄνακτ' ἐμὸν ἀμφαφάα
Ἦ, καὶ Πηνελόπειαν ἐσείδρακεν ὀφθαλμοῖσι,
Πεφραδέειν ἐθέλουσα.

καὶ τὰ ἑξῆς· ἐνταῦθα γὰρ καὶ τῶν ἐν πίνακι γ
δεδειγμένων τῶν ὑπὸ τὸν ὀφθαλμὸν πεσεῖν δυνα
ἐμφαίνεται πλείω τὰ μηδὲ τῇ ὄψει ἔτι κατα
ἀλλὰ τῇ νοήσει μόνῃ. ἤτε διὰ τὴν ἔκπληξιν ἄφε
ποδὸς, καὶ ὁ ψόφος τοῦ χαλκοῦ, καὶ τὸ ἐκχε
ὕδωρ, καὶ τῆς γραὸς λύπη τε ἅμα καὶ χαρὰ, καὶ
Θέντα πρὸς τὸν Ὀδυσσέα, καὶ ἃ πρὸς τὴν Πηνι
ἀποβλέψασα εἰπεῖν ἐμέλλησε. πολλὰ δὲ καὶ ἄλλ
φικῶς παρὰ τῷ ποιητῇ δείκνυται, ἅπερ ἐν αὐτῇ τ
γνώσει Θεάσασθαι ἔνεστιν.

CCXVIII. Ἐνταῦθα καιρὸς καταπαύειν τὸν
δν, ὥσπερεὶ στέφανον ἐκλειμῶνος πολυανθοῦς κ
κίλου πλέξαντες, ταῖς Μούσαις ἀνατίθεμεν. κ
ἂν φροντίσαιμεν εἴ τις ἐπιτιμήσειεν, ὅτι πονηρῶ
γμάτων ὑπόθεσιν ἐχουσῶν τῶν τοῦ Ὁμήρου ποιη
προσάπτομεν αὐτῷ λόγους φυσικοὺς, πολιτικοὺ
ἠθικοὺς, καὶ ἐπιστήμας ποικίλας. ἀνάγκη μὲν γ
τῷ ποιητῇ πράξεις παραδόξους, καὶ πάθη, κα
διάφορα ὑποθέσθαι· ἐπεὶ τὰ μὲν ἀγαθὰ καθ' α
ἁπλᾶ ἐστι καὶ μονοειδῆ, καὶ ἀκατασκεύαστα·
τοῖς κακοῖς ἀναμεμιγμένα πολλοὺς ἔχει καὶ τρ
καὶ παντοίας διαθέσεις, ἐξ ὧν ἡ ὕλη τῶν πραγμ
συνίσταται· ἐν ᾗ παρατιθεμένων τῶν χειρόνων,
ἀμεινόνων γνῶσις καὶ αἵρεσις ῥᾴων καθίστατας.
ὅλον, ἡ τοιαύτη ὑπόθεσις παρέσχεν ἀφορμὰς τῷ
τῇ παντοδαποὺς κινῆσαι λόγους, τοὺς μὲν, ἀπ' α
τοὺς δὲ ἀπὸ τῶν εἰσαγομένων προσώπων· ὥστε τὴ
τούτων ὠφέλειαν τοῖς ἐντυγχάνουσι παρασχεῖν. π
οὐκ ἂν πᾶσαν ἀρετὴν ἀναθείημεν Ὁμήρῳ; ὅπ
ὅσα αὐτὸς μὴ ἐπετήδευσε, ταῦτα οὐ ἐνεγκόμ
τοῖς ποιήμασιν αὐτοῦ κατενόησαν· καὶ χρῶν
τινες πρὸς μαντείαν τοῖς ἔπεσιν αὐτοῦ, καθ
χρησμοῖς τοῦ Θεοῦ· ἄλλοι δὲ ἑτέρας ὑποθ

Θάσιοι, ἁρμόζουσιν ἐπ' αὐτὰς τὰ ἔπη μετατιθέντες καὶ συνείροντες.

ΠΑΡΟΙΜΙΑΙ

ΑΙΣ

ΑΛΕΞΑΝΔΡΟΙΣ ΕΧΡΩΝΤΟ.

I. „Οἶκοι τὰ Μιλήσια". *ἐπὶ τῶν ὅποι μὴ προσήκει τὴν τρυφὴν ἐπιδεικνυμένων. Ἀρισταγόρας ὁ Μιλήσιος ἐλθών ποτε εἰς Λακεδαίμονα ἠξίου βοηθεῖν τοῖς Ἴωσι πολεμουμένοις ὑπὸ Περσῶν· ἐδημηγόρει δὲ ἐσθῆτα ἔχων πολυτελῆ καὶ τὴν ἄλλην τρυφὴν τὴν Ἰωνικήν. εἶπεν οὖν τις πρὸς αὐτὸν τῶν Ἐφόρων, οἶκοι τὰ Μιλήσια.*

II. „*Αἱ Χάρητος ὑποσχέσεις.*" *ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων. Χάρης γὰρ στρατηγὸς Ἀθηναῖος προχείρως πολλὰ ἐπηγγείλατο.*

III. „Ὀπισάμβρῳ." *ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἐν τοῖς πράγμασι προβαινόντων ἀεί· παρὰ τὸ ὀπίσω βαίνειν.*

IV. „*Εὐδαίμων ὁ Κορίνθιος*". *Κώμη ἐστὶ πλησίον τῆς Κορίνθου κατάφυτος, ὡς τῶν ἐν τῇ κώμῃ ὁμολογούντων μὲν Κόρινθον εἶναι εὐδαίμονα, αἱρουμένων δὲ ἧττονα κώμην ἔχειν.*

V. „*Τυδεὺς ἐκ συφορβίου*". *ἐπὶ τῶν ἀπαιδεύτων Τυδεὺς τὴν θυγατέρα Ἱππονόου Περίβοιαν ἐβιάσατο· γνοὺς δὲ αὐτὴν ἔγκυον οὖσαν ὁ πατὴρ συφόρβιος παρέδωκε μετὰ τοῦ γενομένου παιδίου Τυδέως.*

VI. „*Κλειτοριάζεις*". *ἐπὶ τῶν παιδερασταύντων.*

VII. „*Τί σοι ὁ Ἀπόλλων ἐκιθάρισεν*"; *ἤγουν, μαντεύσατο;*

VIII. „*Κεστρεὺς νηστεύει*“. *ἐπὶ τῶν δικαιοπραγούντων μὲν, οὐδὲν δὲ πλέον ἐκ τῆς δικαιοσύνης ἐπιφερομένων. ὁ γὰρ κεστρεὺς τῶν ἄλλων ἰχθύων ἀλληλοφαγούντων μόνος ἀπέχεται τῆς σαρκοφαγίας, ἰσθίων ἰλύν.*

IX. „*Βοιωτοῖς μαντεύσειας*“. *αὕτη κατάρα τίς ἐστι. μαντευομένοις γὰρ τοῖς Θηβαίοις περὶ πολέμου ἀπεῖλεν ἡ Ἰλυθία νίκην αὐτοῖς ἀσεβήσασιν ἔσεσθαι· εἰς δὲ τῶν Θεωρῶν ἁρπάσας τὴν προφῆτιν Μυρτίλα ἐνέβαλεν εἰς Θερμοῦ παρακείμενον λέβητα. ἄλλοι φασὶ, Θηβαίοις πολεμοῦσι Βόμβρος μάντις πλείους ἔφη νικήσεσθαι εἰ προθύσαιεν τῶν ἡγεμόνων ἕνα· οἱ δὲ ἀποκτείναντες τὸν Βόμβρον, ἐνίκησαν.*

X. „*Πλείους τῶν Καλλικυρίων*“. *Καλλικυρίων ποτὲ πλῆθος ἐπῴκησε τῆς Συρακούσης οὕτω πολλοὶ, ὥστε καὶ τοὺς προτέρους οἰκήτορας ἐκβαλεῖν.*

XI. „*Κέλμις ἐν σιδήρῳ*“. *ἐπὶ τῶν σφόδρα ἑαυτοῖς πιστευσάντων ὅτι ἰσχυροὶ καὶ δυσχείρητοι πεφίκασι. κέλμις γάρ τις ἐν Ἴδῃ στερρότατον σίδηρον ἐργαζόμενος.*

XII. „*Ὁ Κερκυραῖος μαστιγούμενος ἅμα αἰτὸν ἠργολάβησαι*“. *αἱ μάστιγες αἱ Κερκυραῖαι λέγονται διάφοροι εἶναι παρὰ τὰς ἄλλας.*

XIII. „*Ἵππῳ γηράσκοντι τὰ μείονα κῖκα ἐπίβαλλε*“. *ἐπὶ τῶν διὰ γῆρας δεομένων ῥᾳστώνης τινὸς καὶ ἀναπαυλῆς.*

XIV. „*Πόλεις παίζομεν*“. *πόλις εἶδος ἐστὶ παιδιᾶς πεττευτικῆς.*

XV. „*Ἄριστα χωλὸς οἰφεῖ*“. *αἱ Ἀμαζόνες τοὺς γενομένους ἄρσενας ἐπήρουν, ἢ σκέλος ἢ χεῖρα περιελόμεναι· πολεμοῦντες δὲ πρὸς αὐτὰς οἱ Σκύθαι καὶ βλόμενοι πρὸς αὐτὰς σπείσασθαι ἔλεγον, ὅτι συνέσονται τοῖς Σκύθαις εἰς γάμον ἀπηρώτοις καὶ μὴ λελωβημένοις. ἀποκριναμένη δὲ πρὸς αὐτοὺς ἡ Ἀντιάνειρα ἡγεμὼν τῶν Ἀμαζόνων εἶπεν· ἄριστα χωλὸς οἰφεῖ.*

XVI. „*Ἔφυγον κακὸν καιρὸν, εὗρον ἄμεινον*“. *ἐπὶ τὴν μεταβολὴν ἐν ἑαυτοῖς κρείττονα οἰωνιζομένων*

Ἀθήνησι γὰρ ἐν τοῖς γάμοις ἔθος ἦν ἀμφιθαλῆ παῖδα ἀκάνθας μετὰ δρυΐνων καρπῶν στρέφεσθαι, καὶ λικνὸν ἄρτων πλήρη περιφέρονια λέγειν, Ἔφυγον κακὸν, εὗρον ἄμεινον. ἐσήμαινον δὲ ὡς ἀπεώσαντο μὲν τὴν ἀγρίαν καὶ παλαιὰν δίαιταν, εὑρήκασι δὲ τὴν ἥμερον τροφήν.

XVII. „Μυκόνιος γείτων". ἐπὶ τῶν διαβεβλημένων ἐπὶ γλισχρότητι καὶ μικροπρεπείᾳ, παρὰ τὴν μικρότητα τῆς νήσου. καὶ εὐτέλειαν τῆς Μυκόνου.

XVIII. „Τὸ σκαμβὸν ξύλον οὐδέποτε ὀρθοῦν." ἐπὶ τῶν πεπρωμένων διαστροφα ξύλα κατευθύνειν.

XIX. „Ὁ παῖς τὸν κρύσταλλον". ἐπὶ τῶν μὴ κατέχειν δυναμένων, μήτε μαθεῖν βουλομένων.

XX. „Τὸν ἵππον ὁ Σκύθης". ἐπὶ τῶν κρύφα τινὸς ἐφιεμένων, φανερῶς δὲ ἀπωθουμένων καὶ διαπτυόντων αὐτό.

XXI. „Ἡράκλειος φορά". ἡ τῶν Ἡρακλείων λουτρῶν δεομένη πρὸς θεραπείαν· ἡ γὰρ Ἀθηνᾶ τῷ Ἡρακλεῖ πολλαχοῦ ἀνῆκε θερμὰ λουτρά.

XXII. „Οὐκ ἔστι δούλων πόλις". διὰ τὸ σπάνιον ἔζηται.

XXIII. „Βούνας δικάζει". ἐπὶ τῶν τὰς κρίσεις ἀναβαλλομένων ἀεὶ καὶ ὑπερτιθεμένων. Βούνας γὰρ Ἀθηναῖος ἐγένετο· τούτῳ Ἠλεῖοι πρὸς Καλλιωναίους διαφερόμενοι ἐπέτρεψαν δίκας νομίσαντες ἀναμένειν, ἕως ἂν ἀποφήναι· γνοὺς δὲ ὁ Βούνας τοῦτο ἀνεβάλλετο μέχρι τελευτῆς τὴν ἀπόφασιν.

XXIV. „Λοκρικὸς βοῦς". ἐπὶ τῶν εὐτελῶν. οἱ Λοκροὶ γὰρ ἀποροῦντες βοῶν πρὸς θυσιστελῆ θυσίαν, σικύοις ὑποθέντες ξύλα μικρὰ καὶ σχηματίσαντες βοῦν, οὕτω τὸ θεῖον ἐθεράπευσαν.

XXV. „Θεὸς ἡ ἀναίδεια". ἐπὶ τῶν διὰ τὴν ἀναισχυντίαν ὠφελουμένων.

XXVI. „Κακὸν Βάβυς αὐλεῖ". ἐπὶ τῶν κατὰ τὸ χεῖρον ἀσκούντων.

XXVII. „Ἄειδε τοὺς Τέλληνος". ὁ Τέλλης ἐγένετο ἐλεγεῖς καὶ μελῶν ἀνυποτάκτων ποιητής.

XXVIII. „Ὕδωρ παραῤῥέει". ἐπὶ τῶν ἐκ πάντος

Ξέρξου ἐπαγγελλομένων καταπράξασθαι τὸ προκείμενον. μετῆκται δὲ ἀπὸ τῶν ὑπὸ σπουδῆς καὶ εἰς ῥᾳστα πλοῖα ἐμβαινόντων καὶ παραβαλλομένων τῷ κινδύνῳ.

XXIX. „Μιχθοφορῶν". αὕτη λέγεται ἐπὶ τῶν ἐμπείρων διδάσκαλος καὶ ὑπερηφάνων, ὡς φασὶ καὶ τὴν Σαπφὼ ἐρασθῆναι· μὴ φέρουσαν δὲ τὸ πάθος ῥῖψαι αὑτὴν κατὰ τῶν ἐν Λευκαδίᾳ πετρῶν.

XXX. „Λιμοῦ πεδίον". ἐπὶ τῶν ὑπὸ λιμοῦ πιεζομένων πόλεων. τόπος γάρ ἐστιν οὕτω καλούμενος λιμοῦ πεδίον.

XXXI. „Πεύκης τρόπον". ἐπὶ τῶν πανολεθρίᾳ ἀπολλυμένων· παρόσον ἡ πεύκη κοπεῖσα οὐκέτι φύεται.

XXXII. „Οὐκ εἰμὶ τούτων τῶν ἡρώων". ἐπὶ τῶν μὴ βουλομένων εὖ ποιεῖν. οἱ γὰρ ἥρωες κακοῦν ἑκόμοι μᾶλλον ἢ ὠφελεῖν.

XXXIII. „Βοῦθος περιφοιτᾷ". ἐπὶ τῶν ἀσυνέτων καὶ παχυφρόνων· ἀπό τινος Πυθιονίκου Βούθου καλουμένου.

XXXIV. „Λιμῷ Δωριεῖς". Σιτοδείας ποτὲ γενομένης ἐν Πελοποννήσῳ ἐφόδια τινὲς λαβόντες ἐπῆραν· πλανωμένους δὲ αὐτοὺς ἀπεδέξατο ἡ ἐν Ῥόδῳ Τρίπολις· ἐκλήθησαν δὲ διὰ τοῦτο Λιμῷ Δωριεῖς.

XXXV. „Μέρις οὐ πίνει". φασὶ περὶ τὴν Ἑλλάδα μὴ εἶναι σύνηθες τοῖς ἀρχαίοις διανέμειν μερίδας· διὰ δὲ προφάσεις τινὰς ἐνδεεστέρων γενομένων τῶν ἐδωδίμων, κρατῆσαι τὸ ἔθος τῶν μερίδων, καὶ διὰ τοῦτο τὴν παροιμίαν εἰρῆσθαι.

XXXVI. „Ἡράκλειος νόσος". τὴν ἱερὰν νόσον Ἡράκλειον ὠνόμαζον· εἰς ταύτην γὰρ ἐκ μακρῶν πόνων ἐμπεσεῖν Ἡρακλέα.

XXXVII. „Τάδε Μῆδος οὐ φυλάξει". Μελλούσης γενέσθαι τῆς Ξέρξου στρατείας, οἱ Ἕλληνες ἀπογνόντες τὴν σωτηρίαν, τὰς οὐσίας αὐτῶν ἐνήλισκον, ἐπιλέγοντες· τάδε Μῆδος οὐ φυλάξει.

XXXVIII. „Ἐκκεκόφῃ Μουσικὴ". τῶν πολλῶν ζητήσει χρωμένων, ἐν ἰοῖς συμποσίοις φιλολόγων

ὕστερον τὰς μουσουργοὺς καὶ κιθαριστρίας καὶ ὀρχηστρίας ἐπεισήγαγον, ὅθεν τὴν καινοτομίαν τινὲς αἰτιώμενοι τῇ παροιμίᾳ ἐχρῶντο.

XXXIX. „Λευκὴ στάθμη". αὕτη κατ' ἔλλειψιν εἴρηται ἐπὶ τῶν μὴ ἀκριβῶς τι διακρινόντων. ἐν γὰρ λευκῷ λίθῳ λευκὴ στάθμη λέγεται· ἥκιστα γὰρ διὰ τὸ ὁμοειδὲς σαφὴς ἐστιν.

XL. „Μωρύχου Διονυσίου· καὶ, Μωρότερος εἰ Διονύσου, ὃς τἄνδον ἀφεὶς, ἔξω τῆς οἰκίας κάθηται". ἐπὶ τῶν εὐηθές τι διαπεπραγμένων. Μωρύχας δὲ ὁ Διόνυσος κατ' ἐπίθετον ἀπὸ τοῦ τὸ πρόσωπον αὐτοῦ μολύνεσθαι, ἐπειδὰν τρυγῶσι, τῷ ἀπὸ τῶν βοτρύων γλεύκει καὶ τοῖς χλωροῖς σύκοις. μωρύξαι δὲ τὸ μολῦναι· καταγνωσθῆναι δὲ αὐτοῦ εὐήθειαν, παρόσον ἔξω τοῦ νεοῦ τὸ ἄγαλμα αὐτοῦ ἐστι παρὰ τὴν εἴσοδον ἐν ὑπαίθρῳ.

XLI. „Ἡ Ἀμέα τὴν Ἄζησίαν μετῆλθεν". ἐπὶ τῶν πολυχρονίῳ ζητήσει χρωμένων. Ἀμέα γὰρ ἡ Δημήτηρ παρὰ Τροιζηνίοις προσαγορεύεται, Ἄζησία δὲ ἡ Κόρη.

XLII. „Ὁ Λέσβιος πρύλις". αὕτη καθ' ὁμοίωσιν λέγεται, ὥσπερ Λέσβιος πρύλις. δοκεῖ δὲ ὁ Πρύλις Ἑρμοῦ παῖς γενέσθαι καὶ μάντις.

XLIII. „Ἀ φιλοχρηματία τὰν Σπάρταν ὤλοι, ἄλλο δ' οὐδέν". ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν προαιρουμένων. μετήνεγκται ἀπὸ χρησμοῦ δοθέντος Λακεδαιμονίοις. ἔχρησε γὰρ ὁ θεὸς, τότε ἀπολέσθαι ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσιν.

XLIV. „Ἡ ἐν Ἄργει ἀσπίς". οἱ ἐν Ἄργει οἱ τὴν ἐν τοῖς παισὶν ὥραν καθαρὰν καὶ ἀδιάφθορον φυλάξαντες, ἀναλαβόντες χρυσῆν ἀσπίδα, προπομπεύουσι, τοῦτο γέρας ἔχοντες κατά τινα μῖμον ἀρχαῖον.

XLV. „Ἀθηνᾶ τὸν αἴλουρον". ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα τοῖς ἥττοσι διὰ μικρὰν ὁμοιότητα· ὡς εἴ τις διὰ γλαυκότητα τῶν ὀφθαλμῶν τὸν αἴλουρον τῇ Ἀθηνᾷ συμβάλλει.

XLVI. „Ἑστίᾳ θύεις". ἐπὶ τῶν μηδενὸς ἐμφόλια

μεταδιδόντων. δὲ ἔθους γὰρ ἦν τοῖς παλαιοῖς, ἀπὸ ἔθνων Ἑστίᾳ, μηδενὶ μεταδιδόναι τῆς οὐσίας.

XLVII. „Τί ὅτι οὐκ ἀπήγξω, ἵνα Θήβῃσιν ἥρως γένῃ“. φασὶν, ἐν Θήβαις ἑαυτοὺς ἀναιροῦντες οὐδεμιᾶς τιμῆς μετεῖχον. ὅθεν τὸ, ἵνα ἥρως γένῃ, κατ' εὐφημισμὸν εἴρηται.

XLVIII. „Λέχεται καὶ βῶλον ἀλήτης“. ἐπὶ τῶν ἅπαντα πρὸς τὸ κρεῖττον ἐκδεχομένων. Ἀλήτης γὰρ, ὡς φησὶ Δοῦρις, ἀποπεσὼν Κορίνθου, κατὰ χρησμὸν τοῦ Θεοῦ ἀπεπειρᾶτο πάλιν κτηθεῖν· ἐνὶ τῇ χώρᾳ περιῴδών τινα βουκόλον, ἤτει τροφήν· ὁ δὲ βῶλον ἐκ τῆς πήρας ἀράμενος ἐδίδου. ὁ δὲ Ἀλήτης ἐδέξατο οἰωνισάμενος καὶ εἰπών· δέχεται καὶ βῶλον Ἀλήτης.

XLIX. „Ἄδακρυς πόλεμος“. ἐπὶ τῶν ἔξω τινὸς χαλεποῦ πράγματος κατορθούντων. ὁ γὰρ Δωδωναῖος προεῖπε Λακεδαιμονίοις πολεμοῦσι πρὸς Ἀρκάδας μάχην ἄδακρυν ἔσεσθαι· συμβαλόντες δὲ μετὰ ταῦτα ἐνίκησαν μηδενὸς ἀποθανόντος.

L. „Ἀττικοὶ τὰ Ἐλευσίνια“. ἐλλείπει τὸ καθ' ἑαυτούς. ὅταν καθ' ἑαυτοὺς συλλεγέντες τινὲς πράττωσί τι, ἐπιλέγουσιν ἑαυτοῖς, Ἀττικοὶ τὰ Ἐλευσίνια.

LI. „Ἐν Τροφωνίου μεμάντευται“. ἐπὶ τῶν σκυθρωπῶν καὶ ἀγελάτων. οἱ γὰρ καταβαίνοντες εἰς Τροφωνίου λέγουσι τὸν ἕξῆς χρόνον ἀγέλαστοι εἶναι. ὁ γὰρ Τροφώνιος ἔχων τὴν κεφαλὴν τοῦ ἀδελφοῦ αὐτοῦ Ἀγαμήδους καὶ διωκόμενος ὑπὸ τοῦ Αὐγέου, εὐξάμενος εἰς χάσμα ἐνέπεσεν, οὗ δὴ καὶ μαντεῖον ἐγένετο.

LII. „Φάλλος τῷ Θεῷ“. ἐπὶ τῶν ἀπονεμόντων ἑνί οἷς τὰ οἰκεῖα πρόσφορα· ἐπεὶ τῷ Διονύσῳ ἵστατο ὁ φάλλος.

LIII. „Δῶρον δ' ὅ, τι δῶ τις ἐπαινεῖ.“

LIV. „Ταινάριον κακόν“. τὸ μέγα καὶ παρανομοῦμενον εἰς οἰκέτας. οἱ γὰρ Λακεδαιμόνιοι τοὺς καταφυγόντας εἰς Ταίναρον τῶν Εἱλωτῶν ἀπαγαγόντες ἀπέκτειναν.

LV. „Πιτάνη εἰμί“. κατὰ τῶν πυκνὰς συμπλοκὰς ποιουμένων. τῇ γὰρ Πιτανῇ τοιαῦτα συνέβη πράγματα

LVI. „Θρᾷκες ὅρκια οὐκ ἐπίστανται".

LVII. „Ταχύτερον ὁ Μάνδρης κρητίνας ἀπεπέρασε". Ἔφεσιοι κρητίνας ἐκτήσαντο τὰς Μαγνητῶν· ἀπεπέρασε δέ σφιν Μάνδρης ὁ Μανδρολύτου παρ' οἶνον καὶ μέθην καὶ κύβην.

LVIII. „Πολυκράτης μητέρα νέμει". Πολυκράτης ὁ Σάμιος τῶν ἐν τῷ πολέμῳ ἀποθανόντων τὰς μητέρας συναγαγὼν, δέδωκε τοῖς πλουσίοις τῶν πολιτῶν τρέφειν, πρὸς ἕκαστον λέγων, ὅτι Μητέρα σοι ταύτην δίδωμι.

LIX. „Ἀττικὸς πάροικος". οἱ Ἀθηναῖοι τοὺς παροικοῦντας αὐτοῖς καὶ γειτνιάζοντας ἐξέβαλλον. ἢ ἀπὸ τῶν εἰς Σάμον πεμφθέντων Ἀθήνηθεν ἐποίκων.

LX. „Εἰς Μασσαλίαν πλεύσειας". οἱ Μασσαλιῶται θηλύτερον ἕζων, καὶ στολαῖς ποικίλαις καὶ ποδήρεσιν, ἔτι δὲ τὰς κώμας μεμυρισμένας ἀναδεδεμένοι, καὶ διὰ ταύτην τὴν μαλακίαν ἀσχημονοῦντες.

LXI. „Σαμίων ἄνθη," καὶ, „Σαμιακὴ λαῦρα". ἐπὶ τῶν ὑστάτως ἡδονῇς χρωμένων. ἡ Σαμιακὴ λαῦρα στενωπὴ ἦν πυρὰ Σαμίοις, ἐν ᾗ τὰ πέμματα ἐπιπράσκετο. τὰ δὲ Σαμίων ἄνθη τόποι ἐν ᾗ συνήεσαν αἱ γυναῖκες τοῖς ἀνδράσι συνευνοχησόμεναι. διὰ ταύτην τὴν τρυφὴν οἱ Σάμιοι τοῖς Πέρσαις ἐδουλώθησαν.

LXII. „Ἡ Σκυθῶν ῥῆσις". πρὸς Λαρεῖον τὸν Πέρσην ἀπεκρίναντο οἱ Σκύθαι, κλαίειν αὐτόν. ἐπὶ τῶν ἀποτόμως οἰμώζειν τινὰ λεγόντων.

LXIII. „Διὸς ἐγκέφαλος". ἐπὶ τῶν ἡδυπαθούντων. τὰ γὰρ παντελῆ βρώματα παρὰ τοῖς Πέρσαις, Διὸς καὶ βασιλέως ἐγκέφαλος ἐκαλεῖτο.

LXIV. „Λευκηπατίας". φασὶ συμβαίνειν τι ἐπὶ τὸ ἧπαρ ἐπί τινων, ὃ δειλοὺς ποιεῖ. εἴρηται οὖν ἐπὶ τῶν τοιούτων.

LXV. „Ἀκκώ". αὕτη γέγονεν ἐπὶ τῶν ἐπὶ μωρίᾳ διαβεβλημένων, ἣν φασιν ἐνοπτριζομένην τῇ εἰκόνι ὡς ἑτέρᾳ διαλέγεσθαι.

LXVI. „Ἀεὶ κολοιὸς πὰρ κολοιὸν ἵζανει". διὰ τὸ φιλάλληλον τοῦ ζώου.

LXVII. „*Κινήσω τὸν ἀφ' ἱερᾶς*". *ἐπὶ τῶν τὴν ἐσχάτην βοήθειαν κινούντων. τέτακται δὲ ἀπὸ τῶν πεττευόντων· περὶ τούτους κύκλιόν τις ψῆφος οἱονεὶ ἱερὰ καὶ ἀκίνητος τεῶν νομιζομένη.*

LXVIII. „*Τιθωνοῦ γῆρας*". *ἐπὶ πολυχρονίων καὶ ὑπερηρώων. ὁ γὰρ Τιθωνὸς κατ' εὐχὴν τὸ γῆρας ἀποθέμενος, τέττιξ ἐγένετο.*

LXIX. „*Οἰταῖος δαίμων*". *οὗτος ὁ δαίμων ὕβρεως καὶ ὑπερηφανίαν πάνυ ἐμίσησεν.*

LXX. „*Ἐπὶ βωμόν*". *εἴρηται ἀπὸ τῶν θυομένων πρὸς τοῖς βωμοῖς.*

LXXI. „*Φωκαέων ἀρά*". *οἱ Φωκαεῖς τῆς αὐτῶν ἐκπεσόντες γῆς ἐπηράσαντο μηδέποτε κατελθεῖν εἰς αὐτήν.*

LXXII. „*Φασηλειτῶν θῦμα*". *ἐπὶ τῶν εὐτελῶν καὶ ἀναίμων. φασὶ γὰρ τοὺς Φασηλείτας ταῦρον οὐ τοῖς θεοῖς θύειν.*

LXXIII. „*Καρικὸν θῦμα*". *ἐπὶ τῶν ἄσαρκα μέλη θυόντων. οἱ γὰρ Κάρες κύνας ἱερουργοῦσι.*

LXXIV. „*Εὔρυμενος*". *οὗτος πειρώμενος διαβάλλειν Κάστορα πρὸς τὸν Πολυδεύκην, ἔδωκεν αὐτοῖς τὴν μεγίστην δίκην.*

LXXV. „*Διιλαιότερος εἰ τοῦ παρακύπτοντος*". *φοβούμενός τις τὸν Ἡρακλέα κατέδυ εἰς σπήλαιον καὶ διὰ διειλίαν ἀπέθανεν. ἐντετύπωται ἐν τῷ λίθῳ ἀνθρωποειδὴς εἰκών, καὶ τὴν κεφαλὴν ὑπερέχει τοῦ σπηλαίου καλεῖται δὲ παρακύπτων.*

LXXVI. „*Ἐν πέντε κριτῶν γόνασι κεῖται*". *τὸ παλαιὸν πέντε κριταὶ ἔκρινον τοὺς Κωμικούς.*

LXXVII. „*Βοιωτίων νόμος*". *ἐπὶ τῶν τὰς ἀρχὰς ἡρεμαίας ἐχόντων, αὖθις δὲ σφοδρῶς ἐπιγινομένων.*

LXXVIII. „*Ἅρπαγὰ Κοτυτείοις*". *Κοτυτὶς ἑορτή τις ἐστὶ Σικελική, ἐν ᾗ περί τινας κλάδους ἐξάπτοντες πόπανα καὶ ἀκρόδρυα ἐπέτρεπον ἁρπάζειν.*

LXXIX. „*Μέγα στόμα ἐνιαυτοῦ*". *οἷονεὶ πολλὴ παῤῥησία πάντων, εὐφορίας γενομένης.*

LXXX. „*Εἰκὴ τῷ Ἡρακλεῖ*". *ἐπὶ τῶν ἀσυκοφ-*

τήτως τὰ πράγματα ἐπιτελούντων· ἐπειδὴ ὁ Ἡρακλῆς ἦγε καὶ ἔφερε τὰ ἀλλότρια.

LXXXI. „Οὐχ ἱππολέκτας περισσὰς πλῶμες". ἐπὶ τῶν βραχέα κεκτημένων.

LXXXII. „Χαμαιδ' ἀντλεῖς. Φακὸν κύπτεις". ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων.

LXXXIII. „Τίς τρόπος ἵππων". ἐπὶ τῶν παρηλλαγμένον τι καὶ ἀλλόκοτον ποιούντων.

LXXXIV. „Χαλκίζειν". ἐπιγλισχρευομένων. οἱ γὰρ ἐν Εὐβοίᾳ Χαλκιδεῖς ἐπὶ φιλαργυρίᾳ ἐκωμῳδοῦντο.

LXXXV. „Πρόσω καὶ χειλιὼν ὁλοσχοίνους παρεῖται".

LXXXVI. „Οὐκ ἐπαινεθείη οὐδὲ ἐν περιδείπνῳ". ἐπὶ τῶν μηδενὸς ἀξίων. εἰώθησαν γὰρ ἐν τοῖς δείπνοις τὸν τελευτήσαντα ἐπαινεῖν, καὶ εἰ φαῦλος ἦν.

LXXXVII. „Σῦκον αἰτεῖς". κατὰ τῶν κολακευόντων. οἱ γὰρ Ἀθηναῖοι ἐκολάκευον τοὺς γεωργοὺς βουλόμενοι λαμβύνειν τὰ πρώϊμα σῦκα.

LXXXVIII. „Μυσὶ κάνθαρις". ἐπὶ τῶν μηδενὸς ἀξίων.

LXXXIX. „Κέρδος αἰσχύνης ἄμεινον ἕλκε μοιχὸν εἰς μυχόν".

XC. „Κυρνία ἄτη". Κύρνος νῆσος ἦν πάλαι ἄβατος τοῖς πλέουσι διὰ συνεχεῖς λῃστείας.

XCI. „Κωφότερος τοῦ Τορωνίων λιμένος". λιμὴν ἐστι καλούμενος περὶ Τορώνην τῆς Θρᾴκης· οὗτος δὲ ἔχει καὶ μακρὰς τὰς ἀπὸ τοῦ πελάγους καθωρέσεις, ὡς μὴ ἀκούεσθαι τοῖς ἐν αὐτῷ ἰὸν της θαλάσσης ἦχον.

XCII. „Ἀ Κορινθία ἔοικας χοιροπωλήσειν". ἐπὶ τῶν παρ' ὥρας θρυπτομένων γυναικῶν· οἷον, ἔοικας μισθαρνήσειν ἐν Κορίνθῳ· τὸ γὰρ γυναικεῖον μόριον χοῖρος λέγεται.

XCIII. „Ἐκ παντὸς ξύλου". κατ' ἔλλειψιν λέγεται· τὸ γὰρ πλῆρες ἐκ παντὸς ξύλου κυφὸν ἀνὸν γίνοιτο· ἐπὶ τῶν τὸ μὲν εἶδος εὐκαταφρονήτων, εἰς δὲ χρείαν ἀναγκαίων πεπτόντων.

XCIV. „Ἄρκτου παρούσης τὰ ἴχνη ζητεῖς". ἐπὶ τῶν δειλῶν κυνηγῶν.

XCV. „Σικελὸς ὀμφακίζεται". ἐπὶ τῶν τὰ μηδενὸς ἄξια κλεπτόντων.

XCVI. „Οὐδὲν ἦν ἄρα τὰ ἄλλα πλὴν ὁ χρυσός".

XCVII. „Τὸ θερμὸν τοῦ ὀβελοῦ". ἐπὶ τῶν ἀναρουμένων τὰ χείρονα ἀντὶ τῶν κρειττόνων· ἐπὶ τῶν ἀπείρως ὀρασσομένων κατὰ τὸ θερμὸν τῶν ὀβελίσκων.

XCVIII. „Ἀκεσίας ἰάσατο". Ἀκεσίας ἐγένετο ἰατρὸς ἀφυὴς, ὃς τὸν πρωκτὸν τινος ἀλγοῦντος κακῶς ἰάσατο.

XCIX. „Τάτῃ κεφαλῇ καὶ τρίτῳ ἐγκεφάλῳ". ἐπὶ τῶν ἀχθοφορούντων οὐ μόνον κατὰ τῶν ὤμων, ἀλλὰ καὶ κατὰ τῆς κεφαλῆς.

C. „Ἐπὶ σπειρῶν σχοινίον". ἐπὶ τῶν ἐν τοῖς αὐτοῖς πλεοναζόντων.

CI. „Γαλῇ χιτώνιον", καὶ, „Οὐ πρέπει γαλῇ κροκωτός". ἐπειδὴ γαλὴ κατὰ πρόνοιαν Ἀφροδίτης γυνὴ γενομένη ἐν χιτῶνι κροκωτῷ οὖσα ἐπέδραμε μυΐ.

CII. „Ὁ κνὶψ ἐν χώρᾳ". ἐπὶ τῶν ταχέως μεταπηδώντων. κνὶψ γάρ ἐστι θηρίδιον τῶν ξυλοφάγων.

CIII. „Αὐδὸς ἐν μεσημβρίᾳ". οἱ Αὐδοὶ κωμῳδοῦνται ταῖς χερσὶν ἑαυτῶν πληροῦντες τὰ ἀφροδίσια.

CIV. „Οὐ μάλα κυκᾷς". κατὰ τῶν μηδὲν ὄντων.

CV. „Οὐδὲν Πυλαία ταῦτα καὶ Τυττιγίας" ὁ Τυττιγίας ἀνδραποδιστὴς ἦν· ἐπώλει δὲ ἐν τῇ Πυλαίᾳ τὰ ἀλλότρια. κατὰ τῶν τὰ ἀλλότρια ἁρπαζόντων καὶ τωλούντων.

CVI. „Τὰ πρῶτα ἀριστους παῖδας ἐγείνατο". ἐπὶ τῶν ἐν ἀρχῇ κοσμίων, μετὰ ταῦτα δὲ ἀσελγαινόντων.

CVII. „Δοῦλον οὐκ ἄγω, εἰ μὴ ναυμαχήκε περὶ τῶν κρεῶν". περὶ τῶν στρατευομένων δούλων, οἵτινες περὶ τοῦ σώματος μόνου μάχονται. λέγεται καὶ, „εἰ μὴ ναυμαχήκε περὶ τῶν νεκρῶν". καί φησιν ἀπὸ τῶν ἐν Ἀργεννούσαις ναυμαχησάντων δούλων τὴν παρομίαν εἰρῆσθαι, οἷς ἐλευθερίαν ἐψηφίσαντο οἱ Ἀθηναῖοι περὶ τῶν νεκρῶν ἀγωνισαμένοις.

CVIII. „*Τὸν ἐν Σάμῳ κομήτην*“. *Σάμιός τις ἐγένετο πύκτης, ὃς ἐπὶ μαλακίᾳ σκωπτόμενος, ἐπειδὴ κομας εἶχεν, ὑπὸ τῶν ἀνταγωνιστῶν, συμβαλὼν αὐτοὺς ἐνίκησεν. λέγεται ἐπὶ τῶν αἱρουμένων ἀνταγωνιστὰς ἑαυτοῖς κρείττονας, ἢ προσεδόκησαν· ὥςπερ τὸν ἀληλεσμένον βίον οἱ μὲν ἐπὶ τῶν πλάνητι βίῳ χρωμένων προσεδέξαντο· οἱ δὲ ἐπὶ τῶν ἀταλαιπώρως βιούντων, οἷονεὶ κατηργασμένων καὶ πρὸς τροφὴν ἑτοίμων.*

CIX. „*Ἔτι κακὸν εἰς Πύῤῥαν*“. *οἱ Πύῤῥοι πρὸς τοὺς ὁμόρους πάντας ἀπεχθῶς εἶχον. ἐκεῖνοι οὖν τὰ συμβαίνοντα αὐτοῖς κακὰ ἀποτροπιαζόμενοι καὶ ἐκβάλλοντες εἰς τὴν Πυῤῥέων χώραν, ἐπεφώνουν, „εἴ τι κακὸν εἰς Πύῤῥαν“.*

CX. „*Μετὰ Λέσβιον ᾠδόν*“. *Λακεδαιμόνιοι σταλάσαντες μετεπέμψαντο κατὰ χρησμὸν τοῦ θεοῦ ἐκ Λέσβου Τέρπανδρον τὸν μουσικόν· ἐλθὼν δὲ ἐκεῖνος καὶ παρὰ τοὺς κώμους τῇ μουσικῇ χρώμενος, ἥρωσεν αὐτῶν τὰς ψυχὰς, καὶ τὴν στάσιν ἔπαυσεν. εἴ ποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινος ἤκουον Λακεδαιμόνιοι, ἐπεφώνουν, „μετὰ Λέσβιον ᾠδόν“.*

CXI. „*Ὑπὲρ τὰ Καλλικράτους*“. *Καλλικράτης τις ἐγένετο ἐν Καρύστῳ πλουσιώτατος. εἴ ποτε οὖν ἐθαύμαζόν τινα οἱ Καρύστιοι ἐπὶ πλούτῳ, ὑπερβολικῶς ἔλεγον, „ὑπὲρ τοὺς Καλλικράτους“. ἄλλοι δέ φασι, τῇ Ἀθηναίων πολιτείᾳ, Καλλικράτην τινὰ πρῶτον τοὺς δικαστικοὺς μισθοὺς εἰς ὑπερβολὴν αὐξῆσαι.*

CXII. „*Ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν*“. *ἐπὶ τῶν παριέντων τὰς πρώτας μαθήσεις καὶ ἀπτομένων τὴν τελευταίαν.*

CXIII. „*Ἐπὶ σαυτῷ τὴν σελήνην καθελεῖς*“. *αἱ τὴν σελήνην καθελοῦσαι Θετταλίδες λέγονται τῶν ὀφθαλμῶν καὶ τῶν ποδῶν στερίσκεσθαι. ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων.*

CXIV. „*Ἐν ὅλῳ ἐκοιμήθην*“. *οἱ ἐν ὅλῳ κοιμηθέντες ἐπιθειαστικώτατοί εἰσιν.*

CXV. „*Χρυσὸς ὁ Κολοφώνιος*“. *οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν ἐργάζεσθαι νομίζουσιν.*

CXVI. „*Κράδης φαγείσης*“. Κράδη νῦν οὐχ ὁ σύκινος κλάδος, ἀλλ' ἡ ἀγκυρὶς, ἀφ' ἧς οἱ ὑποκριταὶ ἐν ταῖς τραγικαῖς σκηναῖς ἐξαρτῶνται, *θεοῦ μιμούμενοι* ἐπιφάνειαν, ζωστῆρσι καὶ ταινίαις κατειλημμένοι. ἐπὶ τῶν προσφανέντων αἰφνιδίως καὶ ἀσχημονούντων.

CXVII. „*Εἶτ' ἐφ' ὕδωρ κακόν*. ἐπὶ τῶν δυσκληρούντων. ἐν γὰρ τοῖς δικαστηρίοις τὸ φαυλότατον τῶν ἔργων ἦν ὕδωρ διαμετρεῖν τοῖς δικαζομένοις. ἐγίνετο δὲ οὗτος ἀπὸ κλήρου.

CXVIII. „*Ἰλιθιώτερος τοῦ Πραξίλλας Ἀδώνιδος*“. *Πραξίλλα Σικυωνία μελοποιὸς· αὕτη τὸν Ἄδωνιν ἐν τοῖς μέλεσιν εἰσάγει ἐρωτώμενον ὑπὸ τῶν κάτω τί κάλλιστον καταλιπὼν ἥκοι, ἀποκρίνασθαι ἥλιον καὶ σελήνην καὶ σικύους καὶ μῆλα. ἠλίθου γὰρ παραβάλλειν τῷ ἡλίῳ τοὺς σικύους.*

CXIX. „*Ἀμελὴς γωνία*“. *χωρίον ἐστὶ περὶ τὴν Λιβυην καλούμενον Ἀμελὴς γωνία.*

CXX. „*Ἀσπένδιος κιθαριστής*“. *ἐπὶ τῶν φιλοχρημάτων. οἱ γὰρ Ἀσπένδιοι τῶν κιθαριστῶν οὐδεμίαν φορὰν ἔξω φέρουσι, πάσας δ' ἐντὸς ὀργάνων. οὕτω καὶ ὁ φιλοχρήματος οὐδὲν τῶν πέλας ἕνεκα οἰκονομεῖ, εἰκει δὲ ἐφ' ἑαυτόν.*

CXXI. „*Εἴ τις περὶ πόλιν αἰγὶς λέγεται*“. *τοὺς ἀνέδην περιϊόντας καὶ πλανωμένους ἐπέσκωπτον.*

CXXII. „*Εὐρυκλῆς*“. *ἐπὶ τῶν ἑαυτοῖς τινα καταμαντευομένων. Εὐρυκλῆς γάρ τις ἐγένετο μάντις ἐγγαστρίμυθος.*

CXXIII. „*Φώκου ἔρανος*“. *κατὰ τῶν εὐωχίαν συναγόντων ἐπὶ τῷ ἑαυτῶν κακῷ. Φῶκος γὰρ τὴν θυγατέρα ἔχων ἐπίγαμον, πολλῶν αὐτὴν μνησιευομένων, ἐράνους συνῆγεν ἐστιῶν τοὺς μνηστῆρας, καὶ ἀνεβάλλετο τὸν γάμον. ὀργισθέντες οὖν ἐκεῖνοι ἐν τῷ συμποσίῳ ἀπέκτειναν τὸν Φῶκον.*

CXXIV. „*Τὸ Πέρδικος σκέλος*“. *ὁ Πέρδιξ κάπηλος Ἀθήνησι χωλὸς, καὶ κωμῳδούμενος ἐπὶ χωλότητι.*

CXXV. „*Οὐχ ἡ Γλαύκου τέχνη*“. *ἐπὶ τῶν εὐ εἰργασμένων καὶ δυσκατανοήτων. Γλαῦκος γάρ τις ἦν

νετο Σάμιος δημιουργὸς, ὃς πρῶτος σιδήρου κόλλησιν ἐξεῦρεν.

CXXVI. „Ὡς τῶν Ἀργείων ἀσπίδα καθελὼν σεμνύνεται". λόχον φασὶν εἶναι ἐν Ἄργει ἀσπίδα καλούμενον ἐκ νέων πάνυ ἀκμαζόντων.

CXXVII. „Ἀμαλθείας κέρας". ἡ Ῥέα τεκοῦσα τὸν Δία ἔδωκεν Ἀμαλθείᾳ τρέφειν. ἡ δὲ οὐκ ἔχουσα γάλα, κλῳὶ ὑπέβαλεν αὐτόν. ὅθεν Αἰγίοχος ἐκλήθη. ὁ τοίνυν Ζεὺς τὴν μὲν αἶγα κατηστέρισε· τὸ δὲ ἕτερον τῶν κεράτων αὐτῆς ἀφελὼν παρέσχε τῇ Ἀμαλθείᾳ, παρασκευάσας γίγνεσθαι αὐτῇ ὃ ἂν παρὰ τοῦ κέρατος αἰτήσειε. ὅθεν τοὺς εὐδαίμονάς φασιν Ἀμαλθείας κέρας ἔχειν.

CXXVIII. „Ἀφύας πῦρ". ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων. τὴν γὰρ ἀφύαν τάχιστα ἕψεσθαι συμβαίνει.

CXXIX. „Ἀεί τις ἐν Κύδωνος". ἐπὶ τῶν φιλοφρόνως καταδεχομένων τοὺς ξένους. ἀπὸ Κύδωνος Κορινθίου φιλοξένως διατεθέντος.

CXXX. „Τί οὖν γενήσῃ ἰὼν εἰς Ἀρβέλας"; Ἀρβέλαι πόλισμα Σικελῶν, εὐεξαπάτητοι δοκοῦντες οἱ ἐνοικοῦντες εἶναι.

CXXXI. „Ἐν Τεμέσῃ ἥρως". ὅτ' ἀπαιτῶν τις αὐτος ὕστερον προσοφείλων εὑρεθῇ, ὁ ἐν Τεμέσῃ γέγονεν ἥρως.

Πλουτάρχου παροιμίαι, αἷς Ἀλεξανδρεῖς ἐχρῶντο.

ΠΕΡΙ

ΜΕΤΡΩΝ.

I.

Περὶ διαφόρων τοῦ Ηρωϊκοῦ μέτρου.

Τοῦ ἡρωϊκοῦ μέτρου διαφοραί εἰσιν ἑπτά· Κατενόπλιον, Περιοδικόν, Σαπφικόν, Βουκολικόν, Ὑπόρυθμον, Τέλειον, Πολιτικόν.

Κατενόπλιόν ἐστι δύο δάκτυλοι καὶ σπονδεῖος, οἷον,

Μῆνιν ἄειδε, θεὰ, Πηληϊάδεω Ἀχιλῆος.

Σαπφικὸν ἐστιν οἷον τὸ ἄρχον ἀπὸ σπονδείου καὶ λῆγον εἰς σπονδεῖον, οἷον,

Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί.

Βουκολικόν ἐστι τὸ μετὰ τρεῖς πόδας ἀπαρτίζον εἰς μέρος λόγου, οἷον,

Ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο.

Ὑπορυθμόν ἐστι τὸ καθ' ἕκαστον πόδα εἰς μέρος λόγου ἀπαρτίζον, οἷον,

Τρῳὸς εἵνεκα τῆσδε· σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν.

Τέλειόν ἐστι τὸ ἔχον τὰ ὀκτὼ μέρη τοῦ λόγου·

Πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον.

Πολιτικὸν δέ ἐστι τὸ ἄνευ πάθους ἢ τροπῆς γινόμενον, οἷον,

Ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

Στίχος ἐστὶ τάξεως διαλεκτικῆς σύμμετρον μέγεθος.
Εἴδη στίχων εἰσὶν ἐννέα· Ἰσόχωρος, Ἀπηρτισμένος, Ἀκέφαλος, Μείουρος, Λαγαρὸς, Τραχὺς, Μαλακοειδὴς, Κακόφωνος, Λογοειδής.
Ἰσόχωρός ἐστιν ὁ καὶ τὰ μεγέθη τῶν συλλαβῶν καὶ τὰς πόδας ἀπὸ πρώτου μέχρι τοῦ ἐσχάτου τοὺς αὐτοὺς ἔχων, οἷον,

Τὼ δ' ἐν Μισκῶνι ξυμβλήτην ἀλλήλοιϊν.

Ἀπηρτισμένος ὁ τὴν δόξαν πᾶσαν ἔχων ἐν ἑαυτῷ, οἷον,

Ὡς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ.

Ἀκέφαλός ἐστιν ὁ ἀπὸ βραχείας ἀρχόμενος,

Ἐπεὶ δὲ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο·

καὶ τὸ,

Ὅς ἤδη τά τε ὄντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα.

Μείουρός ἐστιν, ὁ τὴν παρατελευτον βραχεῖαν ἔχων, οἷον,

Τ'ρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἴολον ὄφιν·
πυρρίχιος γάρ ἐστι.

Λαγαρός ἐστιν ὁ κατὰ τὴν μέσην συμφωνίαν τὴν σύνθεσιν μείζων,

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.

Τραχὺς ἐστιν ὁ τὸν ῥυθμὸν τῶν φθόγγων φθογγὴν συνιστὰς, οἷον,

Τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός.

Μαλακοειδής ἐστιν ὁ ὁμαλῶς καὶ οὐ βιαίως ἐμπίπτων ἰαῖς ἀκοαῖς, οἷον,

Αἵματί οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι.

Κακόφωνος, ἐν ᾧ πολλὰ φωνήεντα εἰσιν, οἷον,

Φῇ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαίδιμον ὦμον.

Λογοειδὴς, ὁ ἐνταῦθα ἀπολήγων, οἷον,

Ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

II.

Περὶ τῶν ἐν στίχοις τομῶν καὶ σχημάτων καὶ παθῶν.

Τομαὶ τῶν στίχων εἰσὶ τέσσαρες· Πενθημιμερὴς, Ἑφθημιμερὴς, τρίτη Τροχαϊκὴ, καὶ τετάρτη Βουκολική. Πενθημιμερὴς δέ ἐστιν, ὅτ' ἂν μετὰ τοὺς πρώτους δύο πόδας τοῦ στίχου συλλαβὴ ἀπαρτίζηται εἰς μέρος λόγου, ὡς ἐν τῷ,

Μῆνιν ἄειδε θεὰ —.

Ἑφθημιμερὴς μὲν οὖν ἐστιν, ὅτ' ἂν μετὰ τοὺς πρώτους τρεῖς πόδας τοῦ στίχου συλλαβὴν ἀπαρτίζῃ εἰς μέρος λόγου, ὡς ἐν τῷ,

Πολλὰς δ' ἰφθίμους ψυχὰς —.

Τρίτη δὲ Τροχαϊκή ἐστιν, ὅτ' ἂν ὁ τρίτος ποῦς τροχαϊκὸς ὢν ἀπαρτίζῃ εἰς μέρος λόγου, ὡς ἐν τῷ

Ἡρώων, αὐτοὺς δὲ —.

Τετάρτη δὲ Βουκολική ἐστιν, ὅτ' ἂν ὁ τέταρτος ποῦς δάκτυλος ὢν ἀπαρτίζῃ εἰς μέρος λόγου, ὡς ἐν τῷ

Οὕνεκα τὸν Χρύσην ἠτίμησε —·

Βουκολικὴ δὲ κέκληται παρ' ὅσον οἱ τὰ βουκολικὰ ποιήματα γράψαντες ταύτῃ κέχρηνται τῇ φωνῇ.

Σχήματα στίχων εἰσὶ τρία, Μονόσχημον, Πεντάσχημον, Δεκάσχημον.

Μονόσχημοι μέν εἰσιν ὅσοι ἀπὸ δακτύλων μόνων, ἢ ἀπὸ σπονδείων μόνων σύγκεινται· συμβαίνει γὰρ, τὸ ὅλον σχῆμα τοῦ στίχου ἓν καὶ τὸ αὐτὸ εἶναι, τοῦ αὐτοῦ ποδὸς διαδεύοντος τὸν ὅλον στίχον· καί ἐστι μονόσχημος οὗτος,

Λυσόμενός τε θύγατρα, φέρων τ' ἀπερείσι' ἄποινα.

Πεντάσχημοι δέ εἰσιν ὅσοι μὲν ἔχουσιν ἕνα μὲν σπονδεῖον, τοὺς δὲ λοιποὺς δακτύλους ἢ τὸ ἀνάπαλιν ἕνα μὲν δάκτυλον, τοὺς δὲ λοιποὺς σπονδείους. διαδεύων γὰρ ὁ εἷς ποῦς ὁ διάφορος τὰς πέντε χώρας, πέντε ἀποτελεῖ σχήματα, ὡς οὗτος,

Ἀτρεΐδης· ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.

Δεκάσχημοι δέ εἰσιν ὅσοι ἔχουσι δύο μὲν σπονδείους, τοὺς δὲ λοιποὺς δακτύλους, ἢ τὸ ἀνάπαλιν δύο μὲν δακτύλους, τους δὲ λοιποὺς σπονδείους. οἱ γὰρ δύο πόδες διοδεύοντες τὰς πέντε χώρας, δέκα ἀποτελοῦσι σχήματα, ὡς οὗτος,

Ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοί.

Πάθη τῶν στίχων εἰσὶ τρία, Ἀκέφαλον, Μεσόκλαζον Μείουρον.

Ἀκέφαλοι μὲν οὖν εἰσιν ὅσοι ἀπὸ βραχείας ἄρχουσι συλλαβῆς, ὡς οὗτος,

Ἔπεὶ δὲ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο·

καὶ,

Ἔπειδὴ Διὸς υἱὸς ἀφίκετο·

τὸ γὰρ ἡρωϊκὸν μέτρον ἀεὶ ἀπὸ μακρᾶς βούλεται ἄρχεσθαι. Μεσόκλαστοι δέ εἰσιν ὅσοι κατὰ τὸ μέσον πάθος τι ἔχουσιν, ὡς οὗτος,

Βῆν εἰς Αἰ΄λου κλυτὰ δώματα.

ἐνταῦθα γὰρ ὁ δεύτερος ποῦς τροχαῖός ἐστιν.

Μείουροι δέ εἰσιν οἱ τὴν οὐρὰν, τοῦτ' ἔστι τὸ τέλος, μεμειωμένον, ὅπερ ἐστὶ ἐλλεῖπον, ἔχοντες, ὡς οὗτος,

Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἶολον ὄφιν·

ὁ γὰρ τελευταῖος πυρρίχιός ἐστιν.

Οἱ δὲ μηδὲν τούτων τῶν παθῶν ἔχοντες στίχοι, ἁπλοῦς καλοῦνται.

Περὶ μὲν οὖν Τομῶν καὶ Σχημάτων καὶ Παθῶν ἀρκεῖ ταῦτα.